emendavit, deinde Turicenses ita ab integro recensuerunt, ut in hac quoque operis parte exiguum successoribus spicilegium relinquerent. Illud tantum, ne in ipsam illorum messem falcem immitterem, mihi faciendum erat, ut glossis, quas illi cum aliorum grammaticorum excerptis alphabetico qui dicitur ordine conjunxerunt, equidem ad primitivum ordinem revocatis, qualemcumque Timaeus libellum posteris destinasset, his solum et simplicem traderem; de singulis quae mentione digna videantur haec fere habeo: S. *ἀκινάκης* scripsi *ἡμίτομον* pro *ἡμίστομον* cum Dindorf. Thesaur. T. IV. p. 173. — S. *ἀμεταστρεπτι* restitui *ὑποστρέφει* pro *ὑποστρέφειν*, cujus infinitivi melior ratio quam verbi finiti vix apparet. — S. *ἀμφιθαλεῖς* scripsi *ἀμφότερα* pro *ἀμφότεροι* cum Bastio Append. p. 15. — S. *ἀνατείνας* meo periculo dedi *θείων* pro *θεῶν*. — S. *ἀποδιοπομπεῖσθαι* scripsi *χρωμένους* pro *χρώμενος*: poteram etiam *χρώμενον*, at accusativum structura postulabat. — S. *ἀποτεθρυωμένοι* non *τεθρύων* sed *θρύων* legendum esse, quod dudum editores intellexerunt, circumscripta prima syllaba palam feci. — S. *βλὰξ* ecquis ante me *ἡμαρτηκὼς* pro *ἁμαρτηκὼς* scribendum esse viderit, ignoro; necessitatem neminem negaturum esse spero. — *Γεννῆται* pro *γενηταὶ* scripsi cum Dindorfio l. l. T. II. p. 573; adde Schol. Axioch. p. 371 D. — *Δῆμος* revocavi pro *δημότης*, quod ex Toupii conjectura recipere Turicenses non debebant; cf. Steph. Byz. p. 228. — S. *δίκη ὁτὲ* pro *ὅτε* grammaticorum praeceptis concessi. — S. *ἐξαμβλοῦν* cancellis notavi *διεφθορός*, non quo protinus insiticium judicarem, sed ut aliquo modo corruptam vocem notarem. — S. *ἐπιβολὴ* quae a secunda manu addita Turicenses annotarunt subjicere cum cancellis non dubitavi; idemque *Ἐπιβάδαι* quamvis corruptum retinui, ut inferius *Σκιωρῖται*, ne ipsa antiquae corruptelae memoria periret. — S. *ἐχέγγυον* quoque *τό*, cui Tur. cum Schleusnero *τὸν* substituerunt, non minus a grammatico quam a librario scribi potuisse putavi. — *Εὐθῦναι* pro *εὐθύναι* accentus leges flagitabant. — S. *ἦκον* extrema *μόνον οὐχὶ* et *αὐτίκα μάλα*, quae Bastius p. 21 ab alia manu adjecta testatur, circumscripsi. — S. *θῶπες* idem *κολάκευσιν* potius quam *κολακείᾳ* in codicis compendio latere docuit. — S. *ἱερομνήμονες* inepte legi *Πύλον* Turicenses intellexerunt; eosdem tamen ut non *Πυλαίαν* sed *Πύλας* substituere debuisse arbitrer, Aeschinis locus facit, quem grammatico ante oculos fuisse suspicor, adv. Ctesiph. §. 184: *τέλος δὲ ψηφίζονται ἧκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης Πυλαίας ἐν ᾧτῷ χρόνῳ εἰς Πύλας ἔχοντας δόγμα κ. τ. λ.* — S. *καραδοκεῖν* vulgo *χωρήσῃ* legebatur; equidem leni mutatione futurum substitui. — S. *κνάφος* quod Tur. abjecerunt *ὂν* ego cum cancellis retinui; ibidemque cum codice et Bastio *ἐκτείνουσι* scripsi pro *κτείνουσι*, quod *τοῖς βασανιζομένοις* minus convenit; supplicii genus, quod grammatici ex Herodoto didicerunt, ad quaestionem per tormenta non pertinet. — S. *λήξεις* non *περὶ* sed *πέρι* scribi ipsa Platonicarum Legum VIII. p. 846 B comparatio jussit. — S. *μανὸν* quae non Timaeus tantum sed Photius quoque Suidasque adjecerunt *καὶ ὁ μαινόμενος ... φρεσὶν* ad hanc glossam

pertinere vix mihi persuadeo, sed in communi horum omnium fonte ad aliam potius vocem ut *μανικὸς* adscripta fuisse suspicor; eamque suspicionem cancellis additis declaravi. — *Νῷ* scripsi ut ipsi Tur. Phaedr. p. 259 A, ut mireris hos nunc Ruhnkenianum *νῷ* in *νῶ* mutare maluisse. — S. *ξεναγοὶ* quod Ruhnkenius edidit *ὁδοὶ* Tur. in *ὁδοῦ* mutarunt; ego in *ὁδόν*, ut Her. IX. 15: *οὗτοι δὲ αὐτῷ τὴν ὁδὸν ἡγέοντο ἐς Σφενδαλέας*. — S. *ὁμόσε* lenissimum duxi *ἀπὸ* pro *ὑπὸ τῶν ἐναντίων* scribere, ut sit *a diversis partibus*; altius si vulnus latet, non equidem *τῷ ἐναντίῳ* cum Turic. et Bastio, sed *ἐπὶ τῶν ἐναντίως εἰς μάχην φερομένων* scribam. Eodem exemplo Tur. mox s. *ὀρέξαι* ediderunt *ὑποτεῖναι* pro *ἀποτεῖναι*: ego tamen cod. lectionem servavi, quia haud scio an etiam rectius *προτεῖναι* scribatur. — S. *ὅττα* Tur. *καὶ* abjecerunt; equidem revocavi cum cancellis, quia haud scio an in *ἢ* potius mutandum sit. — S. *οὐκ ἄλλως* Tur. *πονεῖται* pro *προνοεῖ*, quia apud Platonem est *πεπόνηται*; probabiliter, sed non ut ita grammaticum scripsisse certum sit. Contra s. *ποτνιώμενος* Bastio *ἐπικαλούμενος* pro *ἐπικαλεῖτο* corrigenti libenter obtemperavi; eodemque auctore s. *πυρῶν* part. *ἢ* cancellis notavi. — *Στρατεία* et *στρατιὰ* praeeuntibus Turicensibus locum inter se mutare jussi; mox autem *δέ*, quod a codice abest, cum asteriscis retinere quam illorum exemplo ita abjicere malui, ut simul etiam *λέγεται* damnarem. — *Τήθη* retinui cum Bekk. Anecdd. p. 193; Tur. *τηθή*, ut Republ. V. p. 461 D editur. — S. *χαίνειν* Tur. *δὲ* omiserunt; ego circumscripsi.

De Onomastico et Indice Scriptorum unum moneo, dialogos secundum Stephani, appendicem secundum hujus editionis paginas citari; reliquam autem praefationem eo conferam, ut quae aut mihi aut typothetae in superioribus voluminibus imprudenti excidisse ad hunc usque diem animadverti, annotem eorundemque praefationes, sicubi opus est, aut corrigam aut suppleam. Apol. p. 23 C *εἶτ'* pro *εἶτα* praeposterе irrepsit; ipsam tamen Fischeri emendationem insigniter firmat locus geminus Republ. VII. p. 539 B: *καὶ μιμούμενοι τοὺς ἐξελέγχοντας αὐτοὶ ἄλλους ἐλέγχουσι*. — Phaed. p. 59 fortasse praestabat *προτέρᾳ* scribi, ut Min. p. 319 E. — P. 67 D pro *ὥσπερ ἐκ δεσμῶν* verissime Oxon. *ὥσπερ δεσμῶν* exhibet; praepositionem ex sequentibus repeti posse docet Tim. p. 79 A: *ῥεῖν ὥσπερ αὐλῶνος διὰ τοῦ σώματος*. — P. 76 B leg. *μέν τἂν* pro *μὲν τἄν*. — P. 82 D Turicensem lectionem *σῶμά τι* memorare oblitus sum; unde tamen quod ad vulg. *σώματα* redii, excusatione vix egere arbitror. Major audacia p. 83 E emendationis *φαίνονται* pro *φασίν*: eodem tamen exemplo Amat. p. 137 C *φαίνεται* Oxon. praebuit, ubi VBST *φημὶ* retinuerunt. — P. 91 B *ἡ δὲ διάνοια* O cum ceteris optimis; unde vide ne scribendum sit *ἡ δὲ δὴ ἄγνοια*. — P. 95 B *λέγεσθαι* ut glossema etiam nunc repudio; *ἔσεσθαι* autem fortasse commendabit Euthyd. p. 283 A: *τῷ δὲ μετὰ τοῦτο ἐσομένῳ πάνυ σφόδρα προσεῖχον τὸν νοῦν*. — P. 104 A *οὗπερ* cum BT nuper etiam Stallb. ascivit; ego vero haud scio an *ὅπερ* praeter libros etiam Reipubl. locus excuset VII. p. 527 B: *ἀλλ' οὐ τοῦ ποτὲ*

γνομένου; eademque causa est p. 111 B librorum lectionis φρονήσει pro ὀσφρήσει, quam acute nuper defendit Schmidtius in Philol. T. V. p. 719 sqq. Ibid. leg. οἰκητὰς pro οἰκητας. — Theaet. p. 146 D disjunctim scribi malim πῶς; τί τοῦτο λέγεις; itemque Soph. p. 261 E et Polit. p. 297 C; cf. ad Hipp. maj. 297 E, ubi pro Tim. c. 5 extr. legendum est Tim. c. 3 etc. — P. 164 A non repugnabo si quis ὀρφῷ quam ὁρᾷ maluerit, quemadmodum ad Charm. p. 173 B eandem optionem reliqui; cf. Schneider. ad Rempubl. I. p. 367, qui tamen ipse nunc Leg. p. 774 D ὀρφῇ retinuit. — Soph. p. 236 B ἀκολουθίαν tuebitur etiam Philo Opif. mundi I. 7: τάξις δὲ ἀκολουθία καὶ εἱρμός ἐστι προηγουμένων τινῶν καὶ ἑπομένων. — P. 238 E et 243 B praestabit fortasse συνίεις, quod etiam Rep. I. p. 347 A primam Par. manum scripsisse nunc inventum est; adde Schneidewin. ad Soph. Oed. Tyrann. v. 628. — P. 258 C quae Boeckhium secuti editores certatim inseruerunt μὴ μέγα et μὴ καλόν, quamquam excidere per homoeoteleuton facillime potuerunt, tamen haud scio an intelligi potius Plato voluerit, ut Phaed. p. 98 A ἃ ποιεῖ post ποιεῖν, Politic. p. 276 A μικτοῖς καὶ κερασφόροις post ἀμίκτοις τε καὶ ἀκεράτοις etc. — Politic. p. 273 D πόντον pro τόπον probabiliter commendat Alb. Jahnius in Zeitschr. f. d. Alt. 1842, p. 548. — P. 287 C οὔκουν pro οὐκοῦν χρὴ δρᾶν scite nuper emendavit Hier. Müllerus interpr. german. T. III. p. 719. — Phileb. p. 31 E et 34 D leg. δῖψος pro δίψος. — P. 46 librorum lectionem λύπας ἡδοναῖς ξυγκερασθεῖσας feliciter defendit Hoffmannus in Jahn. Archiv 1846, T. XII. p. 388; neque adeo cum ipso necessarium arbitror πρὸς τὰς in πρὸς τὰ mutari, quia τοῖς ἐντὸς potius τὰ ἔξω respondent et ad τὰς facile ἡδονὰς suppletur. — Conv. p. 172 A περιμένεις Stallbaumius nunc quoque in tertia dialogi editione ita tuetur, ut et libros omnes praeter unum Flor. praesens exhibere ejusdemque alterum exemplum Lys. p. 203 exstare arguat; at si Gaisfordium sequimur, Oxoniensis a Stephani futuro non discrepat, neque ullum praesentis cum οὔ pro imperativo positi exemplum certum aut ego novi aut Frankius de partic. negant. p. 24 novisse videtur; οὐ παραβάλλεις enim in Lyside vel οὐ λέγεις Aristoph. Av. 1212 reprehensionem potius continent, cui nunc locus non est. Idem quod p. 210 C κἂν ellipticum a Platonis sermone abhorrere, p. 211 C ἄν post ἕως male omissum esse criminatur, nescio quomodo oblitus est eorum, quae ipse ad Phaedonis p. 62 C et 71 B annotavit; neque p. 218 D ἑαυτοῦ intelligo cur minus liceat pro adverbio usurpari quam pro adjectivo Reip. p. 433 E et p. 463 B: οὐκοῦν τὸν μὲν οἰκεῖον ὡς ἑαυτοῦ νομίζει τε καὶ λέγει, τὸν δ' ἀλλότριον ὡς οὐχ ἑαυτοῦ; immo εἰωθέναι τινὶ quis graece dixerit, doceri velim; nam Apol. p. 40 A μοι pendet ab ἐναντιουμένη. — Phaedrum eodem fere quo ego tempore Londini recensuit Carolus Badham eidemque de Theaeteti, Philebi, Reipublicae, Legum locis doctas hariolationes praemisit, quarum nullam sperni, aliquas etiam recipi posthac licebit; in ipso Phaedro hae nos maxime adverterunt: p. 234 C τῷ γ' οὕτω pro τῷ λόγῳ, p. 246 C λελογίσμεθα pro λελογισμένου, p. 248

B δό' ἐστὸν pro οὖ ἐστίν, p. 263 C ἐγχωρῆσαι pro συγχωρῆσαι, p. 267 C σπέρματα λόγων pro μετὰ λόγων. — Alcib. I. p. 119 A et 124 B nominativum κοινὴ βουλὴ tuebitur etiam Theocr. Idyll. VII. 35: ξυνὰ μὲν ὁδός, ξυνὰ δὲ καὶ ἀώς. — Alcib. II. p. 144 A εἰ ... οἰηθείης ἄν dubito num defendi possit exemplis quale est Leg. X. p. 905 C: εἰ δ' ἐπιδεῖς ἔτι λόγου τινὸς ἂν εἴης, ubi ἄν peculiarem vim retinet: *si fieri possit ut egeas;* certius vero p. 148 A eliminandum est cum Stallb. τι inter εἰ et οὖν. — Charm. p. 165 C scr. ὠφέλειαν pro ὠφελείαν, quemadmodum etiam Lys. p. 214 E et in δυσμαθείαν Men. p. 88 A peccatum est. — Lach. p. 191 C ἄρτι pro αἴτιον jam Astius conjecit. — Ibid. p. 197 A post Σώκρατες punctum pro commate positum est. — Ibid. p. 201 A ἔκφορος λόγος et olim et nuper (Verh. d. Erlang. Philol. Vers. p. 73) Döderlinus ita tueri conatus est, ut sermonem intelligeret, *qui ad finem perduceret vel quaestionem satis explicaret*, ut Phaed. p. 66 B ἀτραπός τις μετὰ τοῦ λόγου ἐκφέρειν dicitur; at si Socrates de fine inveniendo desperaret, quo tandem consilio magistrum quaereret? — Euthyd. p. 273 E σφῶν pro σφῷν ex Turicensi in nostram quoque editionem perperam transiisse opportune monuit Baiterus in novissima hujus dialogi editione, unde libenter etiam p. 283 E μαθὼν ἐμοῦ pro μαθών μου et p. 291 E ἂν φαίης pro φαίης reciperem; eundem vero virum humanissimum qualiacunque mea vel dissentientis conamina multo aequiore animo quam Stallbaumium excepisse impense laetor. — Protag. p. 321 A Badham l. c. p. IX probabiliter conjecit ὑποδέων pro ὑπὸ ποδῶν. — Gorg. p. 461 B cum καθέρξῃς conf. συνέρξας Tim. p. 34 C; cumque ὁ σὸς λόγος in dialogi fine Leg. VI. p. 772 E: ὡς φησι Κλεινίας. — Men. p. 92 C satius erat retinuisse οἵ εἰσι cum Schneidero ad Rempubl. VI init. — Ion. p. 534 D παίωνα: mallem παιῶνα. — Reipublicae libros priores quinque indefessa Schneideri diligentia in progr. Vratislav. 1852 Parisinarum lectionum mantissa a Dübnero sibi suppeditata donavit easdemque inseruit majoris suae editionis supplemento, cujus initium prodiit in Klotzii Archiv T. XVIII. p. 485—520, unde discimus p. 352 D non ὥς γέ μοι sed ὡς ἐμοὶ suprascr. γ, p. 388 B non κυλινδούμενον sed κυλινδόμενον, p. 414 B non οὗς νῦν δὴ sed οὓς δὴ νῦν optimum codicem exhibere, eundemque identidem ὠφελίαν pro ὠφελείᾳ tueri, quod etiam Oxon. passim habet; pleraque tamen aut Turicensem scripturam firmant aut ad elisiones reliquamque orthographiam pertinent, in qua vel praestantissimorum librorum anceps auctoritas est; nos igitur his missis ad ea redimus, quae ad ipsam nostram editionem annotanda videntur. Sic p. 330 E post αὐτὰ non puncto sed colo interpungi velim; gravius tamen in hoc genere peccatum est p. 337 E, ubi typotheta comma, quod post εἴη poni volebam, anteposuit eoque facto structurae rationem a Schneidero scitissime illustratam obscuravit. Instituitur enim quasi antecesserit ὃς πρᾶττον μὲν μὴ εἰδείη, prorsus ut Soph. Oed. Col. 577: δῶρον οὐ σπουδαῖον εἰς ὄψιν, τὰ δὲ κέρδη παρ' αὐτοῦ κρείσσον' ἢ μορφὴ καλή, vel Theocr. XV. 104: βάρδιστα μακάρων, Ὧραι φίλαι, ἄλλα ποδεῦσαι

ἔρχονται, immo ipse noster p. 357 B ὅσαι ἀβλαβεῖς καὶ μηδὲν δι ταύτας γίγνεται: quae constructio certe legitima est, quamquam se tentiam fateor mihi identidem recogitanti εἰ καὶ magis commendare. F dentius tamen nunc ipso Parisino duce p. 361 C ἦτω pro ἔτω repo jubeo, nec hoc solo loco, sed etiam aliis duobus Leg. VIII. p. 837 et XII. p. 951 E, quorum altero quum dudum Schneiderus vel optim codices formam illam exhibere annotaverit, eundem ne nunc quidem eam recipiendam descendisse miror. — P. 400 B haud scio an ὃν p καὶ ante ὡς ἐγᾦμαι itemque p. 405 B ἢ pro ἤ ante δοκεῖν praeste nec repugnabo si quis p. 415 C ὁ σιδηρους φύλαξ ἢ ὁ χαλκοῦς p ὁ σίδηρος ἢ ὁ χαλκὸς ex Parisino revocari jusserit; quod autem eodem primus p. 416 C recepi παρασκευάσασθαι pro παρεσκευ σθαι, quamvis invitis grammaticis altero dativi c. inf. post δεῖν exem plo tueor ex Append. Flor. pone Stobaeum Gaisford. p. 45: ἐπειδὴ δ αὐτῷ ἐξ ὧν μανθάνει κερδαίνειν. — P. 559 B Badham l. c. p. X le vult ἤ τε πανῦσαι ζῶντος ἀδυνάτη, negationem mecum, quod juva necessariam existimans; reliqua tamen emendatio minus successit qua qua p. 560 C emaculavit quantocius recipienda οὔ τε πρέσβεις πρεσβ τέρων λόγους δι' ἄτων εἰσδέχονται pro ἰδιωτῶν. — Leg. p. 663 idem probabiliter conjecit πράττειν pro πάντα τὰ δίκαια, p. 722 C a tem in eandem mecum emendationem ἀρχὴν pro μάχην incidit; qu consensu laeto liceat ipsi huic operosae curae fini eum cumulum imp nere, ut etiam p. 708 D pro καθ' ἕνα potius καθέντα et p. 878 pro τραυμάτων ἐνεστώτων fortasse τραυμάτων ἢ πηρώσεων legendu esse suspicer; cf. p. 874 E.

Scr. Gottingae d. III. Mart. MDCCCLIII.

C. Fr. Hermann.

ΕΠΙΣΤΟΛΑΙ.

Α.

Δίων Διονυσίῳ εὖ πράττειν.

St. III. p. 309

Διατρίψας ἐγὼ παρ' ὑμῖν χρόνον τοσοῦτον καὶ διοικῶν τὴν ὑμετέραν ἀρχὴν πεπιστευμένος πάντων μάλιστα, τὰς ὠφελείας ὑμῶν λαμβανόντων, τὰς διαβολὰς δυσχερεῖς οὔσας ὑπέμενον· ἤδειν γάρ, ὅτι τῶν ὠμοτέρων οὐδὲν ἐμοῦ συνεθέλοντος ὑμῖν δόξει πεπρᾶχθαι· πάντες γὰρ οἱ συμπολιτευόμενοι μεθ' ὑμῶν ὑπάρχουσί μοι μάρτυρες, ὧν B ἐγὼ πολλοῖς συνηγωνισάμην, ἀπολύσας αὐτοὺς οὐ σμικρᾶς ζημίας. αὐτοκρᾶτωρ δὲ πολλάκις τὴν ὑμετέραν πόλιν διαφυλάξας ἀπεπέμφθην ἀτιμότερον ἢ πτωχὸν ὑμῶν ἀποστελλόντων προσήκει καὶ κελευόντων ἐκπλεῦσαι, τοσοῦτον παρ' ὑμῖν διατρίψαντα χρόνον. ἐγὼ οὖν περὶ ἐμαυτοῦ βουλεύσομαι τὸν λοιπὸν τρόπον ἀπανθρωπότερον, σὺ δὲ τοιοῦτος ὢν τύραννος οἰκήσεις μόνος. τὸ δὲ χρυσίον τὸ λαμπρόν, ὅπερ ἔδωκας εἰς ἀποστολήν, ἄγει σοι C Βακχεῖος ὁ τὴν ἐπιστολὴν φέρων· οὔτε γὰρ ἐφόδιον ἐκεῖνό γ' ἦν ἱκανὸν οὔτε πρὸς τὸν ἄλλον βίον ξυμφέρον, ἀδοξίαν δὲ πλείστην μὲν τῷ διδόντι σοὶ παρασκευάζον, οὐ πολλῷ δὲ ἐλάττω κἀμοὶ λαμβάνοντι. διόπερ οὐ λαμβάνω· σοὶ δ' οὐδὲν διαφέρει δῆλον ὅτι καὶ λαβεῖν καὶ δοῦναι τοσοῦτον· ὥστε κομισάμενος ἄλλον τινὰ τῶν ἑταίρων θεράπευσον ὥσπερ ἐμέ· κἀγὼ γὰρ ἱκανῶς ὑπὸ σοῦ τεθεράπευμαι· καὶ

μοι τὸ τοῦ Εὐριπίδου κατὰ καιρὸν ἔστιν εἰπεῖν, ὅτι σοὶ πραγμάτων ἄλλων ποτὲ ξυμπεσόντων

εὖξει τοιοῦτον ἄνδρα σοι παρεστάναι.

ὑπομνῆσαι δέ σε βούλομαι, διότι καὶ τῶν ἄλλων τραγῳδιοποιῶν οἱ πλεῖστοι, ὅταν ὑπό τινος ἀποθνήσκοντα τύραννον εἰσάγωσιν, ἀναβοῶντα ποιοῦσι·

310 φίλων ἔρημος, ὦ τάλας, ἀπόλλυμαι·

χρυσίου δὲ σπάνει ἀπολλύμενον οὐδεὶς πεποίηκε. κἀκεῖνο δὲ τὸ ποίημα τοῖς νοῦν ἔχουσιν οὐ κακῶς ἔχειν δοκεῖ·

οὐ χρυσὸς ἀγλαὸς σπανιώτατος ἐν θνατῶν δυσελπίστῳ βίῳ,

οὐδ' ἀδάμας οὐδ' ἀργύρου κλῖναι πρὸς ἄνθρωπον δοκιμαζόμεν' ἀστράπτει πρὸς ὄψεις·

οὐδὲ γαίας εὐρυπέδου γόνιμοι βρίθοντες αὐτάρκεις γύαι,

ὡς ἀγαθῶν ἀνδρῶν ὁμοφράδμων νόησις.

Β ἔρρωσο, καὶ γίγνωσκε τοσοῦτον ἡμῶν διημαρτηκώς, ἵνα πρὸς τοὺς ἄλλους βέλτιον προσφέρῃ.

Β.

Πλάτων Διονυσίῳ εὖ πράττειν.

Ἤκουσα Ἀρχεδήμου, ὅτι σὺ ἥγεῖ χρῆναι περὶ σοῦ μὴ μόνον ἐμὲ ἡσυχίαν ἄγειν, ἀλλὰ καὶ τοὺς ἐμοὺς ἐπιτηδείους τοῦ φλαύρου τι ποιεῖν ἢ λέγειν περὶ σοῦ· Δίωνα δὲ μό-

C νον ἐξαίρετον ποιεῖ· οὗτος δὲ ὁ λόγος σημαίνει, τὸ Δίωνα ἐξαίρετον εἶναι, ὅτι οὐκ ἄρχω ἐγὼ τῶν ἐμῶν ἐπιτηδείων· εἰ γὰρ ἦρχον ἐγὼ οὕτω τῶν τε ἄλλων καὶ σοῦ καὶ Δίωνος, πλείω ἂν ἦν ὑμῖν τε πᾶσιν ἀγαθὰ τοῖς τε ἄλλοις Ἕλλησιν, ὡς ἐγώ φημι. νῦν δὲ μέγας ἐγώ εἰμι ἐμαυτὸν παρέχων τῷ ἐμῷ λόγῳ ἑπόμενον. καὶ ταῦτα λέγω ὡς οὐχ ὑγιές τι Κρα-

τιστόλου καὶ Πολυξένου πρὸς σὲ εἰρηκότων, ὧν φασὶ λέγειν τὸν ἕτερον, ὅτι ἀκούοι Ὀλυμπίασι πολλῶν τινῶν τῶν D
μετ' ἐμοῦ σε κακηγορούντων. ἴσως γὰρ ὀξύτερον ἐμοῦ ἀκούει· ἐγὼ μὲν γὰρ οὐκ ἤκουσα. χρὴ δέ, ὡς ἐμοὶ δοκεῖ, οὑτωσί σε ποιεῖν τοῦ λοιποῦ, ὅταν τι τοιοῦτον λέγῃ τις περὶ ἡμῶν τινός, γράμματα πέμψαντα ἐμὲ ἐρέσθαι· ἐγὼ γὰρ τἀληθῆ λέγειν οὔτε ὀκνήσω οὔτε αἰσχυνοῦμαι. ἐμοὶ δὲ δὴ καὶ σοὶ τὰ πρὸς ἀλλήλους οὑτωσὶ τυγχάνει ἔχοντα· οὔτε αὐτοὶ ἀγνῶτές ἐσμεν οὐδενὶ Ἑλλήνων ὡς ἔπος εἰπεῖν, οὔτε ἡ συνουσία ἡμῶν σιγᾶται· μὴ λανθανέτω δέ σε, E
ὅτι οὐδ' εἰς τὸν ἔπειτα χρόνον σιγηθήσεται· τοιοῦτοι οἱ παραδεδεγμένοι εἰσὶν αὐτήν, ἅτε οὐκ ὀλίγην γεγενημένην οὐδ' ἠρέμα. τί οὖν δὴ λέγω νυνί; ἐρῶ ἄνωθεν ἀρξάμενος. πέφυκε ξυνιέναι εἰς ταὐτὸ φρόνησίς τε καὶ δύναμις μεγάλη, καὶ ταῦτ' ἄλληλ' ἀεὶ διώκει καὶ ξητεῖ καὶ ξυγγίγνεται· ἔπειτα καὶ οἱ ἄνθρωποι χαίρουσι περὶ τούτων αὐτοί τε διαλεγόμενοι καὶ ἄλλων ἀκούοντες ἔν τε ἰδίαις ξυνουσίαις καὶ ἐν ταῖς ποιήσεσιν, οἷον καὶ περὶ Ἱέρωνος ὅταν 311
διαλέγωνται ἄνθρωποι καὶ Παυσανίου τοῦ Λακεδαιμονίου, χαίρουσι τὴν Σιμωνίδου ξυνουσίαν παραφέροντες, ἃ τε ἔπραξε καὶ εἶπε πρὸς αὐτούς· καὶ Περίανδρον τὸν Κορίνθιον καὶ Θαλῆν τὸν Μιλήσιον ὑμνεῖν εἰώθασιν ἅμα, καὶ Περικλέα καὶ Ἀναξαγόραν, καὶ Κροῖσον αὖ καὶ Σόλωνα ὡς σοφοὺς καὶ Κῦρον ὡς δυνάστην. καὶ δὴ ταῦτα μιμούμενοι οἱ ποιηταὶ Κρέοντα μὲν καὶ Τειρεσίαν συνάγουσι, Πολύειδον δὲ καὶ Μίνω, Ἀγαμέμνονα δὲ καὶ Νέ- B
στορα καὶ Ὀδυσσέα καὶ Παλαμήδη· ὡς δ' ἐμοὶ δοκεῖ, καὶ Προμηθέα Διὶ ταύτῃ πῃ συνῆγον οἱ πρῶτοι ἄνθρωποι· τούτων δὲ τοὺς μὲν εἰς διαφοράν, τοὺς δ' εἰς φιλίαν ἀλλήλοις ἰόντας, τοὺς δὲ τοτὲ μὲν εἰς φιλίαν, τοτὲ δ' εἰς διαφοράν, καὶ τὰ μὲν ὁμονοοῦντας, τὰ δὲ διαφερομένους ἄδουσι. πάντα δὴ ταῦτα λέγω τόδε βουλόμενος ἐνδεῖξα-

C σθαι, ὅτι οὐκ, ἐπειδὰν ἡμεῖς τελευτήσωμεν, καὶ οἱ λόγοι
οἱ περὶ ἡμῶν αὐτῶν σεσιγήσονται, ὥστ' ἐπιμελητέον αὐ-
τῶν ἐστίν. ἀνάγκη γάρ, ὡς ἔοικε, μέλειν ἡμῖν καὶ τοῦ
ἔπειτα χρόνου, ἐπειδὴ καὶ τυγχάνουσι κατά τινα φύσιν οἱ
μὲν ἀνδραποδωδέστατοι οὐδὲν φροντίζοντες αὐτοῦ, οἱ δ'
ἐπιεικέστατοι πᾶν ποιοῦντες, ὅπως ἂν εἰς τὸν ἔπειτα χρό-
νον εὖ ἀκούσωσιν. ὃ δὴ καὶ ἐγὼ τεκμήριον ποιοῦμαι, ὅτι
ἔστι τις αἴσθησις τοῖς τεθνεῶσι τῶν ἐνθάδε· αἱ γὰρ βέλ-
D τιστα ψυχαὶ μαντεύονται ταῦτα οὕτως ἔχειν, αἱ δὲ μοχθη-
ρόταται οὔ φασι, κυριώτερα δὲ τὰ τῶν θείων ἀνδρῶν
μαντεύματα ἢ τὰ τῶν μή: οἶμαι δ' ἔγωγε τοὺς ἔμπροσθεν,
περὶ ὧν λέγω, εἰ ἔξεἰη αὐτοῖς ἐπανορθώσασθαι τὰς αὑτῶν
συνουσίας, πάνυ ἂν σπουδάσαι ὥστε βελτίω λέγεσθαι
περὶ αὐτῶν ἢ νῦν. τοῦτο οὖν ἡμῖν ἔτι, σὺν θεῷ εἰπεῖν,
ἔξεστιν, εἴ τι ἄρα μὴ καλῶς πέπρακται κατὰ τὴν ἔμπρο-
σθεν συνουσίαν, ἐπανορθώσασθαι καὶ ἔργῳ καὶ λόγῳ·
περὶ γὰρ φιλοσοφίαν φημὶ ἐγὼ τὴν ἀληθινὴν δόξαν καὶ
E λόγον ἔσεσθαι ἡμῶν μὲν ὄντων ἐπιεικῶν βελτίω, φαύλων
δὲ τοὐναντίον. καί τοι περὶ τούτου ἡμεῖς ἐπιμελούμενοι
οὐδὲν ἂν εὐσεβέστερον πράττοιμεν, οὐδ' ἀμελοῦντες ἀσε-
βέστερον. ὡς δὴ δεῖ γίγνεσθαι, καὶ τὸ δίκαιον ἢ ἔχει, ἐγὼ
φράσω. ἦλθον ἐγὼ εἰς Σικελίαν δόξαν ἔχων πολὺ τῶν ἐν
φιλοσοφίᾳ διαφέρειν, βουλόμενος δὲ ἐλθὼν εἰς Συρακού-
312 σας συμμάρτυρα λαβεῖν σέ, ἵνα μοι τιμῷτο φιλοσοφία καὶ
παρὰ τῷ πλήθει. τοῦτο δ' οὐκ εὐαγές μοι ἀπέβη. τὸ δ'
αἴτιον οὐ λέγω ὅπερ ἂν πολλοὶ εἴποιεν, ἀλλ' ὅτι ἐφαίνου
οὐ πάνυ ἐμοὶ πιστεύειν σύ, ἀλλ' ἐμὲ μέν πως ἀποπέμψα-
σθαι ἐθέλειν, ἑτέρους δὲ μεταπέμψασθαι, καὶ ζητεῖν τὸ
πρᾶγμα τί τὸ ἐμόν ἐστιν, ἀπιστῶν, ὡς ἐμοὶ δοκεῖ· καὶ οἱ
ἐπὶ τούτοις βοῶντες πολλοὶ ἦσαν, λέγοντες, ὡς σὺ ἐμοῦ
B μὲν καταπεφρόνηκας, ἄλλα δὲ ἐσπούδακας. ταῦτα δὴ δια-
βεβόηται· ὃ δὲ μετὰ ταῦτα δίκαιόν ἐστι ποιεῖν, ἄκουε, ἵνα

σοι καὶ ἀποκρίνωμαι ὃ σὺ ἐρωτᾷς, πῶς χρὴ ἔχειν ἐμὲ καὶ σὲ πρὸς ἀλλήλους. εἰ μὲν ὅλως φιλοσοφίας καταπεφρόνηκας, ἐᾷν χαίρειν· εἰ δὲ παρ' ἑτέρου ἀκήκοας ἢ αὐτὸς βελτίονα εὕρηκας τῶν παρ' ἐμοί, ἐκεῖνα τίμα· εἰ δ' ἄρα τὰ παρ' ἡμῶν σοι ἀρέσκει, τιμητέον καὶ ἐμὲ μάλιστα. νῦν οὖν, ὥσπερ καὶ ἐξ ἀρχῆς, σὺ καθηγοῦ, ἕψομαι δὲ ἐγώ· τιμώμενος γὰρ ὑπὸ σοῦ τιμήσω σέ, μὴ τιμώμενος δὲ ἡσυχίαν C ἄξω. ἔτι δὲ σὺ μὲν ἐμὲ τιμῶν καὶ τούτου καθηγούμενος φιλοσοφίαν δόξεις τιμᾶν, καὶ αὐτὸ τοῦτο, ὅτι διεσκόπεις καὶ ἄλλους, πρὸς πολλῶν εὐδοξίαν σοι οἶσει ὡς φιλοσόφῳ ὄντι· ἐγὼ δὲ σὲ τιμῶν μὴ τιμῶντα πλοῦτον δόξω θαυμάζειν τε καὶ διώκειν, τοῦτο δ' ἴσμεν ὅτι παρὰ πᾶσιν ὄνομα οὐ καλὸν ἔχει. ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, σοῦ μὲν τιμῶντος ἀμφοτέροις κόσμος, ἐμοῦ δὲ ὄνειδος ἀμφοῖν. περὶ μὲν οὖν τούτων ταῦτα. D

Τὸ δὲ σφαιρίον οὐκ ὀρθῶς ἔχει· δηλώσει δέ σοι Ἀρχέδημος, ἐπειδὰν ἔλθῃ. καὶ δὴ καὶ περὶ τοῦδε, ὃ τούτου τιμιώτερόν τ' ἐστὶ καὶ θειότερον, καὶ μάλα σφόδρ' αὐτῷ δηλωτέον, ὑπὲρ οὗ σὺ πέπομφας ἀπορούμενος. φῂς γὰρ δὴ κατὰ τὸν ἐκείνου λόγον, οὐχ ἱκανῶς ἀποδεδεῖχθαί σοι περὶ τῆς τοῦ πρώτου φύσεως. φραστέον δή σοι δι' αἰνιγμῶν, ἵν' ἄν τι ἡ θέλτος ἢ πόντου ἢ γῆς ἐν πτυχαῖς πάθῃ, ὁ ἀναγνοὺς μὴ γνῷ. ὧδε γὰρ ἔχει. περὶ τὸν πάντων βα- E σιλέα πάντ' ἐστὶ καὶ ἐκείνου ἕνεκα πάντα, καὶ ἐκεῖνο αἴτιον ἁπάντων τῶν καλῶν· δεύτερον δὲ περὶ τὰ δεύτερα, καὶ τρίτον περὶ τὰ τρίτα. ἡ οὖν ἀνθρωπίνη ψυχὴ περὶ αὐτὰ ὀρέγεται μαθεῖν ποῖ' ἄττα ἐστί, βλέπουσα εἰς τὰ αὐτῆς συγγενῆ, ὧν οὐδὲν ἱκανῶς ἔχει. τοῦ δὴ βασιλέως πέρι 313 καὶ ὧν εἶπον, οὐδέν ἐστι τοιοῦτον. τὸ δὴ μετὰ τοῦτο ἡ ψυχή φησιν — ἀλλὰ ποτόν τι μὴν τοῦτ' ἐστίν, ὦ παῖ Διονυσίου καὶ Δωρίδος, τὸ ἐρώτημα, ὃ πάντων αἴτιόν ἐστι κακῶν, μᾶλλον δὲ ἡ περὶ τούτου ὠδὶς ἐν τῇ ψυχῇ ἐγγιγνο-

μένη, ἢν εἰ μή τις ἐξαιρεθήσεται, τῆς ἀληθείας ὄντως οὐ μή ποτε τύχῃ; σὺ δὲ τοῦτο πρὸς ἐμὲ ἐν τῷ κήπῳ ὑπὸ ταῖς δάφναις αὐτὸς ἔφησθα ἐννενοηκέναι καὶ εἶναι σὸν εὕ-
B ρημα· καὶ ἐγὼ εἶπον, ὅτι τοῦτο εἰ φαίνοιτό σοι οὕτως ἔχειν, πολλῶν ἂν εἴης λόγων ἐμὲ ἀπολελυκώς. οὐ μὴν ἄλλῳ γέ ποτ' ἔφην ἐντετυχηκέναι τοῦθ' εὑρηκότι, ἀλλὰ ἡ πολλή μοι πραγματεία περὶ τοῦτ' εἴη· σὺ δὲ ἴσως μὲν ἀκούσας του, τάχα δ' ἂν θεία μοίρᾳ κατὰ τοῦθ' ὁρμήσας, ἔπειτα αὐτοῦ τὰς ἀποδείξεις ὡς ἔχων βεβαίως οὐ κατέδησας, ἀλλ' ἄττεις τοτὲ μὲν οὕτω, τοτὲ δὲ ἄλλως περὶ τὸ φανταζόμε-
C νον, τὸ δὲ οὐδέν ἐστι τοιοῦτον. καὶ τοῦτο οὐ σοὶ μόνῳ γέγονεν, ἀλλ' εὖ ἴσθι μηδένα πώποτέ μου τὸ πρῶτον ἀκούσαντα ἔχειν ἄλλως πως ἢ οὕτω κατ' ἀρχάς, καὶ ὁ μὲν πλείω ἔχων πράγματα, ὁ δὲ ἐλάττω μόγις ἀπαλλάττονται, σχεδὸν δὲ οὐδεὶς ὀλίγα. τούτων δὴ γεγονότων καὶ ἐχόντων οὕτω σχεδὸν κατὰ τὴν ἐμὴν δόξαν εὑρήκαμεν ὃ σὺ ἐπέστειλας, ὅπως δεῖ πρὸς ἀλλήλους ἡμᾶς ἔχειν. ἐπεὶ γὰρ βασανίζεις αὐτὰ ξυγγιγνόμενός τε ἄλλοις καὶ παραθεώμε-
D νος παρὰ τὰ τῶν ἄλλων καὶ αὐτὰ καθ' αὑτά, νῦν σοι ταῦτά τε, εἰ ἀληθὴς ἡ βάσανος, προσφύσεται, καὶ οἰκεῖος τούτοις τε καὶ ἡμῖν ἔσει. πῶς οὖν [οὐ] ταῦτ' ἔσται καὶ πάντα ἃ εἰρήκαμεν; τὸν Ἀρχέδημον νῦν τε ὀρθῶς ἐποίησας πέμψας, καὶ τὸ λοιπόν, ἐπειδὰν ἔλθῃ πρὸς σὲ καὶ ἀπαγγείλῃ τὰ παρ' ἐμοῦ, μετὰ ταῦτα ἴσως ἄλλαι σε ἀπορίαι λήψονται. πέμψεις οὖν αὖθις, ἂν ὀρθῶς βουλεύῃ, παρ' ἐμὲ τὸν Ἀρχέδημον, ὁ δ' ἐμπορευσάμενος ἥξει πάλιν· καὶ
E τοῦτο ἐὰν δὶς ἢ τρὶς ποιήσῃς καὶ βασανίσῃς τὰ παρ' ἐμοῦ πεμφθέντα ἱκανῶς, θαυμάζοιμ' ἂν εἰ μὴ τὰ πρὶν ἀπορούμενα πολύ σοι διοίσει ἢ τὰ νῦν. θαρροῦντες οὖν ποιεῖτε οὕτως· οὐ μὴ γάρ ποτε τῆς ἐμπορίας ταύτης οὔτε σὺ στείλῃς οὔτε Ἀρχέδημος ἐμπορεύσεται καλλίω καὶ θεοφιλε-
314 στέραν. εὐλαβοῦ μέντοι μή ποτε ἐκπέσῃ ταῦτα εἰς ἀνθρώ-

πους ἀπαιδεύτους· σχεδὸν γάρ, ὡς ἐμοὶ δοκεῖ, οὐκ ἔστι τούτων πρὸς τοὺς πολλοὺς καταγελαστότερα ἀκούσματα, οὐδ' αὖ πρὸς τοὺς εὐφυεῖς θαυμαστότερά τε καὶ ἐνθουσιαστικώτερα. πολλάκις δὲ λεγόμενα καὶ ἀεὶ ἀκουόμενα καὶ πολλὰ ἔτη μόγις ὥσπερ χρυσὸς ἐκκαθαίρεται μετὰ πολλῆς πραγματείας. ὃ δὲ θαυμαστὸν αὐτοῦ γέγονεν, ἄκουσον. εἰσὶ γὰρ ἄνθρωποι ταῦτα ἀκηκοότες καὶ πλείους, δυνατοὶ μὲν μαθεῖν, δυνατοὶ δὲ μνημονεῦσαι καὶ βασανίσαντες πάντη πάντως κρῖναι, γέροντες ἤδη καὶ οὐκ ἐλάττω τριάκοντα ἐτῶν ἀκηκοότες, οἳ νῦν ἄρτι σφίσι φασὶ τὰ μὲν τότε ἀπιστότατα δόξαντα εἶναι νῦν πιστότατα καὶ ἐναργέστατα φαίνεσθαι, ἃ δὲ τότε πιστότατα, νῦν τοὐναντίον. πρὸς ταῦτ' οὖν σκοπῶν εὐλαβοῦ, μή ποτέ σοι μεταμελήσῃ τῶν νῦν ἀναξίως ἐκπεσόντων· μεγίστη δὲ φυλακὴ τὸ μὴ γράφειν ἀλλ' ἐκμανθάνειν· οὐ γὰρ ἔστι τὰ γραφέντα μὴ οὐκ ἐκπεσεῖν. διὰ ταῦτα οὐδὲν πώποτ' ἐγὼ περὶ τούτων γέγραφα, οὐδ' ἔστι σύγγραμμα Πλάτωνος οὐδὲν οὐδ' ἔσται, τὰ δὲ νῦν λεγόμενα Σωκράτους ἐστὶ καλοῦ καὶ νέου γεγονότος. ἔρρωσο καὶ πείθου, καὶ τὴν ἐπιστολὴν ταύτην νῦν πρῶτον πολλάκις ἀναγνοὺς κατάκαυσον.

Ταῦτα μὲν ταύτῃ. περὶ δὲ Πολυξένου ἐθαύμασας ὅτι οὐ πέμψαιμί σοι· ἐγὼ δὲ καὶ περὶ Λυκόφρονος καὶ τῶν ἄλλων τῶν παρὰ σοὶ ὄντων λέγω καὶ πάλαι καὶ νῦν τὸν αὐτὸν λόγον, ὅτι πρὸς τὸ διαλεχθῆναι καὶ φύσει καὶ τῇ μεθόδῳ τῶν λόγων πάμπολυ διαφέρεις αὐτῶν, καὶ οὐδεὶς αὐτῶν ἑκὼν ἐξελέγχεται, ὥς τινες ὑπολαμβάνουσιν, ἀλλ' ἄκοντες. καὶ δοκεῖς μέντοι πάνυ μετρίως κεχρῆσθαί τε αὐτοῖς καὶ δεδωρῆσθαι. ταῦτα μὲν περὶ τούτων, πολλὰ ὡς περὶ τοιούτων· Φιλιστίωνι δέ, εἰ μὲν αὐτὸς χρῇ, σφόδρα χρῶ, εἰ δὲ οἷόν τε, Σπευσίππῳ χρῆσον καὶ ἀπόπεμψον. δεῖται δὲ σοῦ καὶ Σπεύσιππος· ὑπέσχετο δέ μοι καὶ Φιλιστίων, εἰ σὺ ἀφείης αὐτόν, ἥξειν προθύμως Ἀθήναζε.

τὸν ἐκ τῶν λιθοτομιῶν εὖ ἐποίησας ἀφείς, ἑλαφρὰ δὲ ἡ δέησις καὶ περὶ τῶν οἰκετῶν αὐτοῦ καὶ περὶ Ἡγησίππου τοῦ Ἀρίστωνος· ἐπέστειλας γάρ μοι, ἄν τις ἀδικῇ ἢ τοῦτον ἢ ἐκείνους καὶ σὺ αἴσθῃ, μὴ ἐπιτρέψειν. καὶ περὶ Λυσικλείδου τἀληθὲς εἰπεῖν ἄξιον· μόνος γὰρ τῶν ἐκ Σικελίας Ἀθήναζε ἀφικομένων οὐδὲν μετεβάλετο περὶ τῆς σῆς καὶ ἐμῆς συνουσίας, ἀλλ' ἀεί τι ἀγαθὸν καὶ ἐπὶ τὰ βελτίω λέγων περὶ τῶν γεγονότων διατελεῖ.

Γ.

Πλάτων Διονυσίῳ χαιρειν ἐπιστείλας ἆρ' ὀρθῶς ἂν
B τυγχάνοιμι τῆς βελτίστης προσρήσεως; ἢ μᾶλλον κατὰ τὴν ἐμὴν συνήθειαν γράφων εὖ πράττειν, ὥσπερ εἴωθα ἐν ταῖς ἐπιστολαῖς τοὺς φίλους προσαγορεύειν; σὺ μὲν γὰρ δὴ καὶ τὸν θεόν, ὡς ἤγγειλαν οἱ τότε θεωροῦντες, προσεῖπες ἐν Δελφοῖς αὐτῷ τούτῳ θωπεύσας τῷ ῥήματι, καὶ γέγραφας, ὡς φασί,

χαῖρε καὶ ἡδόμενον βίοτον διάσωζε τυράννου·

C ἐγὼ δὲ οὐδὲ ἀνθρώπῳ κλήσει, οὔτι δὴ θεῷ, παρακελευσαίμην ἂν δρᾶν τοῦτο, θεῷ μέν, ὅτι παρὰ φύσιν προστάττοιμ' ἄν, πόρρω γὰρ ἡδονῆς ἵδρυται καὶ λύπης τὸ θεῖον, ἀνθρώπῳ δέ, ὅτι τὰ πολλὰ βλάβην ἡδονὴ καὶ λύπη γεννᾷ, δυσμάθειαν καὶ λήθην καὶ ἀφροσύνην καὶ ὕβριν τίκτουσά ἐν τῇ ψυχῇ. καὶ ταῦτα μὲν οὕτως εἰρήσθω παρ' ἐμοῦ περὶ τῆς προσρήσεως· σὺ δ' ἀναγνοὺς αὐτά, ὅπῃ βούλει δέξασθαι, ταύτῃ δέχου.

Φασὶ δ' οὐκ ὀλίγοι λέγειν σε πρός τινας τῶν παρὰ σὲ
D πρεσβευόντων, ὡς ἄρα σοῦ ποτὲ λέγοντος ἀκούσας ἐγὼ μέλλοντος τάς τε Ἑλληνίδας πόλεις ἐν Σικελίᾳ οἰκίζειν καὶ

Συρακουσίους ἐπικουφίσαι, τὴν ἀρχὴν ἀντὶ τυραννίδος
εἰς βασιλείαν μεταστήσαντα, ταῦτ' ἄρα σὲ μὲν τότε διε-
κώλυσα, ὡς σὺ φῄς, σοῦ σφόδρα προθυμουμένου, νῦν δὲ
Δίωνα διδάσκοιμι δρᾷν αὐτὰ ταῦτα, καὶ τοῖς διανοήμασι
τοῖς σοῖς τὴν σὴν ἀρχὴν ἀφαιρούμεθά σε. σὺ δ' εἰ μέν τι E
διὰ τοὺς λόγους τούτους ὠφελεῖ, γιγνώσκεις αὐτός, ἀδι-
κεῖς δ' οὖν ἐμὲ τἀναντία τῶν γενομένων λέγων. ἆδην γὰρ
ὑπὸ Φιλιστίδου καὶ ἄλλων πολλῶν πρὸς τοὺς μισθοφό-
ρους καὶ εἰς τὸ Συρακουσίων πλῆθος διεβλήθην διὰ τὸ
μένειν ἐν ἀκροπόλει, τοὺς δ' ἔξωθεν, εἴ τι γίγνοιτο ἁμάρ-
τημα, πᾶν εἰς ἐμὲ τρέπειν, σὲ φάσκοντας πάντα ἐμοὶ πεί-
θεσθαι. σὺ δ' αὐτὸς οἶσθα σαφέστατα τῶν πολιτικῶν ἐμὲ
σοὶ κοινῇ πραγματευσάμενον ἑκόντα ὀλίγα δὴ κατ' ἀρχάς, 316
ὅπῃ πλέον ποιεῖν ἂν ᾠήθην, ἄλλα τε βραχέα ἅττα καὶ περὶ
τὰ τῶν νόμων προοίμια σπουδάσαντα μετρίως, χωρὶς ὧν
σὺ προσέγραψας ἤ τις ἕτερος· ἀκούω γὰρ ὕστερον ὑμῶν
τινὰς αὐτὰ διασκευωρεῖν, δῆλα μὴν ἑκάτερα ἔσται τοῖς τὸ
ἐμὸν ἦθος δυναμένοις κρίνειν. ἀλλ' οὖν, ὅπερ ἀρτίως
εἶπον, οὐ διαβολῆς προσδέομαι πρός τε Συρακουσίους
καὶ εἴ δή τινας ἑτέρους πείθεις λέγων αὐτά, ἀλλὰ πολὺ
μᾶλλον ἀπολογίας πρός τε τὴν προτέραν γενομένην δια- B
βολὴν καὶ τὴν νῦν μετ' ἐκείνην μείζω φυομένην καὶ σφο-
δροτέραν. πρὸς δύο δή μοι διττὰς ἀναγκαῖον ποιήσασθαι
τὰς ἀπολογίας, πρῶτον μὲν ὡς εἰκότως σοι ἔφυγον κοι-
νωνεῖν περὶ τὰ τῆς πόλεως πράγματα, τὸ δὲ δεύτερον ὡς
οὐκ ἐμὴν ταύτην εἴρηκας συμβουλὴν οὐδὲ διακώλυσιν,
μέλλοντί σοι κατοικίζειν Ἑλληνίδας πόλεις ἐμποδὼν ἐμὲ
γεγενῆσθαι. τὴν οὖν ἀρχὴν ὧν εἶπον περὶ προτέρων ἄκουε C
πρότερον.

Ἦλθον καλούμενος εἰς Συρακούσας ὑπό τε σοῦ καὶ
Δίωνος, τοῦ μὲν δεδοκιμασμένου παρ' ἐμοὶ καὶ ξένου πά-
λαι γεγονότος, ὢν ἡλικίᾳ δὲ ὄντος μέσῃ τε καὶ καθεστη-

κυίᾳ, ὧν δὴ παντάπασι χρεία τοῖς νοῦν καὶ σμικρὸν κε-
κτημένοις μέλλουσι περὶ τοσούτων ὅσα ἦν τότε τὰ σὰ βου-
λεύεσθαι, σοῦ δὲ ὄντος μὲν σφόδρα νέου, πολλῆς δὲ ἀπει-
ρίας οὔσης περὶ σὲ τούτων, ὧν ἔμπειρον ἔδει γεγονέναι,
D καὶ σφόδρα ἀγνῶτος ἐμοί. τὸ μετὰ τοῦτο εἴτ' ἄνθρωπος
εἴτε θεὸς εἴτε τύχη τις μετὰ σοῦ Δίωνα ἐξέβαλε, καὶ ἐλεί-
φθης μόνος. ἆρ' οὖν οἴει μοι τότε πολιτικῶν εἶναι κοι-
νωνίαν πρὸς σέ, τὸν μὲν ἔμφρονα κοινωνὸν ἀπολωλεκότι,
τὸν δὲ ἄφρονα ὁρῶντι μετὰ πονηρῶν καὶ πολλῶν ἀνθρώ-
πων καταλελειμμένον, οὐκ ἄρχοντα, οἰόμενον δ' ἄρχειν,
ὑπὸ δὲ τοιούτων ἀνθρώπων ἀρχόμενον, ἐν οἷς τί χρῆν
ποιεῖν ἐμέ; μῶν οὐχ ὅπερ ἐποίουν ἀναγκαῖον, ἐκ τῶν λοι-
E πῶν τὰ μὲν πολιτικὰ χαίρειν ἐᾶν, εὐλαβούμενον τὰς ἐκ
τῶν φθόνων διαβολάς, ὑμᾶς δὲ πάντως, καίπερ ἀλλήλων
χωρὶς γεγονότας καὶ διαφόρους ὄντας, πειρᾶσθαι φίλους
ἀλλήλοις ὅ τι μάλιστα ποιεῖν; τούτων δὴ καὶ σὺ μάρτυς,
ὅτι τοῦτο αὐτὸ ξυντείνων οὐκ ἀνῆκα πώποτε· καὶ μόγις
μέν, ὅμως δ' ὡμολογήθη νῷν πλεῦσαι μὲν οἴκαδε ἐμέ,
317 ἐπειδὴ πόλεμος ὑμᾶς κατεῖχεν, εἰρήνης δ' αὖ γενομένης
ἐλθεῖν ἐμέ τε καὶ Δίωνα εἰς Συρακούσας, σὲ δὲ καλεῖν
ἡμᾶς. καὶ ταῦτα μὲν οὕτως ἐγένετο τῆς ἐμῆς εἰς Συρα-
κούσας ἀποδημίας πέρι τῆς πρώτης καὶ τῆς πάλιν οἴκαδε
σωτηρίας· τὸ δὲ δεύτερον εἰρήνης γενομένης ἐκάλεις με
οὐ κατὰ τὰς ὁμολογίας, ἀλλὰ μόνον ἥκειν ἐπέστελλες,
Δίωνα δ' εἰσαῦθις ἔφησθα μεταπέμψασθαι. διὰ ταῦτα
οὐκ ἦλθον, ἀλλὰ καὶ Δίωνι τότ' ἀπηχθόμην· ὤετο γὰρ
B εἶναι βέλτιον ἐλθεῖν ἐμὲ καὶ ὑπακοῦσαί σοι. τὸ δὲ μετὰ
ταῦτα ὕστερον ἐνιαυτῷ τριήρης ἀφίκετο καὶ ἐπιστολαὶ
παρὰ σοῦ, τῶν δ' ἐν ταῖς ἐπιστολαῖς γραμμάτων ἦρχεν,
ὡς, ἂν ἀφίκωμαι, τὰ Δίωνός μοι γενήσοιτο πράγματα
πάντα κατὰ νοῦν τὸν ἐμόν, μὴ ἀφικομένου δὲ τἀναντία.
αἰσχύνομαι δὴ λέγειν, ὅσαι τότε ἐπιστολαὶ παρὰ σοῦ καὶ

παρ' ἄλλων ἠλθον διὰ σὲ ἐξ Ἰταλίας καὶ Σικελίας, καὶ
παρ' ὅσους τῶν ἐμῶν οἰκείων καὶ τῶν γνωρίμων, καὶ πᾶ- C
σαι διακελευόμεναί μοι ἰέναι καὶ δεόμεναι σοὶ πάντως
ἐμὲ πείθεσθαι. ἐδόκει δὴ πᾶσιν, ἀρξαμένοις ἀπὸ Δίωνος,
δεῖν ἐμὲ πλεῦσαι καὶ μὴ μαλθακίζεσθαι. καί τοι τήν θ'
ἡλικίαν αὐτοῖς προὐτεινόμην καὶ περὶ σοῦ διισχυριζόμην,
ὡς οὐχ οἷός τ' ἔσοιο ἀνταρκέσαι τοῖς διαβάλλουσιν ἡμᾶς
καὶ βουλομένοις εἰς ἔχθραν ἐλθεῖν· ἑώρων γὰρ καὶ τότε
καὶ νῦν ὁρῶ τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους τῶν τε
ἰδιωτῶν καὶ τῶν μονάρχων σχεδόν, ὅσῳπερ ἂν μείζους D
ὦσι, τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας καὶ
πρὸς ἡδονὴν μετὰ αἰσχρᾶς βλάβης ὁμιλοῦντας τρεφούσας,
οὗ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε καὶ ἡ τῆς ἄλλης
ἐξουσίας δύναμις. ὅμως δ' οὖν πάντα ταῦτα χαίρειν ἐάσας
ἦλθον, διανοηθείς, ὡς οὐδένα δεῖ τῶν ἐμῶν φίλων ἐμὲ
αἰτιᾶσθαι, ὡς διὰ τὴν ἐμὴν ῥᾳθυμίαν τὰ σφέτερα πάντα
ἐξὸν μὴ ἀπολέσθαι διώλετο· ἐλθὼν δέ, οἶσθα γὰρ δὴ σὺ E
πάντα τἀντεῦθεν ἤδη γενόμενα, ἐγὼ μὲν ἠξίουν δή που
κατὰ τὴν ὁμολογίαν τῶν ἐπιστολῶν πρῶτον μὲν κατάγειν
Δίωνα οἰκειωσάμενον, φράζων τὴν οἰκειότητα, ἣν εἰ ἐμοὶ
τότε ἐπείθου, τάχ' ἂν βέλτιον τῶν νῦν γεγονότων ἔσχε
καὶ σοὶ καὶ Συρακούσαις καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἡ
ἐμὴ δόξα μαντεύεται· ἔπειτα τὰ Δίωνος τοὺς οἰκείους
ἔχειν ἠξίουν καὶ μὴ διανείμασθαι τοὺς διανειμαμένους, 318
οὓς οἶσθα σύ· πρὸς δὲ τούτοις ᾤμην δεῖν τὰ κατ' ἐνιαυ-
τὸν ἕκαστον εἰωθότα αὐτῷ κομίζεσθαι καὶ μᾶλλον ἔτι καὶ
οὐχ ἧττον ἐμοῦ παραγενομένου πέμπεσθαι. τούτων οὐ-
δενὸς τυγχάνων ἠξίουν ἀπιέναι. τὸ μετὰ ταῦτα ἔπειθές
με μεῖναι τὸν ἐνιαυτόν, φάσκων τὴν Δίωνος ἀποδόμενος
οὐσίαν πᾶσαν τὰ μὲν ἡμίσεα ἀποπέμψειν εἰς Κόρινθον,
τὰ δ' ἄλλα τῷ παιδὶ καταλείψειν αὐτοῦ. πολλὰ ἔχων εἰ- B
πεῖν, ὧν ὑποσχόμενος οὐδὲν ἐποίησας, διὰ τὸ πλῆθος αὐ-

τῶν συντέμνω. τὰ γὰρ δὴ χρήματα πάντα ἀποδόμενος, οὐ πείσας Δίωνα, φάσκων οὐ πωλήσειν ἄνευ τοῦ πείθειν, τὸν κολοφῶνα, ὦ θαυμάσιε, ταῖς ὑποσχέσεσιν ἁπάσαις νεανικώτατον ἐπέθηκας· μηχανὴν γὰρ οὔτε καλὴν οὔτε κομψὴν οὔτε δικαίαν οὔτε ξυμφέρουσαν εὗρες, ἐμὲ ἐκφοβεῖν ὡς ἀγνοοῦντα τὰ τότε γιγνόμενα, ἵνα μηδὲ ἐγὼ ζητοίην τὰ χρήματα ἀποπέμπεσθαι. ἡνίκα γὰρ Ἡρακλείδην ἐξέβαλες, οὔτε Συρακοσίοις δοκοῦν δικαίως οὔτ' ἐμοί, διότι μετὰ Θεοδότου καὶ Εὐρυβίου συνεδεήθην σου μὴ ποιεῖν ταῦτα, ταύτην λαβὼν ὡς ἱκανὴν πρόφασιν εἶπες, ὅτι καὶ πάλαι σοι θῆλος εἴην σοῦ μὲν οὐδὲν φροντίζων, Δίωνος δὲ καὶ τῶν Δίωνος φίλων καὶ οἰκείων, καὶ ἐπειδὴ νῦν Θεοδότης καὶ Ἡρακλείδης ἐν διαβολαῖς εἶεν οἰκεῖοι Δίωνος ὄντες, πᾶν μηχανήσομαι ὅπως οὗτοι μὴ δώσουσι δίκην. καὶ ταῦτα μὲν ταύτῃ περὶ τὰ πολιτικὰ κοινωνίας τῆς ἐμῆς καὶ σῆς· καὶ εἴ τινα ἑτέραν ἀλλοτριότητα ἐνείδες ἐν ἐμοὶ πρὸς σέ, εἰκότως οἴει ταύτῃ πάντα ταῦτα γεγονέναι. καὶ μὴ θαύμαζε· κακὸς γὰρ ἂν ἔχοντί γε νοῦν ἀνδρὶ φαινοίμην ἐνδίκως, πεισθεὶς ὑπὸ τοῦ μεγέθους τῆς σῆς ἀρχῆς τὸν μὲν παλαιὸν φίλον καὶ ξένον κακῶς πράττοντα διὰ σέ, μηδὲν σοῦ χείρω, ἵνα οὕτως εἴπω, τοῦτον μὲν προδοῦναι, σὲ δὲ τὸν ἀδικοῦντα ἑλέσθαι καὶ πᾶν δρᾶν ὅπῃ σὺ προσέταττες, ἕνεκα χρημάτων δῆλον ὅτι· οὐδὲν γὰρ ἂν ἕτερον ἔφησεν αἰτιόν τις εἶναι τῆς ἐμῆς μεταβολῆς, εἰ μετεβαλόμην. ἀλλὰ ταῦτα μὲν ταύτῃ γενόμενα τὴν ἐμὴν καὶ σὴν λυκοφιλίαν καὶ ἀκοινωνίαν διὰ σὲ ἀπειργάσατο.

Σχεδὸν δ' εἰς λόγον ὁ λόγος ἥκει μοι ξυνεχὴς τῷ νῦν δὴ γενομένῳ, περὶ οὗ μοι τὸ δεύτερον ἀπολογητέον ἔφην εἶναι. σκόπει δὴ καὶ πρόσεχε πάντως, ἄν τί σοι ψεύδεσθαι δόξω καὶ μὴ τἀληθῆ λέγειν. φημὶ γάρ σε Ἀρχεδήμου παρόντος ἐν τῷ κήπῳ καὶ Ἀριστοκρίτου, σχεδὸν ἡμέραις

πρότερον εἰκοσι τῆς ἐμῆς ἐκ Συρακουσῶν οἰκαδ' ἀποδημίας, ἃ νῦν δὴ λέγεις ἐμοὶ μεμφόμενον, ὡς Ἡρακλείδου τέ μοι καὶ τῶν ἄλλων πάντων μᾶλλον ἢ σοῦ μέλοι. καί με τούτων ἐναντίον διηρώτησας, εἰ μνημονεύω, κατ' ἀρχὰς ὅτ' ἦλθον, κελεύων σε τὰς πόλεις τὰς Ἑλληνίδας κα- B τοικίζειν· ἐγὼ δὲ συνεχώρουν μεμνῆσθαι καὶ ἔτι νῦν μοι δοκεῖν ταῦτ' εἶναι βέλτιστα. ῥητέον δέ, ὦ Διονύσιε, καὶ τοὐπὶ τούτῳ τότε λεχθέν. ἠρόμην γὰρ δή σε, πότερον αὐτὸ τοῦτό σοι ξυμβουλεύσαιμι μόνον ἤ τι καὶ ἄλλο πρὸς τούτῳ· σὺ δὲ καὶ μάλα ἀκεκρίνω μεμνημένως καὶ ὑβριστικῶς εἰς ἐμέ, ὡς ὄφου — διὸ τὸ τότε σοι ὕβρισμα νῦν ὕπαρ ἀντ' ὀνείρατος γέγονεν — εἶπες δὲ καὶ μάλ' ἁπλάστως γελῶν, εἰ μέμνημαι, ὡς παιδευθέντα με ἐκέλευες C ποιεῖν πάντα ταῦτα ἢ μὴ ποιεῖν. ἔφην ἐγὼ πάλλιστα μνημονεῦσαί σε. οὐκοῦν παιδευθέντα, ἔφησθα, γεωμετρεῖν, ἢ πῶς; κἀγὼ τὸ μετὰ ταῦτα ὃ ἐπῄει μοι εἰπεῖν οὐκ εἶπον, φοβούμενος μὴ σμικροῦ ῥήματος ἕνεκα τὸν ἔκπλουν ὃν προσεδόκων, μή μοι στενὸς γίγνοιτο ἀντ' εὐρυχωρίας. ἀλλ' οὖν ὧν ἕνεκα πάντ' εἴρηται, ταῦτ' ἐστί· μή με διάβαλλε λέγων, ὡς οὐκ εἴων ἐγώ σε πόλεις Ἑλληνίδας ἐρρούσας ὑπὸ βαρβάρων οἰκίζειν, οὐδὲ Συρακουσίους ἐπικου- D φίσαι βασιλείαν ἀντὶ τυραννίδος μεταστήσαντα. τούτων γὰρ οὔθ' ἥττον ἐμοὶ πρέποντα ἔχοις ἄν ποτε λέγων μου καταψεύσασθαι, πρὸς δὲ τούτοις ἔτι σαφεστέρους τούτων εἰς ἔλεγχον λόγους ἐγὼ δοίην ἄν, εἴ τις ἱκανή που φαίνοιτο κρίσις, ὡς ἐγὼ μὲν ἐκέλευον, σὺ δ' οὐκ ἤθελες πράττειν αὐτά· καὶ μὴν οὐ χαλεπὸν εἰπεῖν ἐναργῶς, ὡς ἦν ταῦτα ἄριστα πραχθέντα καὶ σοὶ καὶ Συρακοσίοις καὶ Σικελιώταις πᾶσιν. ἀλλ' ὦ 'τᾶν, εἰ μὲν μὴ φῂς εἰρηκέναι εἰρηκὼς E ταῦτα, ἔχω τὴν δίκην· εἰ δ' ὁμολογεῖς, τὸ μετὰ τοῦτο ἡγησάμενος εἶναι σοφὸν τὸν Στησίχορον, τὴν παλινῳδίαν

αὐτοῦ μιμησάμενος, ἐκ τοῦ ψεύδους εἰς τὸν ἀληθῆ λόγον μεταστήσει.

Δ.

Πλάτων Δίωνι Συρακοσίῳ εὖ πράττειν.

320 Οἶμαι μὲν φανερὰν εἶναι διὰ παντὸς τοῦ χρόνου τὴν ἐμὴν προθυμίαν περὶ τὰς συμβεβηκυίας πράξεις, καὶ ὅτι πολλὴν εἶχον περὶ αὐτῶν σπουδὴν εἰς τὸ ξυμπερανθῆναι, οὐκ ἄλλου τινὸς ἕνεκα μᾶλλον ἢ τῆς ἐπὶ τοῖς καλοῖς φιλο-
B τιμίας· νομίζω γὰρ δίκαιον εἶναι τοὺς ὄντας τῇ ἀληθείᾳ ἐπιεικεῖς καὶ πράττοντας τοιαῦτα τυγχάνειν δόξης τῆς προσηκούσης. τὰ μὲν οὖν εἰς τὸ παρόν, σὺν θεῷ εἰπεῖν, ἔχει καλῶς, τὰ δὲ περὶ τῶν μελλόντων ὁ μέγιστός ἐστιν ἀγών. ἀνδρείᾳ μὲν γὰρ καὶ τάχει καὶ ῥώμῃ διενεγκεῖν δόξειεν ἄν καὶ ἑτέρων εἶναί τινων, ἀληθείᾳ δὲ καὶ δικαιο-
σύνῃ καὶ μεγαλοπρεπείᾳ καὶ τῇ περὶ πάντα ταῦτα εὐσχη-
C μοσύνῃ, ξυμφαίη τις ἂν τοὺς ἀντιποιουμένους τὰ τοιαῦτα τιμᾶν εἰκότως τῶν ἄλλων διαφέρειν. νῦν οὖν δῆλον μέν ἐστιν ὃ λέγω, ἀναμιμνήσκειν δὲ ὅμως δεῖ ἡμᾶς αὐτούς, ὅτι προσήκει πλέον ἢ παίδων τῶν ἄλλων ἀνθρώπων διαφέρειν τοὺς οἶσθα δή που. φανεροὺς οὖν δεῖ ἡμᾶς γενέσθαι, ὅτι ἐσμὲν τοιοῦτοι οἱοίπερ φαμέν, ἄλλως τε καὶ ἐπειδή, σὺν θεῷ εἰπεῖν, ῥᾴδιον ἔσται. τοῖς μὲν γὰρ ἄλλοις
D συμβέβηκεν ἀναγκαῖον εἶναι πλανηθῆναι πολὺν τόπον, εἰ μέλλουσι γνωσθῆναι· τὸ δὲ νῦν ὑπάρχον περὶ σὲ τοιοῦτόν ἐστιν, ὥστε τοὺς ἐξ ἁπάσης τῆς οἰκουμένης, εἰ καὶ νεανικώτερόν ἐστιν εἰπεῖν, εἰς ἕνα τόπον ἀποβλέπειν, καὶ ἐν τούτῳ μάλιστα πρὸς σέ. ὡς οὖν ὑπὸ πάντων ὁρώμενος

παρασκευάζου τόν τε Λυκοῦργον ἐκεῖνον ἀρχαῖον ἀποδείξων καὶ τὸν Κῦρον, καὶ εἴ τις ἄλλος πώποτε ἔδοξεν ἤθει καὶ πολιτείᾳ διενεγκεῖν, ἄλλως τε καὶ ἐπειδὴ πολλοὶ καὶ σχεδὸν ἅπαντες οἱ τῇδε λέγουσιν, ὡς πολλή ἐστιν ἐλπὶς E
ἀναιρεθέντος Διονυσίου διαφθαρῆναι τὰ πράγματα διὰ τὴν σήν τε καὶ Ἡρακλείδου καὶ Θεοδότου καὶ τῶν ἄλλων γνωρίμων φιλοτιμίαν. μάλιστα μὲν οὖν μηδεὶς εἴη τοιοῦτος· ἐὰν δ' ἄρα καὶ γίγνηταί τις, σὺ φαίνου ἰατρεύων, καὶ πρὸς τὸ βέλτιστον ἔλθοιτ' ἄν· ταῦτα δὲ ἴσως γελοῖόν 321
σοι φαίνεται εἶναι τὸ ἐμὲ λέγειν, διότι καὶ αὐτὸς οὐκ ἀγνοεῖς· ἐγὼ δὲ καὶ ἐν τοῖς θεάτροις ὁρῶ τοὺς ἀγωνιστὰς ὑπὸ τῶν παίδων παροξυνομένους, μήτι δὴ ὑπό γε τῶν φίλων, οὓς ἄν τις οἴηται μετὰ σπουδῆς κατ' εὔνοιαν παρακελεύεσθαι. νῦν οὖν αὐτοί τε ἀγωνίζεσθε καὶ ἡμῖν εἴ τον δεῖ ἐπιστέλλετε· τὰ δ' ἐνθάδε παραπλησίως ἔχει καθάπερ καὶ ὑμῶν παρόντων. ἐπιστέλλετε δὲ καὶ ὅ τι πέπρακται ὑμῖν ἢ πράττοντες τυγχάνετε, ὡς ἡμεῖς πολλὰ B
ἀκούοντες οὐδὲν ἴσμεν· καὶ νῦν ἐπιστολαὶ παρὰ μὲν Θεοδότου καὶ Ἡρακλείδου ἦκουσιν εἰς Λακεδαίμονα καὶ Αἴγιναν, ἡμεῖς δέ, καθάπερ εἴρηται, πολλὰ ἀκούοντες περὶ τῶν τῇδε οὐδὲν ἴσμεν. ἐνθυμοῦ δὲ καὶ ὅτι δοκεῖς τισὶν ἐνδεεστέρως τοῦ προσήκοντος θεραπευτικὸς εἶναι· μὴ οὖν λανθανέτω σε, ὅτι διὰ τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις καὶ τὸ πράττειν ἐστίν, ἡ δ' αὐθάδεια ἐρημίᾳ ξύνοικος. εὐτύχει. C

E.

Πλάτων Περδίκκᾳ εὖ πράττειν.

Εὐφραίῳ μὲν συνεβούλευσα, καθάπερ ἐπέστελλες, τῶν σῶν ἐπιμελούμενον περὶ ταῦτα διατρίβειν· δίκαιος

δ' εἰμὶ καὶ σοὶ ξενικὴν καὶ ἱερὰν ξυμβουλὴν λεγομένην
D συμβουλεύειν περί τε τῶν ἄλλων ὧν ἂν φράζῃς καὶ ὡς
Εὐφραίῳ δεῖ τὰ νῦν χρῆσθαι. πολλὰ μὲν γὰρ ὁ ἀνὴρ χρή-
σιμος, μέγιστον δὲ οὗ καὶ σὺ νῦν ἐνδεὴς εἶ διά τε τὴν ἡλι-
κίαν καὶ διὰ τὸ μὴ πολλοὺς αὐτοῦ πέρι ξυμβούλους εἶναι
τοῖς νέοις. ἔστι γὰρ δή τις φωνὴ τῶν πολιτειῶν ἑκάστης
καθαπερεί τινων ζώων, ἄλλη μὲν δημοκρατίας, ἄλλη δ'
ὀλιγαρχίας, ἡ δ' αὖ μοναρχίας· ταύτας φαῖεν μὲν ἂν ἐπί-
E στασθαι πάμπολλοι, πλεῖστον δ' ἀπολείπονται τοῦ κατα-
νοεῖν αὐτὰς πλὴν ὀλίγων δή τινων. ἥτις μὲν ἂν οὖν τῶν
πολιτειῶν τὴν αὑτῆς φθέγγηται φωνὴν πρός τε θεοὺς καὶ
πρὸς ἀνθρώπους, καὶ τῇ φωνῇ τὰς πράξεις ἑπομένας ἀπο-
διδῷ, θάλλει τε ἀεὶ καὶ σώζεται, μιμουμένη δ' ἄλλην
φθείρεται. πρὸς ταῦτ' οὖν Εὐφραῖός σοι γίγνοιτ' οὐχ
ἥκιστα ἂν χρήσιμος, καίπερ καὶ πρὸς ἄλλα ὢν ἀνδρεῖος·
322 τοὺς γὰρ τῆς μοναρχίας λόγους οὐχ ἥκιστ' αὐτὸν ἐλπίζω
ξυνεξευρήσειν τῶν περὶ τὴν σὴν διατριβὴν ὄντων· εἰς
ταῦτ' οὖν αὐτῷ χρώμενος ὀνήσει τε αὐτὸς καὶ ἐκεῖνον
πλεῖστα ὠφελήσεις. ἐὰν δέ τις ἀκούσας ταῦτα εἴπῃ, Πλά-
των, ὡς ἔοικε, προσποιεῖται μὲν τὰ δημοκρατίᾳ ξυμφέ-
ροντα εἰδέναι, ἐξὸν δ' ἐν τῷ δήμῳ λέγειν καὶ συμβουλεύειν
αὐτῷ τὰ βέλτιστα οὐ πώποτε ἀναστὰς ἐφθέγξατο, πρὸς
ταῦτ' εἰπεῖν, ὅτι Πλάτων ὀψὲ ἐν τῇ πατρίδι γέγονε καὶ
B τὸν δῆμον κατέλαβεν ἤδη πρεσβύτερον καὶ εἰθισμένον
ὑπὸ τῶν ἔμπροσθεν πολλὰ καὶ ἀνόμοια τῇ ἐκείνου ξυμ-
βουλῇ πράττειν· ἐπεὶ πάντων ἂν ἥδιστα καθάπερ πατρὶ
συνεβούλευεν αὐτῷ, εἰ μὴ μάτην μὲν κινδυνεύσειν ᾤετο,
πλέον δ' οὐδὲν ποιήσειν. ταὐτὸν δὴ οἶμαι δρᾶσαι ἂν καὶ
τὴν ἐμὴν ξυμβουλήν. εἰ γὰρ δόξαιμεν ἀνιάτως ἔχειν,
πολλὰ ἂν χαίρειν ἡμῖν εἰπὼν ἐκτὸς ἂν γίγνοιτο τῆς περὶ
C ἐμὲ καὶ τὰ ἐμὰ ξυμβουλῆς. εὐτύχει.

ς'.

Πλάτων Ἑρμείᾳ καὶ Ἐράστῳ καὶ Κορίσκῳ εὖ πράττειν.

Ἐμοὶ φαίνεται θεῶν τις ὑμῖν τύχην ἀγαθήν, ἂν εὖ δέξησθε, εὐμενῶς καὶ ἱκανῶς παρασκευάζειν. οἰκεῖτε γὰρ δὴ γειτονές τε ὑμῖν αὐτοῖς καὶ χρείαν ἔχοντες ὥστε ἀλλήλους εἰς τὰ μέγιστα ὠφελεῖν. Ἑρμεία μὲν γὰρ οὔτε ἵππων πλῆθος οὔτε ἄλλης πολεμικῆς συμμαχίας οὐδ' αὖ χρυσοῦ προσγενομένου γένοιτ' ἂν μείζων εἰς τὰ πάντα δύναμις, ἢ φίλων βεβαίων τε καὶ ἤθος ἐχόντων ὑγιές· Ἐράστῳ δὲ καὶ Κορίσκῳ πρὸς τῇ τῶν εἰδῶν σοφίᾳ τῇ καλῇ ταύτῃ φήμ' ἐγώ, καίπερ γέρων ὤν, προσδεῖν σοφίας τῆς περὶ τοὺς πονηροὺς καὶ ἀδίκους φυλακτικῆς καί τινος ἀμυντικῆς δυνάμεως. ἄπειροι γάρ εἰσι διὰ τὸ μεθ' ἡμῶν μετρίων ὄντων καὶ οὐ κακῶν συχνὸν διατετριφέναι τοῦ βίου· διὸ δὴ τούτων προσδεῖν εἶπον, ἵνα μὴ ἀναγκάζωνται τῆς ἀληθινῆς ἀμελεῖν σοφίας, τῆς δὲ ἀνθρωπίνης τε καὶ ἀναγκαίας ἐπιμελεῖσθαι μειζόνως ἢ δεῖ. ταύτην δ' αὖ τὴν δύναμιν Ἑρμείας μοι φαίνεται φύσει τε ὅσα μήπω ξυγγεγονότι καὶ τέχνῃ δι' ἐμπειρίας εἰληφέναι. τί οὖν δὴ λέγω; σοὶ μέν, Ἑρμεία, πεπειραμένος Ἐράστου καὶ Κορίσκου πλέονα ἢ σὺ φημὶ καὶ μηνύω καὶ μαρτυρῶ μὴ ῥᾳδίως εὑρήσειν σε ἀξιοπιστότερα ἤθη τούτων τῶν γειτόνων· ἔχεσθαι δὴ παντὶ ξυμβουλεύω δικαίῳ τρόπῳ τούτων τῶν ἀνδρῶν, μὴ πάρεργον ἡγουμένῳ· Κορίσκῳ δὲ καὶ Ἐράστῳ πάλιν Ἑρμείου αὐτέχεσθαι ξύμβουλός εἰμι καὶ πειρᾶσθαι ταῖς ἀνθέξεσιν ἀλλήλων εἰς μίαν ἀφικέσθαι φιλίας ξυμπλοκήν. ἂν δέ τις ὑμῶν ἄρα ταύτην πη λύειν

δοκῇ, τὸ γαρ ἀνθρώπινον οὐ παντάπασι βέβαιον, δεῦρο παρ' ἐμὲ καὶ τοὺς ἐμοὺς πέμπετε μομφῆς κατήγορον ἐπιστολήν· οἶμαι γὰρ δίκῃ τε καὶ αἰδοῖ τοὺς παρ' ἡμῶν ἐντεῦθεν ἐλθόντας λόγους, εἰ μή τι τὸ λυθὲν μέγα τύχοι γενόμενον, ἐπῳδῆς ἡστινοσοῦν μᾶλλον ἂν συμφῦσαι καὶ συνδῆσαι πάλιν εἰς τὴν προϋπάρχουσαν φιλότητά τε καὶ
C κοινωνίαν· ἣν ὅταν μὲν φιλοσοφῶμεν ἅπαντες ἡμεῖς τε καὶ ὑμεῖς, ὅσον ἂν δυνώμεθα καὶ ἑκάστῳ παρείκῃ, κύρια τὰ νῦν κεχρησμῳδημένα ἔσται· τὸ δὲ ἂν μὴ δρῶμεν ταῦτα οὐκ ἐρῶ· φήμην γὰρ ἀγαθὴν μαντεύομαι, καὶ φημὶ δὴ ταῦθ' ἡμᾶς πάντ' ἀγαθὰ ποιήσειν, ἂν θεὸς ἐθέλῃ. ταύτην τὴν ἐπιστολὴν πάντας ὑμᾶς τρεῖς ὄντας ἀναγνῶναι χρή, μάλιστα μὲν ἀθρόους, εἰ δὲ μή, κατὰ δύο, κοινῇ κατὰ δύναμιν ὡς οἷόν τ' ἐστὶ πλειστάκις, καὶ χρῆσθαι συνθήκῃ
D καὶ νόμῳ κυρίῳ, ὅ ἐστι δίκαιον, ἐπομνύντας σπουδῇ τε ἅμα μὴ ἀμούσῳ καὶ τῇ τῆς σπουδῆς ἀδελφῇ παιδιᾷ, καὶ τὸν τῶν πάντων θεὸν ἡγεμόνα τῶν τε ὄντων καὶ τῶν μελλόντων τοῦ τε ἡγεμόνος καὶ αἰτίου πατέρα κύριον ἐπομνύντας, ὅν, ἂν ὄντως φιλοσοφῶμεν, εἰσόμεθα πάντες σαφῶς εἰς δύναμιν ἀνθρώπων εὐδαιμόνων.

Ζ.

Πλάτων τοῖς Δίωνος οἰκείοις τε καὶ ἑταίροις εὖ πράττειν.

Ἐπεστείλατέ μοι νομίζειν δεῖν τὴν διάνοιαν ὑμῶν εἶναι τὴν αὐτὴν ἣν εἶχε καὶ Δίων, καὶ δὴ καὶ κοινωνεῖν διεπελεύσεσθέ μοι, καθ' ὅσον οἷός τ' εἰμὶ ἔργῳ καὶ λόγῳ.

ἐγὼ δέ, εἰ μὲν δόξαν καὶ ἐπιθυμίαν τὴν αὐτὴν ἔχετε ἐκείνῳ, 324
ξύμφημι κοινωνήσειν, εἰ δὲ μή, βουλεύσεσθαι πολλάκις.
τίς δ' ἦν ἡ ἐκείνου διάνοια καὶ ἐπιθυμία, σχεδὸν οὐκ εἰ-
κάζων ἀλλ' ὡς εἰδὼς σαφῶς εἴποιμ' ἄν. ὅτε γὰρ κατ' ἀρ-
χὰς εἰς Συρακούσας ἐγὼ ἀφικόμην, σχεδὸν ἔτη τετταρά-
κοντα γεγονώς, Δίωνι εἶχε τὴν ἡλικίαν, ἣν τὰ νῦν Ἱππα-
ρῖνος γέγονε, καὶ ἣν ἔσχε τότε δόξαν, ταύτην καὶ διετέλε-
σεν ἔχων, Συρακοσίους οἴεσθαι δεῖν ἐλευθέρους εἶναι, B
κατὰ νόμους τοὺς ἀρίστους οἰκοῦντας· ὥστε οὐδὲν θαυ-
μαστόν, εἴ τις θεῶν καὶ τοῦτον εἰς τὴν αὐτὴν δόξαν περὶ
πολιτείας ἐκείνῳ γενέσθαι σύμφρονα ποιήσειε. τίς δ' ἦν
ὁ τρόπος τῆς γενέσεως αὐτῆς, οὐκ ἀπάξιον ἀκοῦσαι νέῳ
καὶ μὴ νέῳ, πειράσομαι δὲ ἐξ ἀρχῆς αὐτὴν ἐγὼ πρὸς ὑμᾶς
διεξελθεῖν· ἔχει γὰρ καιρὸν τὰ νῦν.

Νέος ἐγώ ποτε ὢν πολλοῖς δὴ ταὐτὸν ἔπαθον· ᾠήθην, εἰ θᾶττον ἐμαυτοῦ γενοίμην κύριος, ἐπὶ τὰ κοινὰ τῆς
πόλεως εὐθὺς ἰέναι· καί μοι τύχαι τινὲς τῶν τῆς πόλεως C
πραγμάτων τοιαίδε παρέπεσον. ὑπὸ πολλῶν γὰρ τῆς τότε
πολιτείας λοιδορουμένης μεταβολὴ γίγνεται, καὶ τῆς με-
ταβολῆς εἷς καὶ πεντήκοντά τινες ἄνδρες προὔστησαν ἄρ-
χοντες, ἕνδεκα μὲν ἐν ἄστει, δέκα δ' ἐν Πειραιεῖ, περί τε
ἀγορὰν ἑκάτεροι τούτων ὅσα τ' ἐν τοῖς ἄστεσι διοικεῖν
ἔδει, τριάκοντα δὲ πάντων ἄρχοντες κατέστησαν αὐτο-
κράτορες. τούτων δή τινες οἰκεῖοί τε ὄντες καὶ γνώριμοι D
ἐτύγχανον ἐμοί, καὶ δὴ καὶ παρεκάλουν εὐθὺς ὡς ἐπὶ προ-
σήκοντα πράγματά με. καὶ ἐγὼ θαυμαστὸν οὐδὲν ἔπα-
θον ὑπο νεότητος· ᾠήθην γὰρ αὐτοὺς ἔκ τινος ἀδίκου
βίου ἐπὶ δίκαιον τρόπον ἄγοντας διοικήσειν δὴ τὴν πόλιν,
ὥστε αὐτοῖς σφόδρα προσεῖχον τὸν νοῦν, τί πράξοιεν. καὶ
ὁρῶν δή που τοὺς ἄνδρας ἐν χρόνῳ ὀλίγῳ χρυσὸν ἀποδεί-
ξαντας τὴν ἔμπροσθεν πολιτείαν, τά τε ἄλλα καὶ φίλον
ἄνδρα ἐμοὶ πρεσβύτερον Σωκράτη, ὃν ἐγὼ σχεδὸν οὐκ ἂν

αἰσχυνοίμην εἰπὼν δικαιότατον εἶναι τῶν τότε, ἐπί τινα τῶν πολιτῶν μεθ' ἑτέρων ἔπεμπον βίᾳ ἄξοντα ὡς ἀποθα-
325 νούμενον, ἵνα δὴ μετέχοι τῶν πραγμάτων αὐτοῖς, εἴτε βούλοιτο εἴτε μή· ὁ δ' οὐκ ἐπείθετο, πᾶν δὲ παρεκινδύνευσε παθεῖν πρὶν ἀνοσίων αὐτοῖς ἔργων γενέσθαι κοινωνός. ἃ δὴ πάντα καθορῶν καὶ εἴ τιν' ἄλλα τοιαῦτα οὐ σμικρά, ἐδυσχέρανά τε καὶ ἐμαυτὸν ἐπανήγαγον ἀπὸ τῶν τότε κακῶν· χρόνῳ δὲ οὐ πολλῷ μετέπεσε τὰ τῶν τριά-
B κοντά τε καὶ πᾶσα ἡ τότε πολιτεία. πάλιν δὲ βραδύτερον μέν, εἶλκε δέ με ὅμως ἡ περὶ τὸ πράττειν τὰ κοινὰ καὶ πολιτικὰ ἐπιθυμία. ἦν οὖν καὶ ἐν ἐκείνοις ἅτε τεταραγμένοις πολλὰ γιγνόμενα, ἃ τις ἂν δυσχεράνειε, καὶ οὐδέν τι θαυμαστὸν ἦν τιμωρίας ἐχθρῶν γίγνεσθαί τινών τισι μείζους ἐν μεταβολαῖς· καί τοι πολλῇ γε ἐχρήσαντο οἱ τότε κατελθόντες ἐπιεικείᾳ. κατὰ δέ τινα τύχην αὖ τὸν ἑταῖρον ἡμῶν Σωκράτη τοῦτον δυναστεύοντές τινες εἰς-
C άγουσιν εἰς δικαστήριον, ἀνοσιωτάτην αἰτίαν ἐπιβάλλοντες καὶ πάντων ἥκιστα Σωκράτει προσήκουσαν· ὡς ἀσεβῆ γὰρ οἱ μὲν εἰσήγαγον, οἱ δὲ κατεψηφίσαντο καὶ ἀπέκτειναν τὸν τότε τῆς ἀνοσίου ἀγωγῆς οὐκ ἐθελήσαντα μετασχεῖν περὶ ἕνα τῶν τότε φευγόντων φίλων, ὅτε φεύγοντες ἐδυστύχουν αὐτοί. σκοποῦντι δή μοι ταῦτά τε καὶ τοὺς ἀνθρώπους τοὺς πράττοντας τὰ πολιτικά, καὶ τοὺς νόμους γε καὶ ἔθη, ὅσῳ μᾶλλον διεσκόπουν ἡλικίας τε εἰς τὸ πρόσθε προὔβαινον, τοσούτῳ χαλεπώτερον ἐφαίνετο
D ὀρθῶς εἶναί μοι τὰ πολιτικὰ διοικεῖν· οὔτε γὰρ ἄνευ φίλων ἀνδρῶν καὶ ἑταίρων πιστῶν οἷόν τ' εἶναι πράττειν, οὓς οὔθ' ὑπάρχοντας ἦν εὑρεῖν εὐπετές, οὐ γὰρ ἔτι ἐν τοῖς τῶν πατέρων ἤθεσι καὶ ἐπιτηδεύμασιν ἡ πόλις ἡμῶν διῳκεῖτο, καινούς τε ἄλλους ἀδύνατον ἦν κτᾶσθαι μετά τινος ῥᾳστώνης, τά τε τῶν νόμων γράμματα καὶ ἔθη διεφθείρετο καὶ ἐπεδίδου θαυμαστὸν ὅσον, ὥστε με, τὸ πρῶτον

πολλῆς μεστὸν ὄντα ὁρμῆς ἐπὶ τὸ πράττειν τὰ κοινά, βλέ- E
ποντα εἰς ταῦτα καὶ φερόμενα ὁρῶντα πάντη πάντως, τε-
λευτῶντα ἰλιγγιᾷν, καὶ τοῦ μὲν σκοπεῖν μὴ ἀποστῆναι,
πῇ ποτὲ ἄμεινον ἂν γίγνοιτο περί τε αὐτὰ ταῦτα καὶ δὴ
καὶ περὶ τὴν πᾶσαν πολιτείαν, τοῦ δὲ πράττειν αὖ περι- 326
μένειν ἀεὶ καιρούς, τελευτῶντα δὲ νοῆσαι περὶ πασῶν
τῶν νῦν πόλεων, ὅτι κακῶς ξύμπασαι πολιτεύονται. τὰ
γὰρ τῶν νόμων αὐταῖς σχεδὸν ἀνιάτως ἔχοντά ἐστιν ἄνευ
παρασκευῆς θαυμαστῆς τινὸς μετὰ τύχης· λέγειν τε ἠναγ-
κάσθην, ἐπαινῶν τὴν ὀρθὴν φιλοσοφίαν, ὡς ἐκ ταύτης
ἔστι τά τε πολιτικὰ δίκαια καὶ τὰ τῶν ἰδιωτῶν πάντα
κατιδεῖν· κακῶν οὖν οὐ λήξειν τὰ ἀνθρώπινα γένη, πρὶν
ἂν ἢ τὸ τῶν φιλοσοφούντων ὀρθῶς γε καὶ ἀληθῶς γέ- B
νος εἰς ἀρχὰς ἔλθῃ τὰς πολιτικὰς ἢ τὸ τῶν δυναστευόν-
των ἐν ταῖς πόλεσιν ἔκ τινος μοίρας θείας ὄντως φιλο-
σοφήσῃ.

Ταύτην δὴ τὴν διάνοιαν ἔχων εἰς Ἰταλίαν τε καὶ Σι-
κελίαν ἦλθον, ὅτε πρῶτον ἀφικόμην. ἐλθόντα δέ με ὁ
ταύτῃ λεγόμενος αὖ βίος εὐδαίμων, Ἰταλιωτικῶν τε καὶ
Συρακουσίων τραπεζῶν πλήρης, οὐδαμῇ οὐδαμῶς ἤρεσε,
δίς τε τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν καὶ μηδέποτε κοιμώ-
μενον μόνον νύκτωρ, καὶ ὅσα τούτῳ ἐπιτηδεύματα ξυνέ- C
πεται τῷ βίῳ· ἐκ γὰρ τούτων τῶν ἐθῶν οὔτ' ἂν φρόνιμος
γένοιτο ἀνδρὸς οὐδείς ποτε γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων ἐκ
νέου ἐπιτηδεύων δύναιτο, οὐκ οὕτω θαυμαστῇ φύσει
κραθήσεται, σώφρων δὲ οὐδ' ἂν μελλήσαι ποτὲ γενέσθαι,
καὶ δὴ καὶ περὶ τῆς ἄλλης ἀρετῆς ὁ αὐτὸς λόγος ἂν εἴη.
πόλις τε οὐδεμία ἂν ἠρεμήσαι κατὰ νόμους οὐδ' οὐστι-
νασοῦν ἀνδρῶν οἰομένων ἀναλίσκειν μὲν δεῖν πάντα ἐς
ὑπερβολάς, ἀργῶν δὲ εἰς ἅπαντα ἡγουμένων αὖ δεῖν γί- D
γνεσθαι πλὴν εἰς εὐωχίας καὶ πότους καὶ ἀφροδισίων
σπουδὰς διαπονουμένας· ἀναγκαῖον δὲ εἶναι ταύτας τὰς

πόλεις τυραννίδας τε καὶ ὀλιγαρχίας καὶ δημοκρατίας μεταβαλλούσας μηδέποτε λήγειν, δικαίου δὲ καὶ ἰσονόμου πολιτείας τοὺς ἐν αὐταῖς δυναστεύοντας μηδ' ὄνομα ἀκούοντας ἀνέχεσθαι. ταῦτα δὴ πρὸς τοῖς πρόσθε διανοούμενος εἰς Συρακούσας διεπορεύθην, ἴσως μὲν κατὰ τύχην,
E ἔοικε μὴν τότε μηχανωμένῳ τινὶ τῶν κρειττόνων ἀρχὴν βαλέσθαι τῶν νῦν γεγονότων πραγμάτων περὶ Δίωνα καὶ τῶν περὶ Συρακούσας· δέος δέ, μὴ καὶ πλειόνων ἔτι, ἐὰν μὴ νῦν ὑμεῖς ἐμοὶ πείθησθε τὸ δεύτερον συμβουλεύοντι. πῶς οὖν δὴ λέγω πάντων ἀρχὴν γεγονέναι τὴν τότε εἰς
327 Σικελίαν ἐμὴν ἄφιξιν; ἐγὼ συγγενόμενος Δίωνι τότε νέῳ κινδυνεύω, τὰ δοκοῦντα ἐμοὶ βέλτιστα ἀνθρώποις εἶναι μηνύων διὰ λόγων καὶ πράττειν αὐτὰ ξυμβουλεύων, ἀγνοεῖν ὅτι τυραννίδος τινὰ τρόπον κατάλυσιν ἐσομένην μηχανώμενος ἐλάνθανον ἐμαυτόν. Δίων μὲν γὰρ δὴ μάλ' εὐμαθὴς ὢν πρός τε τἆλλα καὶ πρὸς τοὺς τότε ὑπ' ἐμοῦ λόγους λεγομένους οὕτως ὀξέως ὑπήκουσε καὶ σφόδρα,
B ὡς οὐδεὶς πώποτε ὧν ἐγὼ προσέτυχον νέων, καὶ τὸν ἐπίλοιπον βίον ζῆν ἠθέλησε διαφερόντως τῶν πολλῶν Ἰταλιωτῶν τε καὶ Σικελιωτῶν, ἀρετὴν περὶ πλείονος ἡδονῆς τῆς τε ἄλλης τρυφῆς ἠγαπηκώς· ὅθεν ἐπαχθέστερον τοῖς περὶ τὰ τυραννικὰ νόμιμα ζῶσιν ἐβίω μέχρι τοῦ θανάτου τοῦ περὶ Διονύσιον γενομένου. μετὰ δὲ τοῦτο διενοήθη μὴ μόνον ἐν αὐτῷ ποτ' ἂν γενέσθαι ταύτην τὴν διάνοιαν,
C ἣν αὐτὸς ὑπὸ τῶν ὀρθῶν λόγων ἔσχεν, ἐγγιγνομένην δ' αὐτὴν καὶ ἐν ἄλλοις ὁρῶν κατενόει, πολλοῖς μὲν οὔ, γιγνομένην δ' οὖν ἔν τισιν, ὧν καὶ Διονύσιον ἡγήσατο ἕνα γενέσθαι τάχ' ἂν ξυλλαμβανόντων θεῶν, γενομένου δ' αὖ τοῦ τοιούτου τόν τε αὐτοῦ βίον καὶ τὸν τῶν ἄλλων Συρακουσίων ἀμήχανον ἂν μακαριότητι ξυμβῆναι γενόμενον. πρὸς δὴ τούτοις ᾠήθη δεῖν ἐκ παντὸς τρόπου εἰς Συρακούσας ὅ τι τάχιστα ἐλθεῖν ἐμὲ κοινωνὸν τούτων,

μεμνημένος τήν τε αὐτοῦ καὶ ἐμὴν συνουσίαν, ὡς εὐπε- D
τῶς ἐξειργάσατο εἰς ἐπιθυμίαν ἐλθεῖν αὐτὸν τοῦ καλλί-
στου τε καὶ ἀρίστου βίου· ὃ δὴ καὶ νῦν εἰ διαπράξαιτο ἐν
Διονυσίῳ ὡς ἐπεχείρησε, μεγάλας ἐλπίδας εἶχεν ἄνευ σφα-
γῶν καὶ θανάτων καὶ τῶν νῦν γεγονότων κακῶν βίον ἂν
εὐδαίμονα καὶ ἀληθινὸν ἐν πάσῃ τῇ χώρᾳ κατασκευάσαι.
ταῦτα Δίωνι ὀρθῶς διανοηθεὶς ἔπεισε μεταπέμπεσθαι
Διονύσιον ἐμέ, καὶ αὐτὸς ἐδεῖτο πέμπων ἥκειν ὅ τι τάχι-
στα ἐκ παντὸς τρόπου, πρίν τινας ἄλλους ἐντυχόντας Διο- E
νυσίῳ ἐπ' ἄλλον βίον αὐτὸν τοῦ βελτίστου παρατρέψαι.
λέγων δὲ τάδε ἐδεῖτο, εἰ καὶ μακρότερα εἰπεῖν. τίνας γὰρ
καιρούς, ἔφη, μείζους περιμενοῦμεν τῶν νῦν παραγεγο-
νότων θεία τινὶ τύχῃ; καταλέγων δὲ τήν τε ἀρχὴν τῆς
Ἰταλίας καὶ Σικελίας καὶ τὴν αὐτοῦ δύναμιν ἐν αὐτῇ, καὶ 328
τὴν νεότητα καὶ τὴν ἐπιθυμίαν τὴν Διονυσίου φιλοσοφίας
τε καὶ παιδείας ὡς ἔχοι σφόδρα λέγων, τούς τε αὐτοῦ
ἀδελφιδοῦς καὶ τοὺς οἰκείους ὡς εὐπαράκλητοι εἶεν πρὸς
τὸν ὑπ' ἐμοῦ λεγόμενον ἀεὶ λόγον καὶ βίον, ἱκανώτατοί
τε Διονύσιον συμπαρακαλεῖν, ὥστε εἴπερ ποτὲ καὶ νῦν
ἐλπὶς πᾶσα ἀποτελεσθήσεται τοῦ τοὺς αὐτοὺς φιλοσόφους
τε καὶ πόλεων ἄρχοντας μεγάλων ξυμβῆναι γενομένους.
τὰ μὲν δὴ παρακελεύματα ἦν ταῦτά τε καὶ τοιαῦτα ἕτερα B
πάμπολλα, τὴν δ' ἐμὴν δόξαν τὸ μὲν περὶ τῶν νέων, ὅπῃ
ποτὲ γενήσοιτο, εἶχε φόβος· αἱ γὰρ ἐπιθυμίαι τῶν τοιού-
των ταχεῖαι καὶ πολλάκις ἑαυταῖς ἐναντίαι φερόμεναι· τὸ
δὲ Δίωνος ἠπιστάμην τῆς ψυχῆς πέρι φύσει τε ἐμβριθὲς
ὂν ἡλικίας τε ἤδη μετρίως ἔχον. ὅθεν μοι σκοπουμένῳ
καὶ διστάζοντι, πότερον εἴη πορευτέον ἢ πῶς, ὅμως ἔρρεψε
δεῖν, εἴ ποτέ τις τὰ διανοηθέντα περὶ νόμων τε καὶ πολι- C
τείας ἀποτελεῖν ἐγχειρήσοι, καὶ νῦν πειρατέον εἶναι· πεί-
σας γὰρ ἕνα μόνον ἱκανῶς πάντα ἐξειργασμένος ἐσοίμην
ἀγαθά. ταύτῃ μὲν δὴ τῇ διανοίᾳ τε καὶ τόλμῃ ἀπῆρα οἴ-

κοθεν, οὐχ ᾗ τινὲς ἐδόξαζον, ἀλλ' αἰσχυνόμενος μὲν ἐμαυτὸν τὸ μέγιστον, μὴ δόξαιμί ποτε ἐμαυτῷ παντάπασι λόγοις μόνον ἀτεχνῶς εἶναι τίς, ἔργου δὲ οὐδενὸς ἂν ποτε ἑκὼν ἀνθάψασθαι, κινδυνεύσειν δὲ προδοῦναι πρῶτον
D μὲν τὴν Δίωνος ξενίαν τε καὶ ἑταιρείαν ἐν κινδύνοις ὄντως γεγονότος οὐ σμικροῖς. εἴτ' οὖν πάθοι τι, εἴτ' ἐκπεσὼν ὑπὸ Διονυσίου καὶ τῶν ἄλλων ἐχθρῶν ἔλθοι παρ' ἡμᾶς φεύγων καὶ ἀνέροιτο εἰπών· ὦ Πλάτων, ἦκω σοι φυγὰς οὐχ ὁπλιτῶν δεόμενος οὐδὲ ἱππέων ἐνδεὴς γενόμενος τοῦ ἀμύνασθαι τοὺς ἐχθρούς, ἀλλὰ λόγων καὶ πειθοῦς, ᾗ σὲ μάλιστα ἠπιστάμην ἐγὼ δυνάμενον ἀνθρώπους νέους ἐπὶ τὰ ἀγαθὰ καὶ τὰ δίκαια προτρέποντα εἰς φιλίαν
E τε καὶ ἑταιρείαν ἀλλήλοις καθιστάναι ἑκάστοτε· ὧν ἐνδεία κατὰ τὸ σὸν μέρος νῦν ἐγὼ καταλιπὼν Συρακούσας ἐνθάδε πάρειμι· καὶ τὸ μὲν ἐμὸν ἔλαττον ὄνειδός σοι φέρει· φιλοσοφία δέ, ἣν ἐγκωμιάζεις ἀεὶ καὶ ἀτίμως φῇς ὑπὸ τῶν λοιπῶν ἀνθρώπων φέρεσθαι, πῶς οὐ προδέδοται τὰ νῦν
329 μετ' ἐμοῦ μέρος ὅσον ἐπὶ σοὶ γέγονε; καὶ Μεγαροῖ μὲν εἰ κατοικοῦντες ἐτυγχάνομεν, ἦλθες δή που ἄν μοι βοηθὸς ἐφ' ἃ σε παρεκάλουν, ἢ πάντων ἂν φαυλότατον ἡγοῦ σαυτόν· νῦν δ' ἄρα τὸ μῆκος τῆς πορείας καὶ τὸ μέγεθος δὴ τοῦ πλοῦ καὶ τοῦ πόνου ἐπαιτιώμενος οἷει δόξαν κακίας ἀποφευξεῖσθαί ποτε; πολλοῦ καὶ δεήσει. λεχθέντων δὲ τούτων τίς ἂν ἦν μοι πρὸς ταῦτα εὐσχήμων ἀπόκρισις; οὐκ ἔστιν. ἀλλ' ἦλθον μὲν κατὰ λόγον ἐν δίκῃ τε ὡς οἷόν
B τε ἄνθρωπον μάλιστα, διὰ τὰ τοιαῦτα καταλιπὼν τὰς ἐμαυτοῦ διατριβάς, οὔσας οὐκ ἀσχήμονας, ὑπὸ τυραννίδα δοκοῦσαν οὐ πρέπειν τοῖς ἐμοῖς λόγοις οὐδὲ ἐμοί· ἐλθών τε ἐμαυτὸν ἠλευθέρωσα Διὸς ξενίου καὶ τῆς φιλοσόφου ἀνέγκλητον μοίρας παρέσχον, ἐπονειδίστου γενομένης ἄν, εἴ τι καταμαλθακισθεὶς καὶ ἀποδειλιῶν αἰσχύνης μετέσχον κακῆς. ἐλθὼν δέ, οὐ γὰρ δεῖ μηκύνειν, εὗρον στά-

σεως τὰ περὶ Διονύσιον μεστὰ ξύμπαντα καὶ διαβολῶν
πρὸς τὴν τυραννίδα Δίωνος πέρι· ἤμυνον μὲν οὖν καθ' C
ὅσον ἠδυνάμην, σμικρὰ δ' οἷός τ' ἦν, μηνὶ δὲ σχεδὸν
ἴσως τετάρτῳ Δίωνα Διονύσιος αἰτιώμενος ἐπιβουλεύειν
τῇ τυραννίδι, σμικρὸν εἰς πλοῖον ἐμβιβάσας ἐξέβαλεν
ἀτίμως. οἱ δὴ Δίωνος τὸ μετὰ τοῦτο πάντες φίλοι ἐφο-
βούμεθα, μή τινα ἐπαιτιώμενος τιμωροῖτο ὡς συναίτιον
τῆς Δίωνος ἐπιβουλῆς· περὶ δ' ἐμοῦ καὶ διῆλθε λόγος
τις ἐν Συρακούσαις, ὡς τεθνεὼς εἴην ὑπὸ Διονυσίου τού-
των ὡς πάντων τῶν τότε γεγονότων αἴτιος. ὁ δὲ αἰ- D
σθανόμενος πάντας ἡμᾶς οὕτω διατεθέντας, φοβούμενος
μὴ μεῖζον ἐκ τῶν φόβων γένοιτό τι, φιλοφρόνως πάντας
ἀνελάμβανε, καὶ δὴ καὶ τὸν ἐμὲ παρεμυθεῖτό τε καὶ θαρ-
ρεῖν διεκελεύετο καὶ ἐδεῖτο πάντως μένειν· ἐγίγνετο γάρ
οἱ τὸ μὲν ἐμὲ φυγεῖν ἀπ' αὐτοῦ καλὸν οὐδέν, τὸ δὲ μέ-
νειν, διὸ δὴ καὶ σφόδρα προσεποιεῖτο δεῖσθαι. τὰς δὲ
τῶν τυράννων δεήσεις ἴσμεν, ὅτι μεμιγμέναι ἀνάγκαις
εἰσίν· ὃ δὴ μηχανώμενος διεκώλυέ μου τὸν ἔκπλουν, εἰς E
ἀκρόπολιν ἀγαγὼν καὶ κατοικίσας ὅθεν οὐδ' ἂν εἷς ἔτι
με ναύκληρος μὴ ὅτι κωλύοντος ἐξήγαγε Διονυσίου,
ἀλλ' οὐδ' εἰ μὴ πέμπων αὐτὸς τὸν κελεύοντα ἐξαγαγεῖν
ἐπέστελλεν, οὔτ' ἂν ἔμπορος οὔτε τῶν ἐν ταῖς τῆς χώρας
ἐξόδοις ἀρχόντων οὐδ' ἂν εἷς περιεῖδέ με μόνον ἐκπο-
ρευόμενον, ὃς οὐκ ἂν συλλαβὼν εὐθέως παρὰ Διονύ-
σιον πάλιν ἀπήγαγεν, ἄλλως τε καὶ διηγγελμένον ἤδη
ποτὲ τοὐναντίον ἢ τὸ πρότερον πάλιν, ὡς Πλάτωνα Διο- 330
νύσιος θαυμαστῶς ὡς ἀσπάζεται. τὸ δ' εἶχε δὴ πῶς; τὸ
γὰρ ἀληθὲς δεῖ φράζειν. ἠσπάζετο μὲν ἀεὶ προϊόντος
τοῦ χρόνου μᾶλλον κατὰ τὴν τοῦ τρόπου τε καὶ ἤθους
συνουσίαν, ἑαυτὸν δὲ ἐπαινεῖν μᾶλλον ἢ Δίωνα ἐβού-
λετό με καὶ φίλον ἡγεῖσθαι διαφερόντως μᾶλλον ἢ ἐκεῖ-
νον, καὶ θαυμαστῶς ἐφιλονείκει πρὸς τὸ τοιοῦτον· ἦ δ'

ἂν οὕτως ἐγένετο, εἴπερ ἐγίγνετο, κάλλιστα, ὤκνει ὡς δὴ
B μανθάνων καὶ ἀκούων τῶν περὶ φιλοσοφίαν λόγων οἰ-
κειοῦσθαι καὶ ἐμοὶ συγγίγνεσθαι, φοβούμενος τοὺς τῶν
διαβαλλόντων λόγους, μή πῃ παραποδισθείη καὶ Δίωνι
δὴ πάντα εἴη διαπεπραγμένος. ἐγὼ δὲ πάντα ὑπέμενον,
τὴν πρώτην διάνοιαν φυλάττων ἥπερ ἀφικόμην, εἴ πως
εἰς ἐπιθυμίαν ἔλθοι τῆς φιλοσόφου ζωῆς· ὁ δ' ἐνίκησεν
ἀντιτείνων.

Καὶ ὁ πρῶτος δὴ χρόνος τῆς εἰς Σικελίαν ἐμῆς
ἐπιδημήσεώς τε καὶ διατριβῆς διὰ πάντα ταῦτα ξυν-
C έβη γενόμενος. μετὰ δὲ τοῦτο ἀπεδήμησά τε καὶ πάλιν
ἀφικόμην πάσῃ σπουδῇ μεταπεμπομένου Διονυσίου·
ὧν δὲ ἕνεκα καὶ ὅσα ἔπραξα, ὡς εἰκότα τε καὶ δίκαια,
ὑμῖν πρῶτον μὲν ξυμβουλεύσας, ἃ χρὴ ποιεῖν ἐκ τῶν νῦν
γεγονότων, ὕστερον τὰ περὶ ταῦτα διέξειμι, τῶν ἐπαν-
ερωτώντων ἕνεκα, τί δὴ βουλόμενος ἦλθον τὸ δεύτερον,
ἵνα μὴ τὰ πάρεργα ὡς ἔργα μοι ξυμβαίνῃ λεγόμενα. λέγω
δὴ τάδε ἐγώ, τὸν συμβουλεύοντα ἀνδρὶ κάμνοντι καὶ
D δίαιταν διαιτωμένῳ μοχθηρὰν πρὸς ὑγίειαν ὅτι χρὴ πρῶ-
τον μὲν αὐτὸν μεταβάλλειν τὸν βίον, καὶ ἐθέλοντι μὲν
πείθεσθαι καὶ τἆλλα ἤδη παραινεῖν· μὴ ἐθέλοντι δέ, φεύ-
γοντα ἀπὸ τῆς τοῦ τοιούτου ξυμβουλῆς ἄνδρα τε ἡγοί-
μην ἂν καὶ ἰατρικόν, τὸν δὲ ὑπομένοντα τοὐναντίον
ἄνανδρόν τε καὶ ἄτεχνον. ταὐτὸν δὴ καὶ πόλει, εἴτε αὐ-
τῆς εἷς εἴη κύριος εἴτε καὶ πλείους, εἰ μὲν κατὰ τρόπον
ὀρθῇ πορευομένης ὁδῷ τῆς πολιτείας ξυμβουλεύοιτό τι
E τῶν προσφόρων, νοῦν ἔχοντος τὸ τοῖς τοιούτοις ξυμβου-
λεύειν· τοῖς δ' ἔξω τὸ παράπαν βαίνουσι τῆς ὀρθῆς πο-
λιτείας καὶ μηδαμῇ ἐθέλουσιν αὐτῆς εἰς ἴχνος ἰέναι, προα-
γορεύουσι δὲ τῷ ξυμβούλῳ τὴν μὲν πολιτείαν ἐᾶν καὶ μὴ
331 κινεῖν, ὡς ἀποθανουμένῳ ἐὰν κινῇ, ταῖς δὲ βουλήσεσι
καὶ ἐπιθυμίαις αὐτῶν ὑπηρετοῦντα ξυμβουλεύειν κε-

λεύουσι, τίνα τρόπον γίγνοιτ' ἂν ῥᾷστά τε καὶ τάχιστα εἰς τὸν ἀεὶ χρόνον, τὸν μὲν ὑπομένοντα ξυμβουλὰς τοιαύτας ἡγοίμην ἂν ἄνανδρον, τὸν δ' οὐχ ὑπομένοντα ἄνδρα. ταύτην δὴ τὴν διάνοιαν ἐγὼ κεκτημένος, ὅταν τίς μοι ξυμβουλεύηται περί τινος τῶν μεγίστων περὶ τὸν αὐτοῦ βίον, οἷον περὶ χρημάτων κτήσεως ἢ περὶ σώματος ἢ ψυχῆς ἐπιμελείας, ἂν μέν μοι τὸ καθ' ἡμέραν ἔν τινι B τρόπῳ δοκῇ ζῆν ἢ συμβουλεύσαντος ἂν ἐθέλειν πείθεσθαι περὶ ὧν ἀνακοινοῦται, προθύμως ξυμβουλεύω καὶ οὐκ ἀφοσιωσάμενος μόνον ἐπαυσάμην· ἐὰν δὲ μὴ ξυμβουλεύηταί μοι τὸ παράπαν ἢ συμβουλεύοντι δῆλος ᾖ μηδαμῇ πεισόμενος, αὐτόκλητος ἐπὶ τὸν τοιοῦτον οὐκ ἔρχομαι ξυμβουλεύσων, βιασόμενος δὲ οὐδ' ἂν υἱὸς ᾖ μου. δούλῳ δὲ ξυμβουλεύσαιμ' ἂν καὶ μὴ ἐθέλοντά γε προσβιαζοίμην· πατέρα δὲ ἢ μητέρα οὐχ ὅσιον ἡγοῦμαι C προσβιάζεσθαι μὴ νόσῳ παραφροσύνης ἐχομένους· ἐὰν δέ τινα καθεστῶτα ζῶσι βίον, ἑαυτοῖς ἀρέσκοντα, ἐμοὶ δὲ μή, μήτε ἀπεχθάνεσθαι μάτην νουθετοῦντα μήτε δὴ κολακεύοντά γε ὑπηρετεῖν αὐτοῖς πληρώσεις ἐπιθυμιῶν ἐκπορίζοντα, ἃς αὐτὸς ἀσπαζόμενος οὐκ ἂν ἐθέλοιμι ζῆν. ταὐτὸν δὴ καὶ περὶ πόλεως αὐτοῦ διανοούμενον χρὴ ζῆν τὸν ἔμφρονα· λέγειν μέν, εἰ μὴ καλῶς αὐτῷ φαίνοιτο πολιτεύεσθαι, εἰ μέλλοι μήτε ματαίως ἐρεῖν μήτε ἀπο- D θανεῖσθαι λέγων, βίαν δὲ πατρίδι πολιτείας μεταβολῆς μὴ προσφέρειν, ὅταν ἄνευ φυγῶν καὶ σφαγῆς ἀνδρῶν μὴ δυνατὸν ᾖ γίγνεσθαι τὴν ἀρίστην, ἡσυχίαν δὲ ἄγοντα εὔχεσθαι τἄ ἀγαθὰ αὐτῷ τε καὶ τῇ πόλει. κατὰ δὴ τοῦτον τὸν τρόπον ἐγὼ ὑμῖν τ' ἂν ξυμβουλεύοιμι, ξυνεβούλευον δὲ καὶ Διονυσίῳ μετὰ Δίωνος, ζῆν μὲν τὸ καθ' ἡμέραν πρῶτον, ὅπως ἐγκρατὴς αὐτὸς αὑτοῦ ὅ τι μάλιστα ἔσεσθαι μέλλοι καὶ πιστοὺς φίλους τε καὶ ἑταίρους E κτήσεσθαι, ὅπως μὴ πάθοι ἅπερ ὁ πατὴρ αὐτοῦ, ὃς πα-

ραλαβὼν Σικελίας πολλὰς καὶ μεγάλας πόλεις ὑπὸ τῶν βαρβάρων ἐκπεπορθημένας οὐχ οἷός τ' ἦν κατοικίσας πολιτείας ἐν ἑκάσταις καταστήσασθαι πιστὰς ἑταίρων
332 ἀνδρῶν, οὔτε ἄλλων δή ποθεν ὀθνείων οὔτε ἀδελφῶν, οὓς ἔθρεψέ τε αὐτὸς νεωτέρους ὄντας ἔκ τε ἰδιωτῶν ἄρχοντας καὶ ἐκ πενήτων πλουσίους ἐπεποιήκει διαφερόντως. τούτων κοινωνὸν τῆς ἀρχῆς οὐδένα οἷός τ' ἦν πειθοῖ καὶ διδαχῇ καὶ εὐεργεσίαις καὶ ξυγγενείαις ἀπεργασάμενος ποιήσασθαι, Δαρείου δὲ ἐπταπλασίῳ φαυλότερος ἐγένετο, ὃς οὐκ ἀδελφοῖς πιστεύσας οὐδ' ὑφ' αὑτοῦ τραφεῖσι, κοινωνοῖς δὲ μόνον τῆς τοῦ Μήδου τε καὶ εὐ-
B νούχου χειρώσεως, διένειμέ τε μέρη μείζω ἕκαστα Σικελίας πάσης ἑπτὰ καὶ πιστοῖς ἐχρήσατο τοῖς κοινωνοῖς καὶ οὐκ ἐπιτιθεμένοις οὔτε αὐτῷ οὔτε ἀλλήλοις, ἔδειξέ τε παράδειγμα, οἷον χρὴ τὸν νομοθέτην καὶ βασιλέα τὸν ἀγαθὸν γίγνεσθαι· νόμους γὰρ κατασκευάσας ἔτι καὶ νῦν διασέσωκε τὴν Περσῶν ἀρχήν. ἔτι δὲ Ἀθηναῖοι πρὸς τούτοις, οὐκ αὐτοὶ κατοικίσαντες πολλὰς τῶν Ἑλλήνων πόλεις ὑπὸ βαρβάρων ἐκβεβλημένας, ἀλλ' οἰκουμένας
C παραλαβόντες, ὅμως ἑβδομήκοντα ἔτη διεφύλαξαν τὴν ἀρχὴν ἄνδρας φίλους ἐν ταῖς πόλεσιν ἑκάσταις κεκτημένοι. Διονύσιος δὲ εἰς μίαν πόλιν ἀθροίσας πᾶσαν Σικελίαν ὑπὸ σοφίας, πιστεύων οὐδενί, μόγις ἐσώθη· πένης γὰρ ἦν ἀνδρῶν φίλων καὶ πιστῶν, οὗ μεῖζον σημεῖον εἰς ἀρετὴν καὶ κακίαν οὐκ ἔστιν οὐδέν, τοῦ ἔρημον ἢ μὴ τοιούτων ἀνδρῶν εἶναι. ἃ δὴ καὶ Διονυσίῳ ξυνεβουλεύομεν ἐγὼ καὶ Δίων, ἐπειδὴ τὰ παρὰ τοῦ πατρὸς αὐτῷ ξυνεβε-
D βήκει οὕτως, ἀνομιλήτῳ μὲν παιδείας, ἀνομιλήτῳ δὲ συνουσιῶν τῶν προσηκουσῶν γεγονέναι, πρῶτον ἐπὶ ταῦτα ὁρμήσαντα φίλους ἄλλους αὐτῷ τῶν οἰκείων ἅμα καὶ [redacted]μωτῶν καὶ συμφώνους πρὸς ἀρετὴν κτήσασθαι, μά-[redacted]δ' αὐτὸν αὐτῷ, τούτου γὰρ αὐτὸν θαυμαστῶς ἐν-

δεᾶ γεγονέναι· λέγοντες οὐκ ἐναργῶς οὕτως, οὐ γὰρ ἦν
ἀσφαλές, αἰνιττόμενοι δὲ καὶ διαμαχόμενοι τοῖς λόγοις,
ὡς οὕτω μὲν πᾶς ἀνὴρ αὐτόν τε καὶ ἐκείνους ὧν ἂν ἡγε-
μὼν γίγνηται σώσει, μὴ ταύτῃ δὲ τραπόμενος τἀναντία
πάντα ἀποτελεῖ· πορευθεὶς δὲ ὡς λέγομεν, καὶ ἑαυτὸν E
ἔμφρονά τε καὶ σώφρονα ἀπεργασάμενος, εἰ τὰς ἐξηρη-
μωμένας Σικελίας πόλεις κατοικίσειε νόμοις τε ξυνδήσειε καὶ πολιτείαις, ὥστε αὐτῷ τε οἰκείας καὶ ἀλλήλαις
εἶναι πρὸς τὰς τῶν βαρβάρων βοηθείας, οὐ διπλασίαν
τὴν πατρῴαν ἀρχὴν μόνον ποιήσοι, πολλαπλασίαν δὲ ὄν- 333
τως· ἕτοιμον γὰρ εἶναι τούτων γενομένων πολὺ μᾶλλον
δουλώσασθαι Καρχηδονίους τῆς ἐπὶ Γέλωνος αὐτοῖς γε-
νομένης δουλείας, ἀλλ' οὐχ ὥσπερ νῦν τοὐναντίον ὁ πα-
τὴρ αὐτοῦ φόρον ἐτάξατο φέρειν τοῖς βαρβάροις. ταῦτα
ἦν τὰ λεγόμενα καὶ παρακελευόμενα ὑφ' ἡμῶν τῶν ἐπι-
βουλευόντων Διονυσίῳ, ὡς πολλαχόθεν ἐχώρουν οἱ τοι-
οῦτοι λόγοι, οἳ δὴ καὶ κρατήσαντες παρὰ Διονυσίῳ ἐξέ-
βαλον μὲν Δίωνα, ἡμᾶς δ' εἰς φόβον κατέβαλον· ἵνα δ' B
ἐκπεράνωμεν οὐκ ὀλίγα πράγματα [τὰ] ἐν ὀλίγῳ χρόνῳ,
ἐλθὼν ἐκ Πελοποννήσου καὶ Ἀθηνῶν Δίων ἔργῳ τὸν
Διονύσιον ἐνουθέτησεν. ἐπειδὴ δ' οὖν ἠλευθέρωσέ τε
καὶ ἀπέδωκεν αὐτοῖς δὶς τὴν πόλιν, ταὐτὸν πρὸς Δίωνα
Συρακόσιοι τότε ἔπαθον, ὅπερ καὶ Διονύσιος, ὅτε αὐ-
τὸν ἐπεχείρει παιδεύσας καὶ θρέψας βασιλέα τῆς ἀρχῆς
ἄξιον οὕτω κοινωνεῖν αὐτῷ τοῦ βίου παντός, ὁ δὲ τοῖς
διαβάλλουσι καὶ λέγουσιν, ὡς ἐπιβουλεύων τῇ τυραννίδι C
Δίων πράττοι πάντα ὅσα ἔπραττεν ἐν τῷ τότε χρόνῳ, ἵνα
ὁ μὲν παιδείᾳ δὴ τὸν νοῦν κηληθεὶς ἀμελοῖ τῆς ἀρχῆς
ἐπιτρέψας ἐκείνῳ, ὁ δὲ σφετερίσαιτο καὶ Διονύσιον ἐκ-
βάλοι ἐκ τῆς ἀρχῆς δόλῳ. ταῦτα τότε ἐνίκησε καὶ τὸ δεύ-
τερον ἐν Συρακοσίοις λεγόμενα, καὶ μάλα ἀτόπῳ τε καὶ
αἰσχρᾷ νίκῃ τοῖς τῆς νίκης αἰτίοις. οἷον γὰρ γέγονεν,

ἀκοῦσαι χρὴ τοὺς ἐμὲ παρακαλοῦντας πρὸς τὰ νῦν πράγ-
D ματα. ἦλθον Ἀθηναῖος ἀνὴρ ἐγώ, ἑταῖρος Δίωνος, σύμ-
μαχος αὐτῷ πρὸς τὸν τύραννον, ὅπως ἀντὶ πολέμου φι-
λίαν ποιήσαιμι· διαμαχόμενος δὲ τοῖς διαβάλλουσιν ἡτ-
τήθην. πείθοντος δὲ Διονυσίου τιμαῖς καὶ χρήμασι
γενέσθαι μετ' αὐτοῦ ἐμὲ μάρτυρά τε καὶ φίλον πρὸς τὴν
εὐπρέπειαν τῆς ἐκβολῆς τῆς Δίωνος αὐτῷ γίγνεσθαι,
τούτων δὴ τὸ πᾶν διήμαρτεν, ὕστερον δὲ δὴ κατιὼν οἴ-
E καδε Δίων ἀδελφὼ δύο προσλαμβάνει Ἀθήνηθεν, οὐκ
ἐκ φιλοσοφίας γεγονότε φίλω, ἀλλ' ἐκ τῆς περιτρεχούσης
ἑταιρείας ταύτης τῆς τῶν πλείστων φίλων, ἣν ἐκ τοῦ ξε-
νίζειν τε καὶ μυεῖν καὶ ἐποπτεύειν πραγματεύονται, καὶ
δὴ καὶ τούτω τὼ ξυγκαταγαγόντε αὐτὸν φίλω ἐκ τούτων
τε καὶ ἐκ τῆς πρὸς τὴν κάθοδον ὑπηρεσίας ἐγενέσθην
334 ἑταίρω· ἐλθόντες δὲ εἰς Σικελίαν, ἐπειδὴ Δίωνα ᾔσθοντο
διαβεβλημένον εἰς τοὺς ἐλευθερωθέντας ὑπ' αὐτοῦ Σι-
κελιώτας ὡς ἐπιβουλεύοντά γενέσθαι τύραννον, οὐ μό-
νον τὸν ἑταῖρον καὶ ξένον προὔδοσαν, ἀλλ' οἷον τοῦ φό-
νου αὐτόχειρες ἐγένοντο, ὅπλα ἔχοντες ἐν ταῖς χερσὶν
αὐτοὶ τοῖς φονεῦσι παρεστῶτες ἐπίκουροι. καὶ τὸ μὲν
αἰσχρὸν καὶ ἀνόσιον οὔτε παρίεμαι ἔγωγε οὔτε τι λέγω·
πολλοῖς γὰρ καὶ ἄλλοις ὑμνεῖν ταῦτα ἐπιμελὲς καὶ εἰς
B τὸν ἔπειτα μελήσει χρόνον· τὸ δὲ Ἀθηναίων πέρι λεγό-
μενον, ὡς αἰσχύνην οὗτοι περιῆψαν τῇ πόλει, ἐξαιροῦ-
μαι· φημὶ γὰρ κἀκεῖνον Ἀθηναῖον εἶναι, ὃς οὐ προὔ-
δωκε τὸν αὐτὸν τοῦτον, ἐξὸν χρήματα καὶ ἄλλας τιμὰς
πολλὰς λαμβάνειν· οὐ γὰρ διὰ βαναύσου φιλότητος ἐγε-
γόνει φίλος, διὰ δὲ ἐλευθέρας παιδείας κοινωνίαν, ᾗ
μόνῃ χρὴ πιστεύειν τὸν νοῦν κεκτημένον μᾶλλον ἢ ξυγ-
γενείᾳ ψυχῶν καὶ σωμάτων· ὥστε οὐκ ἀξίω ὀνείδους γε-
C γόνατον τῇ πόλει τὼ Δίωνα ἀποκτείναντε, ὡς ἐλλογίμω
πώποτε ἄνδρε γενομένω.

Ταῦτα εἴρηται πάντα τῆς ξυμβουλῆς ἕνεκα τῶν Διωνείων φίλων καὶ ξυγγενῶν· ξυμβουλεύω δὲ δή τι πρὸς τούτοις τὴν αὐτὴν ξυμβουλὴν καὶ λόγον τὸν αὐτὸν λέγων ἤδη τρίτον τρίτοις ὑμῖν· μὴ δουλοῦσθαι Σικελίαν ὑπ' ἀνθρώποις δεσπόταις, μηδὲ ἄλλην πόλιν ὅ γ' ἐμὸς λόγος, ἀλλ' ὑπὸ νόμοις· οὔτε γὰρ τοῖς δουλουμένοις οὔτε τοῖς δουλωθεῖσιν ἄμεινον, αὐτοῖς καὶ παισὶ παίδων τε ἐκγό- D
νοις, ἀλλ' ὀλέθριος πάντως ἡ πεῖρα, σμικρὰ δὲ καὶ ἀνελεύθερα ψυχῶν ἤθη τὰ τοιαῦτα ἁρπάζειν κέρδη φιλεῖ, οὐδὲν τῶν εἰς τὸν ἔπειτα καὶ εἰς τὸν παρόντα καιρὸν ἀγαθῶν καὶ δικαίων εἰδότα θείων τε καὶ ἀνθρωπίνων. ταῦτα πρῶτον μὲν Δίωνα ἐγὼ ἐπεχείρησα πείθειν, δεύτερον δὲ Διονύσιον, τρίτους δὲ ὑμᾶς νῦν· καί μοι πείθεσθε Διὸς τρίτου σωτῆρος χάριν, εἶτα εἰς Διονύσιον βλέψαντες καὶ Δίωνα, ὧν ὁ μὲν μὴ πειθόμενος ζῇ τὰ νῦν οὐ καλῶς, ὁ δὲ πειθόμενος τέθνηκε καλῶς· τὸ γὰρ τῶν E
καλλίστων ἐφιέμενον αὐτῷ τε καὶ πόλει πάσχειν ὅ τι ἂν πάσχῃ πᾶν ὀρθὸν καὶ καλόν. οὔτε γὰρ πέφυκεν ἀθάνατος ἡμῶν οὐδείς, οὔτ' εἰ τῳ ξυμβαίη, γένοιτο ἂν εὐδαίμων, ὡς δοκεῖ τοῖς πολλοῖς· κακὸν γὰρ καὶ ἀγαθὸν οὐδὲν λόγου ἄξιόν ἐστι τοῖς ἀψύχοις, ἀλλ' ἢ μετὰ σώματος 335
οὖσῃ ψυχῇ τοῦτο ξυμβήσεται ἑκάστῃ ἢ κεχωρισμένῃ, πείθεσθαι δὲ ὄντως ἀεὶ χρὴ τοῖς παλαιοῖς τε καὶ ἱεροῖς λόγοις, οἳ δὴ μηνύουσιν ἡμῖν ἀθάνατον ψυχὴν εἶναι δικαστάς τε ἰσχειν καὶ τίνειν τὰς μεγίστας τιμωρίας, ὅταν τις ἀπαλλαχθῇ τοῦ σώματος· διὸ καὶ τὰ μεγάλα ἁμαρτήματα καὶ ἀδικήματα σμικρότερον εἶναι χρὴ νομίζειν κακὸν πάσχειν ἢ δρᾶσαι, ὧν ὁ φιλοχρήματος πένης τε ἀνὴρ τὴν ψυχὴν οὔτε ἀκούει, ἐάν τε ἀκούσῃ, καταγελῶν, ὡς οἴε- B
ται, πανταχόθεν ἀναιδῶς ἁρπάζει πᾶν ὅ τί περ ἂν οἴηται, καθάπερ θηρίον, φαγεῖν ἢ πιεῖν ἢ περὶ τὴν ἀνδραποδώδη καὶ ἀχάριστον, ἀφροδίσιον λεγομένην οὐκ ὀρθῶς,

ἡδονὴν ποριεῖν αὑτῷ τοὐμπίπλασθαι, τυφλὸς ὢν καὶ
οὐχ ὁρῶν, οἷς ξυνέπεται τῶν ἁρπαγμάτων ἀνοσιουργία,
κακὸν ἡλίκον ἀεὶ μετ' ἀδικήματος ἑκάστου, ἣν ἀναγκαῖον
τῷ ἀδικήσαντι συνεφέλκειν ἐπί τε γῆ στρεφομένῳ καὶ
C ὑπὸ γῆς νοστήσαντι πορείαν ἄτιμόν τε καὶ ἀθλίαν πάν-
τως πανταχῇ. Δίωνα δὴ ἐγὼ λέγων ταῦτά τε καὶ ἄλλα
τοιαῦτα ἔπειθον, καὶ τοῖς ἀποκτείνασιν ἐκεῖνον δικαιό-
τατ' ἂν ὀργιζοίμην ἐγὼ τρόπον τινὰ ὁμοιότατα καὶ Διο-
νυσίῳ· ἀμφότεροι γὰρ ἐμὲ καὶ τοὺς ἄλλους ὡς ἔπος εἰ-
πεῖν ἅπαντας τὰ μέγιστα ἔβλαψαν ἀνθρώπους, οἱ μὲν τὸν
βουλόμενον δικαιοσύνῃ χρῆσθαι διαφθείραντες, ὁ δὲ
οὐδὲν ἐθελήσας χρήσασθαι δικαιοσύνῃ διὰ πάσης τῆς
D ἀρχῆς, μεγίστην δύναμιν ἔχων, ἐν ᾗ γενομένη φιλοσοφία
τε καὶ δύναμις ὄντως ἐν ταὐτῷ διὰ πάντων ἀνθρώπων
Ἑλλήνων τε καὶ βαρβάρων λάμψασαν ἱκανῶς δόξαν παρ-
έστησε πᾶσι τὴν ἀληθῆ, ὡς οὐκ ἄν ποτε γένοιτο εὐδαί-
μων οὔτε πόλις οὔτ' ἀνὴρ οὐδείς, ὃς ἂν μὴ μετὰ φρονή-
σεως ὑπὸ δικαιοσύνῃ διαγάγῃ τὸν βίον, ἤτοι ἐν αὑτῷ
κεκτημένος ἢ ὁσίων ἀνδρῶν ἀρχόντων ἐν ἥθεσι τραφείς
E τε καὶ παιδευθεὶς ἐνδίκως. ταῦτα μὲν Διονύσιος ἔβλαψε·
τὰ δὲ ἄλλα σμικρὰ ἂν εἴη πρὸς ταῦτά μοι βλάβη· ὁ δὲ
Δίωνα ἀποκτείνας οὐκ οἶδε ταὐτὸν ἐξειργασμένος τούτῳ.
Δίωνα γὰρ ἐγὼ σαφῶς οἶδα, ὡς οἷόν τε περὶ ἀνθρώπων
ἄνθρωπον διισχυρίζεσθαι, ὅτι, τὴν ἀρχὴν εἰ κατέσχεν,
ὡς οὐκ ἄν ποτε ἐπ' ἄλλο γε σχῆμα ἀρχῆς ἐτράπετο ἢ [ἐπὶ
336 τὸ] Συρακούσας μὲν πρῶτον τὴν πατρίδα τὴν ἑαυτοῦ,
ἐπεὶ τὴν δουλείαν αὐτῆς ἀπήλλαξε καὶ φαιδρύνας ἐλευ-
θερίῳ ἐν σχήματι κατέστησε, τὸ μετὰ τοῦτ' ἂν πάσῃ μη-
χανῇ ἐκόσμησε νόμοις τοῖς προσήκουσί τε καὶ ἀρίστοις
τοὺς πολίτας, τό τε ἐφεξῆς τούτοις προὐθυμεῖτ' ἂν πρᾶ-
ξαι, πᾶσαν Σικελίαν κατοικίζειν καὶ ἐλευθέραν ἀπὸ τῶν
βαρβάρων ποιεῖν, τοὺς μὲν ἐκβάλλων, τοὺς δὲ χειρού-

μενος ῥᾷον Ἱέρωνος· τούτων δ' αὖ γενομένων δι' ἀν-
δρὸς δικαίου τε καὶ ἀνδρείου καὶ σώφρονος καὶ φιλοσό- B
φου τὴν αὐτὴν ἀρετῆς ἂν πέρι γενέσθαι δόξαν τοῖς πολ-
λοῖς, ἥπερ ἄν, εἰ Διονύσιος ἐπείσθη, παρὰ πᾶσιν ἂν ὡς
ἔπος εἰπεῖν ἀνθρώποις ἀπέσωσε γενομένη. νῦν δὲ ἤ πού
τις δαίμων ἤ τις ἀλιτήριος ἐμπεσὼν ἀνομία καὶ ἀθεότητι
καὶ τὸ μέγιστον τόλμαις ἀμαθίας, ἐξ ἧς πάντα κακὰ πᾶ-
σιν ἐρρίζωται καὶ βλαστάνει καὶ εἰς ὕστερον ἀποτελεῖ
καρπὸν τοῖς γεννήσασι πικρότατον, αὕτη πάντα τὸ δεύ-
τερον ἀνέτρεψέ τε καὶ ἀπώλεσε. νῦν δὲ δὴ εὐφημῶμεν C
χάριν οἰωνοῦ τὸ τρίτον· ὅμως δὲ μιμεῖσθαι μὲν συμβου-
λεύω Δίωνα ὑμῖν τοῖς φίλοις τήν τε τῆς πατρίδος εὔνοι-
αν καὶ τὴν τῆς τροφῆς σώφρονα δίαιταν ἐπὶ λῷον, ὡς δὲ
ὀρνίθων τὰς ἐκείνου βουλήσεις πειρᾶσθαι ἀποτελεῖν· αἳ
δὲ ἦσαν, ἀκηκόατε παρ' ἐμοῦ σαφῶς· τὸν δὲ μὴ δυνά-
μενον ὑμῶν Δωριστὶ ζῆν κατὰ τὰ πάτρια, διώκοντα δὲ
τόν τε τῶν Δίωνος σφαγέων καὶ τὸν Σικελικὸν βίον, D
μήτε παρακαλεῖν μήτε οἴεσθαι πιστὸν ἄν τι καὶ ὑγιὲς
πρᾶξαί ποτε· τοὺς δὲ ἄλλους παρακαλεῖν ἐπὶ πάσης Σι-
κελίας κατοικισμόν τε καὶ ἰσονομίαν ἔκ τε αὐτῆς Σικελίας
καὶ ἐκ Πελοποννήσου ξυμπάσης, φοβεῖσθαι δὲ μηδὲ Ἀθή-
νας· εἰσὶ γὰρ καὶ ἐκεῖ πάντων ἀνθρώπων διαφέροντες
πρὸς ἀρετὴν ξενοφόνων τε ἀνδρῶν μισοῦντες τόλμας. εἰ
δ' οὖν ταῦτα μὲν ὕστερα γένοιτ' ἄν, κατεπείγουσι δὲ
ὑμᾶς αἱ τῶν στάσεων πολλαὶ καὶ παντοδαπαὶ φυόμεναι E
ἑκάστης ἡμέρας διαφοραί, εἰδέναι μέν που χρὴ πάντα
τινὰ ἄνδρα, ᾧ καὶ βραχὺ δόξης ὀρθῆς μετέδωκε θεία τις
τύχη, ὡς οὐκ ἔστι παῦλα κακῶν τοῖς στασιάσασι, πρὶν
ἂν οἱ κρατήσαντες μάχαις καὶ ἐκβολαῖς ἀνθρώπων καὶ
σφαγαῖς μνησικακοῦντες καὶ ἐπὶ τιμωρίας παύσωνται
τρεπόμενοι τῶν ἐχθρῶν, ἐγκρατεῖς δὲ ὄντες αὐτῶν, θέ- 337
μενοι νόμους κοινοὺς μηδὲν μᾶλλον πρὸς ἡδονὴν αὐτοῖς

ἢ τοῖς ἡττηθεῖσι κειμένους, ἀναγκάσωσιν αὐτοὺς χρῆσθαι τοῖς νόμοις διτταῖς οὔσαις ἀνάγκαις, αἰδοῖ καὶ φόβῳ, φόβῳ μὲν διὰ τὸ κρείττους αὐτῶν εἶναι δεικνύντες τὴν βίαν, αἰδοῖ δὲ αὖ διὰ τὸ κρείττους φαίνεσθαι περί τε τὰς ἡδονὰς καὶ τοῖς νόμοις μᾶλλον ἐθέλοντές τε καὶ δυνάμενοι δουλεύειν. ἄλλως δὲ οὐκ ἔστιν ὡς ἂν ποτε κακῶν
B λήξαι πόλις ἐν αὑτῇ στασιάσασα, ἀλλὰ στάσεις καὶ ἔχθραι καὶ μίση καὶ ἀπιστίαι ταῖς οὕτω διατεθείσαις πόλεσιν αὐταῖς πρὸς αὑτὰς ἀεὶ γίγνεσθαι φιλεῖ. τοὺς δὴ κρατήσαντας ἀεὶ χρή, ὅταπερ ἐπιθυμήσωσι σωτηρίας, αὐτοὺς ἐν αὑτοῖς ἄνδρας προκρῖναι τῶν ἄλλων, οὓς ἂν πυνθάνωνται ἀρίστους ὄντας, πρῶτον μὲν γέροντας, καὶ παῖδας καὶ γυναῖκας κεκτημένους οἴκοι καὶ προγόνους αὑτῶν ὅ τι μάλιστα πολλούς τε καὶ ὀνομαστοὺς καὶ κτῆσιν
C κεκτημένους πάντας ἱκανήν· ἀριθμὸν δὲ εἶναι μυριάνδρῳ πόλει πεντήκοντα ἱκανοὶ τοιοῦτοι. τούτους δὲ δήσασι καὶ τιμαῖς ὅ τι μεγίσταις οἴκοθεν μεταπέμπεσθαι, μεταπεμψαμένους δὲ ὁμόσαντας δεῖσθαι καὶ κελεύειν θεῖναι νόμους, μήτε νικήσασι μήτε νικηθεῖσι νέμειν πλέον, τὸ δὲ ἴσον καὶ κοινὸν πάσῃ τῇ πόλει. τεθέντων δὲ τῶν νόμων ἐν τούτῳ δὴ τὰ πάντα ἐστίν. ἂν μὲν γὰρ οἱ νενικηκότες ἧττους αὑτοὺς τῶν νόμων μᾶλλον τῶν νενι-
D κημένων παρέχωνται, πάντ' ἔσται σωτηρίας τε καὶ εὐδαιμονίας μεστὰ καὶ πάντων κακῶν ἀποφυγή· εἰ δὲ μή, μήτ' ἐμὲ μήτ' ἄλλον κοινωνὸν παρακαλεῖν ἐπὶ τὸν μὴ πειθόμενον τοῖς νῦν ἐπεσταλμένοις. ταῦτα γάρ ἐστιν ἀδελφὰ ὧν τε Δίων ὧν τ' ἐγὼ ἐπεχειρήσαμεν Συρακούσαις εὖ φρονοῦντες συμπρᾶξαι, δεύτερα μήν· πρῶτα δ' ἦν ἃ τὸ πρῶτον ἐπεχειρήθη μετ' αὐτοῦ Διονυσίου πραχθῆναι πᾶσι κοινὰ ἀγαθά, τύχη δέ τις ἀνθρώπων κρειττων διε-
E φόρησε· τὰ δὲ νῦν ὑμεῖς πειρᾶσθε εὐτυχέστερον αὐτὰ ἀγαθῇ πρᾶξαι μοίρᾳ καὶ θείᾳ τινὶ τύχῃ.

Ξυμβουλὴ μὲν δὴ καὶ ἐπιστολὴ εἰρήσθω καὶ ἡ παρὰ
Διονύσιον ἐμὴ προτέρα ἄφιξις· ἡ δὲ δὴ ὑστέρα πορεία
τε καὶ πλοῦς ὡς εἰκότως τε ἅμα καὶ ἐμμελῶς γέγονεν, ᾧ
μέλει ἀκούειν ἔξεστι τὸ μετὰ τοῦτο. ὁ μὲν γὰρ δὴ πρῶτος
χρόνος τῆς ἐν Σικελίᾳ διατριβῆς μοι διεπεράνθη, καθά- 338
περ εἶπον, πρὶν συμβουλεύειν τοῖς οἰκείοις καὶ ἑταίροις
τοῖς περὶ Δίωνα· τὸ μετ' ἐκεῖνα δ' οὖν ἔπεισα ὅπῃ δή
ποτ' ἐδυνάμην Διονύσιον ἀφεῖναί με, εἰρήνης δὲ γενο-
μένης, ἦν γὰρ τότε πόλεμος ἐν Σικελίᾳ, ξυνωμολογήσα-
μεν ἀμφότεροι. Διονύσιος μὲν ἔφη μεταπέμψασθαι Δίωνα
καὶ ἐμὲ πάλιν, καταστησάμενος τὰ περὶ τὴν ἀρχὴν ἀσφα-
λέστερον ἑαυτῷ, Δίωνα δὲ ἠξίου διανοεῖσθαι μὴ φυγὴν
αὐτῷ γεγονέναι τύτε, μετάστασιν δέ· ἐγὼ δ' ἤξειν ὡμο- B
λόγησα ἐπὶ τούτοις τοῖς λόγοις, γενομένης δὲ εἰρήνης
μετεπέμπετ' ἐμέ, Δίωνα δὲ ἐπισχεῖν ἔτι ἐνιαυτὸν ἐδεῖτο,
ἐμὲ δὲ ἥκειν ἐκ παντὸς τρόπου ἠξίου. Δίων μὲν οὖν ἐκέ-
λευέ τέ με πλεῖν καὶ ἐδεῖτο· καὶ γὰρ δὴ λόγος ἐχώρει πο-
λὺς ἐκ Σικελίας, ὡς Διονύσιος θαυμαστῶς φιλοσοφίας
ἐν ἐπιθυμίᾳ πάλιν εἴη γεγονὼς τὰ νῦν· ὅθεν ὁ Δίων
συντεταμένως ἐδεῖτο ἡμῶν τῇ μεταπέμψει μὴ ἀπειθεῖν,
ἐγὼ δὲ ᾔδη μέν που κατὰ τὴν φιλοσοφίαν τοῖς νέοις πολ- C
λὰ τοιαῦτα γιγνόμενα, ὅμως δ' οὖν ἀσφαλέστερόν μοι
ἔδοξε χαίρειν τότε γε πολλὰ καὶ Δίωνα καὶ Διονύσιον
ἐᾶν, καὶ ἀπηχθόμην ἀμφοῖν ἀποκρινάμενος, ὅτι γέρων τε
εἴην καὶ κατὰ τὰς ὁμολογίας οὐδὲν γίγνοιτο τῶν τὰ νῦν
πραττομένων. ἔοικε δὴ τὸ μετὰ τοῦτο Ἀρχύτης τε παρὰ
Διονύσιον ἀφικέσθαι· ἐγὼ γὰρ πρὶν ἀπιέναι ξενίαν καὶ
φιλίαν Ἀρχύτῃ καὶ τοῖς ἐν Τάραντι καὶ Διονυσίῳ ποιή-
σας ἀπέπλεον· ἄλλοι τέ τινες ἐν Συρακούσαις ἦσαν Δίω- D
νός τε ἅττα διακηκοότες καὶ τούτων τινὲς ἄλλοι, παρα-
κουσμάτων τινῶν ἔμμεστοι τῶν κατὰ φιλοσοφίαν·
δοκοῦσί μοι Διονυσίῳ πειρᾶσθαι διαλέγεσθαι τῶν

τὰ τοιαῦτα, ὡς Διονυσίου πάντα διακηκοότος ὅσα διενοούμην ἐγώ. ὁ δὲ οὔτε ἄλλως ἐστὶν ἀφυὴς πρὸς τὴν τοῦ μανθάνειν δύναμιν φιλότιμός τε θαυμαστῶς· ἤρεσκέ τε οὖν ἴσως αὐτῷ τὰ λεγόμενα ἠσχύνετό τε φανερὸς γιγνόμενος οὐδὲν ἀκηκοὼς ὅτ' ἐπεδήμουν ἐγώ, ὅθεν ἅμα μὲν εἰς ἐπιθυμίαν ἦει τοῦ διακοῦσαι ἐναργέστερον, ἅμα δ' ἡ φιλοτιμία κατήπειγεν αὐτόν. δι' ἃ δὲ οὐκ ἤκουσεν ἐν τῇ πρόσθεν ἐπιδημίᾳ, διεξήλθομεν ἐν τοῖς ἄνω ῥηθεῖσι νῦν δὴ λόγοις. ἐπειδὴ οὖν οἰκαδέ τε ἐσώθην καὶ καλοῦντος τὸ δεύτερον ἀπηρνήθην, καθάπερ εἶπον νῦν δή, δοκεῖ μοι Διονύσιος παντάπασι φιλοτιμηθῆναι, μή ποτέ τισι δόξαιμι καταφρονῶν αὐτοῦ, τῆς φύσεώς τε καὶ ἕξεως ἅμα καὶ τῆς διαίτης ἔμπειρος γεγονώς, οὐκέτ' ἐθέλειν δυσχεραίνων παρ' αὐτὸν ἀφικνεῖσθαι. δίκαιος δὴ λέγειν εἰμὶ τἀληθὲς καὶ ὑπομένειν, εἴ τις ἄρα τὰ γεγονότα ἀκούσας καταφρονήσει τῆς ἐμῆς φιλοσοφίας, τὸν τύραννον δὲ ἡγήσεται νοῦν ἔχειν. ἔπεμψε μὲν γὰρ δὴ Διονύσιος τρίτον ἐπ' ἐμὲ τριήρη ῥᾳστώνης ἕνεκα τῆς πορείας, ἔπεμψε δὲ Ἀρχίδημον, ὃν ἡγεῖτό με τῶν ἐν Σικελίᾳ περὶ πλείστου ποιεῖσθαι, τῶν Ἀρχύτῃ ξυγγεγονότων ἕνα, καὶ ἄλλους γνωρίμους τῶν ἐν Σικελίᾳ· οὗτοι δὲ ἡμῖν ἤγγελλον πάντες τὸν αὐτὸν λόγον, ὡς θαυμαστὸν ὅσον Διονύσιος ἐπιδεδωκὼς εἴη πρὸς φιλοσοφίαν. ἔπεμψε δὲ ἐπιστολὴν πάνυ μακράν, εἰδὼς ὡς πρὸς Δίωνα διεκείμην καὶ τὴν αὖ Δίωνος προθυμίαν τοῦ ἐμὲ πλεῖν καὶ εἰς Συρακούσας ἐλθεῖν· πρὸς γὰρ δὴ πάντα ταῦτα ἦν παρεσκευασμένη τὴν ἀρχὴν ἔχουσα ἡ ἐπιστολή, τῇδέ πῃ φράζουσα· Διονύσιος Πλάτωνι. τὰ νόμιμα ἐπὶ τούτοις εἰπὼν οὐδὲν τὸ μετὰ τοῦτο εἶπε πρότερον, ἢ ὡς, ἂν εἰς Σικελίαν πεισθεὶς ὑφ' ἡμῶν ἔλθῃς τὰ νῦν, πρῶτον μέν σοι τὰ περὶ Δίωνα ὑπάρξει ταύτῃ γιγνόμενα ὅπηπερ ἂν αὐτὸς ἐθέλῃς, θέσεις δὲ οἷ' ὅτι τὰ μέτρια, καὶ ἐγὼ συγχωρήσομαι· εἰ

δὲ μή, οὐδέν σοι τῶν περὶ Δίωνα ἕξει πραγμάτων οὔτε περὶ τἆλλα οὔτε περὶ αὐτὸν κατὰ νοῦν γιγνόμενον. ταῦθ' οὕτως εἶπε, τἆλλα δὲ μακρὰ ἂν εἴη καὶ ἄνευ καιροῦ λεγόμενα. ἐπιστολαὶ δὲ ἄλλαι ἐφοίτων παρά τε Ἀρχύτου D καὶ τῶν ἐν Τάραντι, τήν τε φιλοσοφίαν ἐγκωμιάζουσαι τὴν Διονυσίου, καὶ ὅτι, ἂν μὴ ἀφίκωμαι νῦν, τὴν πρὸς Διονύσιον αὐτοῖς γενομένην φιλίαν δι' ἐμοῦ οὐ σμικρὰν οὖσαν πρὸς τὰ πολιτικὰ παντάπασι διαβαλοίην. ταύτης δὴ τοιαύτης γενομένης ἐν τῷ τότε χρόνῳ τῆς μεταπέμψεως, τῶν μὲν ἐκ Σικελίας τε καὶ Ἰταλίας ἐλκόντων, τῶν δὲ Ἀθήνηθεν ἀτεχνῶς μετὰ δεήσεως οἷον ἐξωθούντων με, καὶ πάλιν ὁ λόγος ἦκεν ὁ αὐτός, τὸ μὴ δεῖν προ- E δοῦναι Δίωνα μηδὲ τοὺς ἐν Τάραντι ξένους τε καὶ ἑταίρους· αὐτῷ δέ μοι ὑπῆν, ὡς οὐδὲν θαυμαστὸν νέον ἄνθρωπον παρακούοντα ἀξίων λόγου πραγμάτων, εὐμαθῆ, πρὸς ἔρωτα ἐλθεῖν τοῦ βελτίστου βίου· δεῖν οὖν αὐτὸ ἐξελέγξαι σαφῶς, ὁποτέρως ποτὲ ἄρα σχοίη, καὶ τοῦτ' αὐτὸ μηδαμῇ προδοῦναι μηδ' ἐμὲ τὸν αἴτιον γενέσθαι τηλικούτου ἀληθῶς ὀνείδους, εἴπερ ὄντως εἴη τῳ ταῦτα 340 λελεγμένα. πορεύομαι δὴ τῷ λογισμῷ τούτῳ κατακαλυψάμενος, πολλὰ δεδιὼς μαντευόμενός τε οὐ πάνυ καλῶς, ὡς ἔοικεν· ἐλθὼν δ' οὖν τὸ τρίτον τῷ σωτῆρι τοῦτό γε οὖν ἔπραξα ὄντως· ἐσώθην γάρ τοι πάλιν εὐτυχῶς, καὶ τούτων γε μετὰ θεὸν Διονυσίῳ χάριν εἰδέναι χρεών, ὅτι πολλῶν βουληθέντων ἀπολέσαι με διεκώλυσε καὶ ἔδωκέ τι μέρος αἰδοῖ τῶν περὶ ἐμὲ πραγμάτων. ἐπειδὴ δὲ ἀφικόμην, ᾧμην τούτου πρῶτον ἔλεγχον δεῖν λαβεῖν, πότε- B ρον ὄντως εἴη Διονύσιος ἐξημμένος ὑπὸ φιλοσοφίας ὥσπερ πυρός, ἢ μάτην ὁ πολὺς οὗτος ἔλθοι λόγος Ἀθήναζε. ἔστι δή τις τρόπος τοῦ περὶ τὰ τοιαῦτα πεῖραν λαμβάνειν οὐκ ἀγεννὴς ἀλλ' ὄντως τυράννοις πρέπων, ἄλλως τε καὶ τοῖς τῶν παρακουσμάτων μεστοῖς, ὃ δὴ κἀγὼ Δι[illegible]

νύσιον εὐθὺς ἐλθὼν ἡσθόμην καὶ μάλα πεπονθότα. δεικνύναι δὴ δεῖ τοῖς τοιούτοις, ὅ τι ἔστι πᾶν τὸ πρᾶγμα
C οἷόν τε καὶ δι' ὅσων πραγμάτων καὶ ὅσον πόνον ἔχει· ὁ γὰρ ἀκούσας, ἐὰν μὲν ὄντως ᾖ φιλόσοφος οἰκεῖός τε καὶ ἄξιος τοῦ πράγματος θεῖος ὤν, ὁδόν τε ἡγεῖται θατέρᾳ στὴν ἀκηκοέναι ξυντατέον τε εἶναι νῦν καὶ οὐ βιαίως ἄλλως ποιοῦντι· μετὰ τοῦτο δὴ ξυντείνας αὐτόν τε καὶ τὸν ἡγούμενον τὴν ὁδὸν οὐκ ἀνίησι πρὶν ἂν ἢ τέλος ἐπῇ πᾶσιν ἢ λάβῃ δύναμιν, ὥστε αὐτὸς αὐτὸν χωρὶς τοῦ δέξαντος μὴ ἀδύνατος εἶναι ποδηγεῖν. ταύτῃ καὶ κατὰ
D ταῦτα διανοηθεὶς ὁ τοιοῦτος ζῇ, πράττων μὲν ἐν οἷς τισὶν ἂν ἢ πράξεσι, παρὰ πάντα δὲ ἀεὶ φιλοσοφίας ἐχόμενος καὶ τροφῆς τῆς καθ' ἡμέραν ἥτις ἂν αὐτὸν μάλιστα εὐμαθῆ τε καὶ μνήμονα καὶ λογίζεσθαι δυνατὸν ἐν αὐτῷ νήφοντα ἀπεργάζηται· τὴν δὲ ἐναντίαν ταύτῃ μισῶν διατελεῖ. οἱ δὲ ὄντως μὲν μὴ φιλόσοφοι, δόξαις δ' ἐπικεχρωσμένοι, καθάπερ οἱ τὰ σώματα ὑπὸ τοῦ ἡλίου ἐπικεκαυμένοι, ἰδόντες τε ὅσα μαθήματά ἐστι καὶ ὁ πόνος ἡλίκος καὶ
E δίαιτα ἡ καθ' ἡμέραν ὡς πρέπουσα ἡ κοσμία τῷ πράγματι, χαλεπὸν ἡγησάμενοι καὶ ἀδύνατον αὐτοῖς οὕτω δὴ
11 ἐπιτηδεύειν δυνατοὶ γίγνονται, ἔνιοι δὲ αὐτῶν πείθουσιν αὐτούς, ὡς ἱκανῶς ἀκηκοότες εἰσὶ τὸ ὅλον καὶ οὐδὲν ἔτι δέονταί τινων πραγμάτων. ἡ μὲν δὴ πεῖρα αὕτη γίγνεται ἡ σαφής τε καὶ ἀσφαλεστάτη πρὸς τοὺς τρυφῶντάς τε καὶ ἀδυνάτους διαπονεῖν, ὡς μηδέποτε βαλεῖν ἐν αἰτίᾳ τὸν δεικνύντα ἀλλ' αὐτὸν αὐτόν, μὴ δυνάμενον πάντα τὰ πρόσφορα ἐπιτηδεύειν τῷ πράγματι. οὕτω δὴ καὶ Διονυσίῳ τότ' ἐρρήθη τὰ ῥηθέντα. πάντα μὲν οὖν
B οὔτ' ἐγὼ διεξῆλθον οὔτε Διονύσιος ἐδεῖτο· πολλὰ γὰρ αὐτὸς καὶ τὰ μέγιστα εἰδέναι τε καὶ ἱκανῶς ἔχειν προσεποιεῖτο διὰ τὰς ὑπὸ τῶν ἄλλων παρακοάς· ὕστερον δὲ καὶ ἀκούω γεγραφέναι αὐτὸν περὶ ὧν τότε ἤκουσε, συν-

θέντα ὡς αὐτοῦ τέχνην, οὐδὲν τῶν αὐτῶν ὧν ἀκούοι· οἶδα δὲ οὐδὲν τούτων. ἄλλους μέν τινας οἶδα γεγραφότας περὶ τῶν αὐτῶν τούτων, οἵτινες δέ, οὐδ' αὐτοὶ αὐτούς· τοσόνδε γε μὴν περὶ πάντων ἔχω φράζειν τῶν γεγραφότων καὶ γραψόντων, ὅσοι φασὶν εἰδέναι περὶ ὧν C ἐγὼ σπουδάζω, εἴτ' ἐμοῦ ἀκηκοότες εἴτ' ἄλλων εἶθ' ὡς εὑρόντες αὐτοί, τούτους οὐκ ἔστι κατά γε τὴν ἐμὴν δόξαν περὶ τοῦ πράγματος ἐπαΐειν οὐδέν. οὔκουν ἐμόν γε περὶ αὐτῶν ἔστι σύγγραμμα οὐδὲ μήποτε γένηται· ῥητὸν γὰρ οὐδαμῶς ἐστὶν ὡς ἄλλα μαθήματα, ἀλλ' ἐκ πολλῆς συνουσίας γιγνομένης περὶ τὸ πρᾶγμα αὐτὸ καὶ τοῦ συζῆν ἐξαίφνης οἷον ἀπὸ πυρὸς πηδήσαντος ἐξαφθὲν φῶς ἐν D τῇ ψυχῇ γενόμενον αὐτὸ ἑαυτὸ ἤδη τρέφει. καίτοι τοσόνδε γε οἶδα, ὅτι γραφέντα ἢ λεχθέντα ὑπ' ἐμοῦ βέλτιστ' ἂν λεχθείη· καὶ μὴν ὅτι γεγραμμένα κακῶς οὐχ ἥκιστ' ἂν ἐμὲ λυποῖ· εἰ δέ μοι ἐφαίνετο γραπτέα θ' ἱκανῶς εἶναι πρὸς τοὺς πολλοὺς καὶ ῥητά, τί τούτου κάλλιον ἐπέπρακτ' ἂν ἡμῖν ἐν τῷ βίῳ, ἢ τοῖς τε ἀνθρώποισι μέγα ὄφελος γράψαι καὶ τὴν φύσιν εἰς φῶς πᾶσι προαγαγεῖν; ἀλλ' οὔτε ἀνθρώποις ἡγοῦμαι τὴν ἐπιχείρησιν περὶ αὐτῶν E λεγομένην ἀγαθόν, εἰ μή τισιν ὀλίγοις, ὁπόσοι δυνατοὶ ἀνευρεῖν αὐτοὶ διὰ σμικρᾶς ἐνδείξεως· τῶν τε δὴ ἄλλων τοὺς μὲν καταφρονήσεως οὐκ ὀρθῶς ἐμπλήσειεν ἂν οὐδαμῇ ἐμμελοῦς, τοὺς δὲ ὑψηλῆς καὶ χαύνης ἐλπίδος, ὡς σέμν' ἄττα μεμαθηκότας. ἔτι δὲ μακρότερα περὶ αὐτῶν 341 ἐν νῷ μοι γέγονεν εἰπεῖν. τάχα γὰρ ἂν περὶ ὧν λέγω σαφέστερον ἂν εἴη τι λεχθέντων αὐτῶν· ἔστι γάρ τις λόγος ἀληθὴς ἐναντίος τῷ τολμήσαντι γράφειν τῶν τοιούτων καὶ ὁτιοῦν, πολλάκις μὲν ὑπ' ἐμοῦ καὶ πρόσθεν ῥηθείς, ἔοικε δ' οὖν εἶναι καὶ νῦν λεκτέος.

Ἔστι τῶν ὄντων ἑκάστῳ, δι' ὧν τὴν ἐπιστήμην ἀνάγκη παραγίγνεσθαι, τρία· τέταρτον δ' αὐτή· πέμπτον δ'

B αὐτὸ τιθέναι δεῖ ὃ δὴ γνωστόν τε καὶ ἀληθές ἐστιν· ὧν
ἓν μὲν ὄνομα, δεύτερον δὲ λόγος, τὸ δὲ τρίτον εἴδωλον,
τέταρτον δὲ ἐπιστήμη. περὶ ἓν οὖν λαβὲ βουλόμενος μα-
θεῖν τὸ νῦν λεγόμενον, καὶ πάντων οὕτω πέρι νόησον.
κύκλος ἐστί τι λεγόμενον, ᾧ τοῦτ' αὐτό ἐστιν ὄνομα, ὃ
νῦν ἐφθέγμεθα· λόγος δ' αὐτοῦ τὸ δεύτερον, ἐξ ὀνομά-
των καὶ ῥημάτων συγκείμενος· τὸ γὰρ ἐκ τῶν ἐσχάτων
ἐπὶ τὸ μέσον ἴσον ἀπέχον πάντη, λόγος ἂν εἴη ἐκείνου
ᾧπερ στρογγύλον καὶ περιφερὲς ὄνομα καὶ κύκλος. τρί-
C τον δὲ τὸ ζωγραφούμενόν τε καὶ ἐξαλειφόμενον καὶ τορ-
νευόμενον καὶ ἀπολλύμενον· ὧν αὐτὸς ὁ κύκλος, ὃν πέρι
πάντ' ἐστὶ ταῦτα, οὐδὲν πάσχει τούτων ὡς ἕτερον ὄν.
τέταρτον δὲ ἐπιστήμη καὶ νοῦς ἀληθής τε δόξα περὶ ταῦτ'
ἐστίν· ὡς δὲ ἓν τοῦτο αὖ πᾶν θετέον, οὐκ ἐν φωναῖς
οὐδ' ἐν σωμάτων σχήμασιν ἀλλ' ἐν ψυχαῖς ἐνόν, ᾧ δῆλον
ἕτερόν τε ὂν αὐτοῦ τοῦ κύκλου τῆς φύσεως τῶν τε ἐμ-
D προσθεν λεχθέντων τριῶν· τούτων δὲ ἐγγύτατα μὲν ξυγ-
γενείᾳ καὶ ὁμοιότητι τοῦ πέμπτου νοῦς πεπλησίακε, τἆλ-
λα δὲ πλέον ἀπέχει. ταὐτὸν δὴ περί τε εὐθέος ἅμα καὶ
περιφεροῦς σχήματος καὶ χρόας, περί τε ἀγαθοῦ καὶ κα-
λοῦ καὶ δικαίου, καὶ περὶ σώματος ἅπαντος σκευαστοῦ τε
καὶ κατὰ φύσιν γεγονότος, πυρὸς ὕδατός τε καὶ τῶν τοι-
ούτων πάντων, καὶ ζώου ξύμπαντος πέρι καὶ ἐν ψυχαῖς
ἤθους, καὶ περὶ ποιήματά καὶ παθήματα ξύμπαντα· οὐ
E γὰρ ἂν τούτων μή τις τὰ τέτταρα λάβῃ ἁμῶς γέ πως, οὔ-
ποτε τελέως ἐπιστήμης τοῦ πέμπτου μέτοχος ἔσται. πρὸς
γὰρ τούτοις ταῦτα οὐχ ἧττον ἐπιχειρεῖ τὸ ποιόν τι περὶ
ἕκαστον δηλοῦν ἢ τὸ ὂν ἑκάστου διὰ τὸ τῶν λόγων ἀσθε-
343 νές· ὧν ἕνεκα νοῦν ἔχων οὐδεὶς τολμήσει ποτὲ εἰς αὐτὸ
τιθέναι τὰ νενοημένα ὑπ' αὐτοῦ, καὶ ταῦτα εἰς ἀμετακί-
νητον, ὃ δὴ πάσχει τὰ γεγραμμένα τύποις, τοῦτο δὲ πά-
λιν αὖ τὸ νῦν λεγόμενον δεῖ μαθεῖν. κύκλος ἕκαστος τῶν

ἐν ταῖς πράξεσι γραφομένων ἢ καὶ τορνευθέντων μεστὸς
τοῦ ἐναντίου ἐστὶ τῷ πέμπτῳ· τοῦ γὰρ εὐθέος ἐφάπτε-
ται πάντη· αὐτὸς δέ, φαμέν, ὁ κύκλος οὔτε τι σμικρότε-
ρον οὔτε μεῖζον τῆς ἐναντίας ἔχει ἐν αὐτῷ φύσεως. ὄνομά
τε αὐτῶν φαμὲν οὐδὲν οὐδενὶ βέβαιον εἶναι, κωλύειν δ' B
οὐδὲν τὰ νῦν στρογγύλα καλούμενα εὐθέα κεκλῆσθαι τά
τε εὐθέα δὴ στρογγύλα, καὶ οὐδὲν ἧττον βεβαίως ἕξειν
τοῖς μεταθεμένοις καὶ ἐναντίως καλοῦσι. καὶ μὴν περὶ
λόγου γε ὁ αὐτὸς λόγος, εἴπερ ἐξ ὀνομάτων καὶ ῥημάτων
σύγκειται, μηδὲν ἱκανῶς βεβαίως εἶναι βέβαιον· μυρίος
δὲ λόγος αὖ περὶ ἑκάστου τῶν τεττάρων, ὡς ἀσαφές, τὸ
δὲ μέγιστον, ὅπερ εἴπομεν ὀλίγον ἔμπροσθεν, ὅτι δυοῖν
ὄντοιν, τοῦ τε ὄντος καὶ τοῦ ποιοῦ τινός, οὐ τὸ ποιόν τι,
τὸ δὲ τί ζητούσης εἰδέναι τῆς ψυχῆς, τὸ μὴ ζητούμενον C
ἕκαστον τῶν τεττάρων πρότερον τῇ ψυχῇ λόγῳ τε καὶ
κατ' ἔργα, αἰσθήσεσιν εὐέλεγκτον τό τε λεγόμενον καὶ
δεικνύμενον ἀεὶ παρεχόμενον ἕκαστον, ἀπορίας τε καὶ
ἀσαφείας ἐμπίπλησι πάσης ὡς ἔπος εἰπεῖν πάντ' ἄνδρα.
ἐν οἷσι μὲν οὖν μηδ' εἰθισμένοι τὸ ἀληθὲς ζητεῖν ἐσμὲν
ὑπὸ πονηρᾶς τροφῆς, ἐξαρκεῖ δὲ τὸ προταθὲν τῶν εἰδώ-
λων, οὐ καταγέλαστοι γιγνόμεθα ὑπ' ἀλλήλων, οἱ ἐρω- D
τώμενοι ὑπὸ τῶν ἐρωτώντων, δυναμένων δὲ τὰ τέτταρα
διαρρίπτειν τε καὶ ἐλέγχειν· ἐν οἷς δ' ἂν τὸ πέμπτον ἀπο-
κρίνασθαι καὶ δηλοῦν ἀναγκάζωμεν, ὁ βουλόμενος τῶν
δυναμένων ἀνατρέπειν κρατεῖ, καὶ ποιεῖ τὸν ἐξηγούμε-
νον ἐν λόγοις ἢ γράμμασιν ἢ ἀποκρίσεσι τοῖς πολλοῖς
τῶν ἀκουόντων δοκεῖν μηδὲν γιγνώσκειν ὧν ἂν ἐπιχειρῇ
γράφειν ἢ λέγειν, ἀγνοούντων ἐνίοτε, ὡς οὐχ ἡ ψυχὴ τοῦ
γράψαντος ἢ λέξαντος ἐλέγχεται, ἀλλ' ἡ τῶν [redacted]
φύσις ἑκάστου, πεφυκυῖα φαύλως. ἡ δὲ διὰ πάν[redacted]
τῶν διαγωγή, ἄνω καὶ κάτω μεταβαίνουσα ἐφ' ἕ[redacted]
μόγις ἐπιστήμην ἐνέτεκεν εὖ πεφυκότος εὖ πεφυκ[redacted]

κῶς δὲ ἂν φυῇ, ᾗς ἡ τῶν πολλῶν ἕξις τῆς ψυχῆς εἴς τε
τὸ μαθεῖν εἴς τε τὰ λεγόμενα ἤθη πέφυκε, τὰ δὲ διε-
344 φθαρται, οὐδ' ἂν ὁ Λυγκεὺς ἰδεῖν ποιήσειε τοὺς τοιού-
τους. ἐνὶ δὲ λόγῳ, τὸν μὴ ξυγγενῆ τοῦ πράγματος οὔτ'
ἂν εὐμάθεια ποιήσειέ ποτε οὔτε μνήμη· τὴν ἀρχὴν γὰρ
ἐν ἀλλοτρίαις ἕξεσιν οὐκ ἐγγίγνεται· ὥστε ὁπόσοι τῶν
δικαίων τε καὶ τῶν ἄλλων ὅσα καλὰ μὴ προσφυεῖς εἰσὶ
καὶ ξυγγενεῖς, ἄλλοι δὲ ἄλλων εὐμαθεῖς ἅμα καὶ μνήμο-
νες, οὐδ' ὅσοι ξυγγενεῖς, δυσμαθεῖς δὲ καὶ ἀμνήμονες,
οὐδένες τούτων μήποτε μάθωσιν ἀλήθειαν ἀρετῆς εἰς
B τὸ δυνατὸν οὐδὲ κακίας. ἅμα γὰρ αὐτὰ ἀνάγκη μανθά-
νειν, καὶ τὸ ψεῦδος ἅμα καὶ ἀληθὲς τῆς ὅλης οὐσίας,
μετὰ τριβῆς πάσης καὶ χρόνου πολλοῦ, ὅπερ ἐν ἀρχαῖς
εἶπον· μόγις δὲ τριβόμενα πρὸς ἄλληλα αὐτῶν ἕκαστα,
ὀνόματα καὶ λόγοι ὄψεις τε καὶ αἰσθήσεις, ἐν εὐμενέσιν
ἐλέγχοις ἐλεγχόμενα καὶ ἄνευ φθόνων ἐρωτήσεσι καὶ
ἀποκρίσεσι χρωμένων, ἐξέλαμψε φρόνησις περὶ ἕκαστον
καὶ νοῦς, συντείνων ὅ τι μάλιστ' εἰς δύναμιν ἀνθρωπί-
C νην· διὸ δὴ πᾶς ἀνὴρ σπουδαῖος τῶν ὄντων σπουδαίων
πέρι πολλοῦ δεῖ, μὴ γράψας ποτὲ ἐν ἀνθρώποις εἰς
φθόνον καὶ ἀπορίαν καταβάλῃ. ἐνὶ δὴ ἐκ τούτων δεῖ γι-
γνώσκειν λόγῳ, ὅταν ἴδῃ τίς του συγγράμματα γεγραμ-
μένα εἴτε ἐν νόμοις νομοθέτου εἴτε ἐν ἄλλοις τισὶν ἅττ'
οὖν, ὡς οὐκ ἦν τούτῳ ταῦτα σπουδαιότατα, εἴπερ ἔστ'
αὐτὸς σπουδαῖος, κεῖται δέ που ἐν χώρᾳ τῇ καλλίστῃ τῶν
τούτου· εἰ δὲ ὄντως αὐτῷ ταῦτ' ἐσπουδασμένα ἐν γράμ-
D μασιν ἐτέθη, ἐξ ἄρα δή οἱ ἔπειτα, θεοὶ μὲν οὔ, βροτοὶ δὲ
φρένας ὤλεσαν αὐτοί.

Τούτῳ δὴ τῷ μύθῳ τε καὶ πλάνῳ ὁ ξυνεπισπόμενος
εὖ εἴσεται, εἴτ' οὖν Διονύσιος ἔγραψέ τι τῶν περὶ φύ-
σεως ἄκρων καὶ πρώτων εἴτε τις ἐλάττων εἴτε μείζων, ὡς
οὐδὲν ἀκηκοὼς οὐδὲ μεμαθηκὼς ἦν ὑγιὲς ὧν ἔγραψε κατὰ

τὸν ἐμὸν λόγον· ὁμοίως γὰρ ἂν αὐτὰ ἐσέβετο ἐμοί, καὶ
οὐκ ἂν αὐτὰ ἐτόλμησεν εἰς ἀναρμοστίαν καὶ ἀπρέπειαν
ἐκβάλλειν. οὔτε γὰρ ὑπομνημάτων χάριν αὐτὰ ἔγραψεν·
οὐδὲν γὰρ δεινὸν μή τις αὐτὸ ἐπιλάθηται, ἐὰν ἅπαξ τῇ E
ψυχῇ περιλάβῃ· πάντων γὰρ ἐν βραχυτάτοις κεῖται· φι-
λοτιμίας δὲ αἰσχρᾶς εἵπερ ἕνεκα, εἶθ' ὡς αὐτοῦ τιθέμε-
νος εἶθ' ὡς παιδείας δὴ μέτοχος ὤν, ἧς οὐκ ἄξιος ἦν ἀγα-
πῶν δόξαν τὴν τῆς μετοχῆς γενομένην. εἰ μὲν οὖν ἐκ τῆς 3
μιᾶς συνουσίας Διονυσίῳ τοῦτο γέγονε, τάχ' ἂν εἴη· γέ-
γονε δ' οὖν ὅπως, ἴττω Ζεύς, φησὶν ὁ Θηβαῖος· διεξῆλ-
θον μὲν γὰρ ὡς εἶπόν τε ἐγὼ καὶ ἅπαξ μόνον, ὕστερον
δὲ οὐ πώποτε ἔτι. ἐννοεῖν δὴ δεῖ τὸ μετὰ τοῦτο, ὅτῳ μέ-
λει τὸ περὶ αὐτὰ γεγονὸς εὑρεῖν, ὅπῃ ποτὲ γέγονε, τίνι
πότ' αἰτίᾳ τὸ δεύτερον καὶ τὸ τρίτον, πλεονάκις τε οὐ
διεξῆμεν· πότερον Διονύσιος ἀκούσας μόνον ἅπαξ οὕ-
τως εἰδέναι τε οἴεται καὶ ἱκανῶς οἶδεν, εἴτε αὐτὸς εὑρὼν B
ἢ καὶ μαθὼν ἔμπροσθεν παρ' ἑτέρων, ἢ φαῦλα εἶναι τὰ
λεχθέντα, ἢ τὸ τρίτον οὐ καθ' αὑτόν, μείζονα δέ, καὶ ὄν-
τως οὐκ ἂν δυνατὸς εἶναι φρονήσεώς τε καὶ ἀρετῆς ζῆν
ἐπιμελούμενος. εἰ μὲν γὰρ φαῦλα, πολλοῖς μάρτυσι μα-
χεῖται τὰ ἐναντία λέγουσιν, οἳ περὶ τῶν τοιούτων πάμ-
πολυ Διονυσίου κυριώτεροι ἂν εἶεν κριταί· εἰ δὲ εὑρη-
κέναι ἢ μεμαθηκέναι, ἄξια δ' οὖν εἶναι πρὸς παιδείαν
ψυχῆς ἐλευθέρας, πῶς ἂν μὴ θαυμαστὸς ὢν ἄνθρωπος C
τὸν ἡγεμόνα τούτων καὶ κύριον οὕτως εὐχερῶς ἠτίμασέ
ποτ' ἄν; πῶς δ' ἠτίμασεν, ἐγὼ φράζοιμ' ἄν. οὐ πολὺν
χρόνον διαλιπὼν τὸ μετὰ τοῦτο, ἐν τῷ πρόσθεν Δίωνα
ἐῶν τὰ ἑαυτοῦ κεκτῆσθαι καὶ καρποῦσθαι χρήματα, τότε
οὐκέτ' εἴα τοὺς ἐπιτρόπους αὐτοῦ πέμπειν εἰς Πελοπόν-
νησον, καθάπερ ἐπιλελησμένος τῆς ἐπιστολῆς παντάπα-
σιν· εἶναι γὰρ αὐτὰ οὐ Δίωνος ἀλλὰ τοῦ υἱέος, ὄντος
μὲν ἀδελφιδοῦ αὐτοῦ, κατὰ νόμους ἐπιτροπεύοντος

μὲν δὴ πεπραγμένα μέχρι τούτου ταῦτ' ἦν ἐν τῷ τότε χρόνῳ, τούτων δὲ οὕτω γενομένων ἐωράκειν τε ἐγὼ ἀκριβῶς τὴν ἐπιθυμίαν τῆς Διονυσίου φιλοσοφίας, ἀγανακτεῖν τε ἐξῆν εἴτε βουλοίμην εἴτε μή. ἦν γὰρ θέρος ἤδη τότε καὶ ἔκπλοι τῶν νεῶν· ἐδόκει δὴ χαλεπαίνειν μὲν οὐ δεῖν ἐμὲ Διονυσίῳ μᾶλλον ἢ ἐμαυτῷ τε καὶ τοῖς βιασαμέ-
E νοις ἐλθεῖν ἐμὲ τὸ τρίτον εἰς τὸν πορθμὸν τὸν περὶ τὴν Σκύλλαν,

ὅφρ' ἔτι τὴν ὁλοὴν ἀναμετρήσαιμι Χάρυβδιν,

λέγειν δὲ πρὸς Διονύσιον, ὅτι μοι μένειν ἀδύνατον εἴη Δίωνος οὕτω προπεπηλακισμένου. ὁ δὲ παρεμυθεῖτό τε καὶ ἐδεῖτο μένειν, οὐκ οἰόμενός οἱ καλῶς ἔχειν ἐμὲ ἄγγελον αὐτὸν τῶν τοιούτων ἐλθεῖν ὅ τι τάχος· οὐ πείθων
346 δὲ αὐτός μοι πομπὴν παρασκευάσειν ἔφη. ἐγὼ γὰρ ἐν τοῖς ἀποστόλοις πλοίοις ἐμβὰς διενοούμην πλεῖν, τεθυμωμένος πάσχειν τε οἰόμενος δεῖν, εἰ διακωλυοίμην, ὅτι οὖν, ἐπειδὴ περιφανῶς ἠδίκουν μὲν οὐδέν, ἠδικούμην δέ· ὁ δὲ οὐδέν με τοῦ καταμένειν προσιέμενον ὁρῶν μηχανὴν τοῦ μεῖναι τὸν τότε ἔκπλουν μηχανᾶται τοιάνδε τινά. τῇ μετὰ ταῦτα ἐλθὼν ἡμέρᾳ λέγει πρός με πιθανὸν λόγον· ἐμοὶ καὶ σοὶ Δίων, ἔφη, καὶ τὰ Δίωνος ἐκποδὼν
B ἀπαλλαχθήτω τοῦ περὶ αὐτὰ πολλάκις διαφέρεσθαι· ποιήσω γὰρ διὰ σέ, ἔφη, Δίωνι τάδε. ἀξιῶ ἐκεῖνον ἀπολαβόντα τὰ ἑαυτοῦ οἰκεῖν μὲν ἐν Πελοποννήσῳ, μὴ ὡς φυγάδα δέ, ἀλλ' ὡς αὐτῷ καὶ δεῦρο ἐξὸν ἀποδημεῖν, ὅταν ἐκείνῳ τε καὶ ἐμοὶ καὶ ὑμῖν τοῖς φίλοις κοινῇ ξυνδοκῇ· ταῦτα δ' εἶναι μὴ ἐπιβουλεύοντος ἐμοί· τούτων δὲ ἐγγυητὰς γίγνεσθαι σέ τε καὶ τοὺς σοὺς οἰκείους καὶ τοὺς ἐνθάδε Δίωνος· ὑμῖν δὲ τὸ βέβαιον ἐκεῖνος παρεχέτω.
C τὰ χρήματα δὲ ἃ ἂν λάβῃ, κατὰ Πελοπόννησον μὲν καὶ Ἀθήνας κείσθω παρ' οἷς τισὶν ἂν ὑμῖν δοκῇ, καρπούσθω δὲ Δίων, μὴ κύριος δὲ ἄνευ ὑμῶν γιγνέσθω ἀνελέσθαι.

ἐγὼ γὰρ ἐκείνῳ μὲν οὐ σφόδρα πιστεύω τούτοις χρώμενον ἂν τοῖς χρήμασι δίκαιον γίγνεσθαι περὶ ἐμέ· οὐ γὰρ ὀλίγα ἔσται· σοὶ δὲ καὶ τοῖς σοῖς μᾶλλον πεπίστευκα. ὅρα δὴ ταῦτα εἴ σοι ἀρέσκει, καὶ μένε ἐπὶ τούτοις τὸν ἐνιαυτὸν τοῦτον, εἰς δὲ ὥρας ἄπιθι λαβὼν τὰ χρήματα ταῦτα· καὶ Δίωνι εὖ οἶδ' ὅτι πολλὴν χάριν ἕξει σοι διαπραξαμένῳ D ταῦτα ὑπὲρ ἐκείνου. τοῦτον δὴ ἐγὼ τὸν λόγον ἀκούσας ἐδυσχέραινον μέν, ὅμως δὲ βουλευσάμενος ἔφην εἰς τὴν ὑστεραίαν αὐτῷ περὶ τούτων τὰ δόξαντα ἀπαγγελεῖν. ταῦτα ξυνεθέμεθα τότε. ἐβουλευόμην δὴ τὸ μετὰ ταῦτα κατ' ἐμαυτὸν γενόμενος, μάλα συγκεχυμένος· πρῶτος δ' ἦν μοι τῆς βουλῆς ἡγούμενος ὅδε λόγος. φέρε, εἰ διανοεῖται τούτων μηδὲν ποιεῖν Διονύσιος ὢν φησίν, ἀπελ- E θόντος δ' ἐμοῦ ἐὰν ἐπιστέλλῃ Δίωνι πιθανῶς αὐτός τε καὶ ἄλλοι πολλοὶ τῶν αὐτοῦ, διακελευόμενος ἃ νῦν πρὸς ἐμὲ λέγει, ὡς αὐτοῦ μὲν ἐθέλοντος, ἐμοῦ δὲ οὐκ ἐθελήσαντος ἃ προὐκαλεῖτό με δρᾶν, ἀλλ' ὀλιγωρήσαντος τῶν ἐκείνου τὸ παράπαν πραγμάτων, πρὸς δὲ καὶ τούτοισιν ἔτι μηδ' ἐθέλῃ με ἐκπέμπειν, αὐτὸς τῶν ναυκλήρων μη- δενὶ προστάττων, ἐνδείξηται δὲ πᾶσι ῥᾳδίως ὡς ἀβουλῶν 34 ἐμὲ ἐκπλεῖν, ἆρά τις ἐθελήσει με ἄγειν ναύτης ὁρμώμενον ἐκ τῆς Διονυσίου οἰκίας; ᾤκουν γὰρ δὴ πρὸς τοῖς ἄλλοισι κακοῖς ἐν τῷ κήπῳ τῷ περὶ τὴν οἰκίαν, ὅθεν οὐδ' ἂν ὁ θυρωρὸς ἤθελέ με ἀφεῖναι μὴ πεμφθείσης αὐτῷ τινὸς ἐντολῆς παρὰ Διονυσίου. ἂν δὲ περιμείνω τὸν ἐνιαυτόν, ἔξω μὲν Δίωνι ταῦτα ἐπιστέλλειν, ἐν οἷς τ' αὖ εἰμὶ καὶ ἃ πράττω· καὶ ἐὰν μὲν δὴ ποιῇ τι Διονύσιος ὢν φησίν, οὐ παντάπασιν ἔσται μοι καταγελάστως πεπραγ- B μένα· τάλαντα γὰρ ἴσως ἐστὶν οὐκ ἔλαττον, ἂν ἐκτιμᾷ τις ὀρθῶς, ἑκατὸν ἡ Δίωνος οὐσία· ἂν δ' οὖν γίγνηται τὰ νῦν ὑποφαίνοντα, οἷα εἰκὸς αὐτὰ γίγνεσθαι, ἀπορῶ μὲν ὅ τι χρήσομαι ἐμαυτῷ, ὅμως δὲ ἀναγκαῖον ἴσως ἐνι-

αὐτόν γ' ἔτι πονῆσαι καὶ ἔργοις ἐλέγξαι πειρᾶσθαι τὰς Διονυσίου μηχανάς. ταῦτά μοι δόξαντα εἰς τὴν ὑστεραίαν εἶπον πρὸς Διονύσιον ὅτι δέδοκταί μοι μένειν·
C ἀξιῶ μήν, ἔφην, μὴ κύριον ἡγεῖσθαί σε Δίωνος ἐμέ, πέμπειν δὲ μετ' ἐμοῦ σὲ παρ' αὐτὸν γράμματα τὰ νῦν δεδογμένα δηλοῦντα καὶ ἐρωτᾶν, εἴτε ἀρκεῖ ταῦτα αὐτῷ, καὶ εἰ μή, βούλεται δὲ ἄλλ' ἅττα καὶ ἀξιοῖ, καὶ ταῦτα ἐπιστέλλειν ὅ τι τάχιστα, σὲ δὲ νεωτερίζειν μηδέν πω τῶν περὶ ἐκεῖνον. ταῦτ' ἐρρήθη, ταῦτα ξυνωμολογήσαμεν, ὡς νῦν εἴρηται σχεδόν. ἐξέπλευσε δὴ τὰ πλοῖα μετὰ τοῦτο, καὶ οὐκέτι μοι δυνατὸν ἦν πλεῖν, ὅτε δή μοι καὶ Διονύσιος
D ἐμνήσθη λέγων, ὅτι τὴν ἡμίσειαν τῆς οὐσίας εἶναι δέοι Δίωνος, τὴν δ' ἡμίσειαν τοῦ υἱέος· ἔφη δὴ πωλήσειν αὐτήν, πραθείσης δὲ τὰ μὲν ἡμίσεα ἐμοὶ δώσειν ἄγειν, τὰ δ' ἡμίσεα τῷ παιδὶ καταλείψειν αὐτοῦ· τὸ γὰρ δὴ δικαιότατον οὕτως ἔχειν. πληγεὶς δ' ἐγὼ τῷ λεχθέντι πάνυ μὲν ᾤμην γελοῖον εἶναι ἀντιλέγειν ἔτι, ὅμως δ' εἶπον, ὅτι χρείη τὴν παρὰ Δίωνος ἐπιστολὴν περιμένειν ἡμᾶς καὶ ταῦτα πάλιν αὐτὰ ἐπιστέλλειν· ὁ δὲ ἓξ ἢ τούτοις πάνυ
E νεανικῶς ἐπώλει τὴν οὐσίαν αὐτοῦ πᾶσαν, ὅπῃ τε καὶ ὅπως ἤθελε καὶ οἷς τισί, πρὸς ἐμὲ δὲ οὐδὲν ὅλως ἐφθέγγετο περὶ αὐτῶν, καὶ μὴν ὡσαύτως ἐγὼ πρὸς ἐκεῖνον αὖ περὶ τῶν Δίωνος πραγμάτων οὐδὲν ἔτι διελεγόμην· οὐδὲν γὰρ ἔτι πλέον ᾤμην ποιεῖν.

Μέχρι μὲν δὴ τούτων ταύτῃ μοι βεβοηθημένον ἐγεγόνει φιλοσοφίᾳ καὶ φίλοις· τὸ δὲ μετὰ ταῦτα ἐξῶμεν
348 ἐγὼ καὶ Διονύσιος, ἐγὼ μὲν βλέπων ἔξω, καθάπερ ὄρνις ποθῶν ποθὲν ἀναπτέσθαι, ὁ δὲ διαμηχανώμενος τίνα τρόπον ἀνασοβήσοι με μηδὲν ἀποδοὺς τῶν Δίωνος· ὅμως δὲ ἔφαμεν ἑταῖροί γε εἶναι πρὸς πᾶσαν Σικελίαν. τῶν δὴ μισθοφόρων τοὺς πρεσβυτέρους Διονύσιος ἐπεχείρησεν ὀλιγομισθοτέρους ποιεῖν παρὰ τὰ τοῦ πατρὸς ἔθη, θυμω-

θέντες δὲ οἱ στρατιῶται ξυνελέγησαν ἀθρόοι καὶ οὐκ ἔφασαν ἐπιτρέψειν· ὁ δ' ἐπεχείρει βιάζεσθαι κλείσας τὰς τῆς ἀκροπόλεως πύλας, οἱ δ' ἐφέροντο εὐθὺς πρὸς τὰ B τείχη, παιῶνά τινα ἀναβοήσαντες βάρβαρον καὶ πολεμικόν· οὗ δὴ περιδεὴς Διονύσιος γενόμενος ἅπαντα συνεχώρησε καὶ ἔτι πλείω τοῖς τότε συλλεχθεῖσι τῶν πελταστῶν. λόγος δή τις ταχὺ διῆλθεν ὡς Ἡρακλείδης αἴτιος εἴη γεγονὼς πάντων τούτων· ὃν ἀκούσας ὁ μὲν Ἡρακλείδης ἐκποδὼν αὑτὸν ἔσχεν ἀφανῆ, Διονύσιος δὲ ἐζήτει λαβεῖν, ἀπορῶν δέ, Θεοδότην μεταπεμψάμενος εἰς C τὸν κῆπον — ἔτυχον δ' ἐν τῷ κήπῳ καὶ ἐγὼ τότε περιπατῶν — τὰ μὲν οὖν ἄλλα οὔτ' οἶδα οὔτ' ἤκουον διαλεγομένων, ἃ δὲ ἐναντίον εἶπε Θεοδότης ἐμοῦ πρὸς Διονύσιον, οἶδά τε καὶ μέμνημαι. Πλάτων γάρ, ἔφη, Διονύσιον ἐγὼ πείθω τουτονί, ἐὰν ἐγὼ γένωμαι δεῦρο Ἡρακλείδην κομίσαι δυνατὸς ἡμῖν εἰς λόγους περὶ τῶν ἐγκλημάτων αὐτῷ τῶν νῦν γεγονότων, ἂν ἄρα μὴ δόξῃ δεῖν αὐτὸν οἰκεῖν ἐν Σικελίᾳ, τόν τε υἱὸν λαβόντα καὶ τὴν γυναῖκα ἀξιῶ εἰς Πελοπόννησον ἀποπλεῖν, οἰκεῖν τε D βλάπτοντα μηδὲν Διονύσιον ἐκεῖ, καρπούμενον δὲ τὰ ἑαυτοῦ. μετεπεμψάμην μὲν οὖν καὶ πρότερον αὐτόν, μεταπέμψομαι δὲ καὶ νῦν, ἂν τ' οὖν ἀπὸ τῆς προτέρας μεταπομπῆς ἄν τε καὶ ἀπὸ τῆς νῦν ὑπακούσῃ μοι· Διονύσιον δὲ ἀξιῶ καὶ δέομαι, ἂν τις ἐντυγχάνῃ Ἡρακλείδῃ ἐάν τ' ἐν ἀγορᾷ ἐάν τ' ἐνθάδε, μηδὲν ἄλλο αὐτῷ φλαῦρον γίγνεσθαι, μεταστῆναι δ' ἐκ τῆς χώρας, ἕως ἂν ἄλλο τι E Διονυσίῳ δόξῃ. ταῦτα, ἔφη, συγχωρεῖς; λέγων πρὸς τὸν Διονύσιον. συγχωρῶ· μηδ' ἂν πρὸς τῇ σῇ, ἔφη, φανῇ οἰκίᾳ, πείσεσθαι φλαῦρον μηδὲν παρὰ τὰ νῦν εἰρημένα. τῇ δὴ μετὰ ταύτην τὴν ἡμέραν δείλης Εὐρύβιος καὶ Θεοδότης προσηλθέτην μοι σπουδῇ τεθορυβημένω θαυμαστῶς, καὶ ὁ Θεοδότης λέγει, Πλάτων, ἔφη, παρῆσθα ἡδὲς

οἷς περὶ Ἡρακλείδου Διονύσιος ὡμολόγει πρὸς ἐμὲ καὶ σέ; πῶς δὲ οὔκ; ἔφην. νῦν τοίνυν, ἦ δ' ὅς, περιθέουσι πελτασταὶ λαβεῖν Ἡρακλείδην ζητοῦντες, ὁ δὲ εἶναί πῃ ταύτῃ κινδυνεύει· ἀλλ' ἡμῖν, ἔφη, συνακολούθησον
349 πρὸς Διονύσιον ἁπάσῃ μηχανῇ. ᾠχόμεθα οὖν καὶ εἰσήλθομεν παρ' αὐτόν, καὶ τὼ μὲν ἑστάτην σιγῇ δακρύοντε, ἐγὼ δὲ εἶπον· οἶδε πεφόβηνται, μή τι σὺ παρὰ τὰ χθὲς ὡμολογημένα ποιήσῃς περὶ Ἡρακλείδην νεώτερον· δοκεῖ γάρ μοι ταύτῃ πῃ γεγονέναι φανερὸς ἀποτετραμμένος. ὁ δὲ ἀκούσας ἀνεφλέχθη τε καὶ παντοδαπὰ χρώματα ἦκεν, οἷα ἂν θυμούμενος ἀφείη· προσπεσὼν δ' αὐτῷ ὁ Θεο-
B δότης λαβόμενος τῆς χειρὸς ἐδάκρυσέ τε καὶ ἱκέτευε μηδὲν τοιοῦτον ποιεῖν, ὑπολαβὼν δ' ἐγὼ παραρυθούμενος, θάρρει, Θεοδότα, ἔφην· οὐ γὰρ τολμήσει Διονύσιος παρὰ τὰ χθὲς ὡμολογημένα ἄλλα ποτὲ δρᾷν. καὶ ὃς ἐμβλέψας μοι καὶ μάλα τυραννικῶς, σοί, ἔφη, ἐγὼ οὔτε τι σμικρὸν οὔτε μέγα ὡμολόγησα. νὴ τοὺς θεούς, ἦν δ' ἐγώ, σύ γε ταῦτα, ἃ σοῦ νῦν οὗτος δεῖται μὴ ποιεῖν· καὶ εἰπὼν ταῦτα ἀποστρεφόμενος ᾠχόμην ἔξω. τὸ μετὰ
C ταῦτα ὁ μὲν ἐκυνήγει τὸν Ἡρακλείδην, Θεοδότης δὲ ἀγγέλους πέμπων Ἡρακλείδῃ φεύγειν διεκελεύετο· ὁ δὲ ἐκπέμψας Τισίαν καὶ πελταστὰς διώκειν ἐκέλευε· φθάνει δέ, ὡς ἐλέγετο, Ἡρακλείδης εἰς τὴν Καρχηδονίων ἐπικράτειαν ἐκφυγὼν ἡμέρας σμικρῷ τινὶ μέρει. τὸ δὴ μετὰ τοῦτο ἡ πάλαι ἐπιβουλὴ Διονυσίῳ τοῦ μὴ ἀποδοῦναι τὰ Δίωνος χρήματα ἔδοξεν ἔχθρας λόγον ἔχειν ἂν πρός με πιθανόν· καὶ πρῶτον μὲν ἐκ τῆς ἀκροπόλεως ἐκπέμπει
D με, εὑρὼν πρόφασιν, ὡς τὰς γυναῖκας ἐν τῷ κήπῳ, ἐν ᾧ κατῴκουν ἐγώ, δέοι θῦσαι θυσίαν τινὰ δεχήμερον· ἔξω δή με παρ' Ἀρχιδήμῳ προσέταττε τὸν χρόνον τοῦτον μεῖναι. ὄντος δ' ἐμοῦ ἐκεῖ Θεοδότης μεταπεμψάμενός με πολλὰ περὶ τῶν τότε πραχθέντων ἠγανάκτει καὶ ἐμέμ-

φετο Διονυσίῳ· ὁ δ' ἀκούσας, ὅτι παρὰ Θεοδότην εἴην εἰσεληλυθώς, πρόφασιν αὖ ταύτην ἄλλην τῆς πρὸς ἐμὲ διαφορᾶς ποιούμενος, ἀδελφὴν τῆς πρόσθεν, πέμψας E τινὰ ἠρώτα με, εἰ ξυγγενοίμην ὄντως μεταπεμψαμένου με Θεοδότου· κἀγώ, παντάπασιν, ἔφην· ὁ δέ, ἐκέλευε τοίνυν, ἔφη, σοὶ φράζειν, ὅτι καλῶς οὐδαμῇ ποιεῖς Δίωνα καὶ τοὺς Δίωνος φίλους ἀεὶ περὶ πλείονος αὐτοῦ ποιούμενος. ταῦτ' ἐρρήθη, καὶ οὐκέτι μετεπέμψατό με εἰς τὴν οἴκησιν πάλιν, ὡς ἤδη σαφῶς Θεοδότου μὲν ὄντος μου καὶ Ἡρακλείδου φίλου, αὐτοῦ δ' ἐχθροῦ, καὶ οὐκ εὐνοεῖν ᾤετό με, ὅτι Δίωνι τὰ χρήματα ἔρρει παντελῶς. ἥκουν δὴ τὸ μετὰ τοῦτο ἔξω τῆς ἀκροπόλεως ἐν τοῖς μι- 350
σθοφόροις· προσιόντες δέ μοι ἄλλοι τε καὶ οἱ τῶν ὑπηρεσιῶν ὄντες Ἀθήνηθεν ἐμοὶ πολῖται ἀπήγγελλον, ὅτι διαβεβλημένος εἴην ἐν τοῖς πελτασταῖς καί μοί τινες ἀπειλοῖεν, εἴ που λήψονταί με, διαφθερεῖν. μηχανῶμαι· ἦ τινα τοιάνδε σωτηρίαν. πέμπω παρ' Ἀρχύτην καὶ τοὺς ἄλλους φίλους εἰς Τάραντα, φράζων ἐν οἷς ὢν τυγχάνω· οἱ δὲ πρόφασίν τινα πρεσβείας πορισάμενοι παρὰ τῆς πόλεως πέμπουσι τριακόντορόν τε καὶ Λαμίσκον αὐτῶν B ἕνα, ὃς ἐλθὼν ἐδεῖτο Διονυσίου περὶ ἐμοῦ λέγων, ὅτι βουλοίμην ἀπιέναι, καὶ μηδαμῶς ἄλλως ποιεῖν· ὁ δὲ ξυνωμολόγησε καὶ ἀπέπεμψεν ἐφόδια δούς, τῶν Δίωνος δὲ χρημάτων οὔτ' ἐγώ τι ἀπῄτουν οὔτε τις ἀπέδωκεν. ἐλθὼν δὲ εἰς Πελοπόννησον εἰς Ὀλυμπίαν, Δίωνα καταλαβὼν θεωροῦντα, ἤγγελλον τὰ γεγονότα· ὁ δὲ τὸν Δία ἐπιμαρτυράμενος εὐθὺς παρήγγελλεν ἐμοὶ καὶ τοῖς ἐμοῖς οἰκείοις καὶ φίλοις παρασκευάζεσθαι τιμωρεῖσθαι Διο- C
νύσιον, ἡμᾶς μὲν ξεναπατίας χάριν, οὕτω γὰρ ἔλεγέ τε καὶ ἐνόει, αὐτὸν δ' ἐκβολῆς ἀδίκου καὶ φυγῆς. ἀκούσας δ' ἐγὼ τοὺς μὲν φίλους παρακαλεῖν αὐτὸν ἐκέλευον, εἰ βούλοιντο· ἐμὲ δ' εἶπον ὅτι σὺ μετὰ τῶν ἄλλων βίᾳ τινὰ

τρόπον σύσσιτον καὶ συνέστιον καὶ κοινωνὸν ἱερῶν Διονυσίῳ ἐποίησας, ὃς ἴσως ἡγεῖτο διαβαλλόντων πολλῶν ἐπιβουλεύειν ἐμὲ μετὰ σοῦ ἑαυτῷ καὶ τῇ τυραννίδι, καὶ
D ὅμως οὐκ ἀπέκτεινεν, ἠδέσθη δέ· οὔτ' οὖν ἡλικίαν ἔχω συμπολεμεῖν ἔτι σχεδὸν οὐδενί, κοινός τε ὑμῖν εἰμί, ἄν ποτέ τι πρὸς ἀλλήλους δεηθέντες φιλίας ἀγαθόν τι ποιεῖν βουληθῆτε· κακὰ δὲ ἕως ἂν ἐπιθυμῆτε, ἄλλους παρακαλεῖτε. ταῦτα εἶπον μεμισηκὼς τὴν περὶ Σικελίαν πλάνην καὶ ἀτυχίαν· ἀπειθοῦντες δὲ καὶ οὐ πειθόμενοι ταῖς ὑπ' ἐμοῦ διαλέξεσι πάντων τῶν νῦν γεγονότων κακῶν αὐτοὶ αἴτιοι ἐγένοντο αὐτοῖς, ὧν, εἰ Διονύσιος ἀπέδωκε
E τὰ χρήματα Δίωνι ἢ καὶ παντάπασι κατηλλάγη, οὐκ ἂν ποτε ἐγένετο οὐδέν, ὅσα γε δὴ τἀνθρώπινα· Δίωνα γὰρ ἐγὼ καὶ τῷ βούλεσθαι καὶ τῷ δύνασθαι κατεῖχον ἂν ῥᾳδίως· νῦν δὲ ὁρμήσαντες ἐπ' ἀλλήλους κακῶν πάντα ἐμ-
351 πεπλήκασι. καί τοι τήν γε αὐτὴν Δίωνι εἶχε βούλησιν, ἥνπερ ἂν ἐγὼ φαίην δεῖν ἐμὲ καὶ ἄλλον, ὅστις μέτριος, περί τε τῆς αὐτοῦ δυνάμεως καὶ φίλων καὶ περὶ πόλεως τῆς αὐτοῦ διανοοῖτ' ἂν εὐεργετῶν ἐν δυνάμει καὶ τιμαῖσι γενέσθαι τὰ μέγιστα ἐν ταῖς μεγίσταις. ἔστι δὲ οὐκ ἄν τις πλούσιον ἑαυτὸν ποιήσῃ, καὶ ἑταίρους καὶ πόλιν ἐπιβουλεύσας καὶ ξυνωμότας συναγαγών, πένης ὢν καὶ ἑαυτοῦ μὴ κρατῶν, ὑπὸ δειλίας τῆς πρὸς τὰς ἡδονὰς ἡττημένος,
B εἶτα τοὺς τὰς οὐσίας κεκτημένους ἀποκτείνας, ἐχθροὺς καλῶν τούτους, διαφορᾷ τὰ τούτων χρήματα καὶ τοῖς συνεργοῖς τε καὶ ἑταίροις παρακελεύηται, ὅπως μηδεὶς αὐτῷ ἐγκαλεῖ πένης φάσκων εἶναι· ταὐτὸν δὲ καὶ τὴν πόλιν ἂν οὕτω τις εὐεργετῶν τιμᾶται ὑπ' αὐτῆς, τοῖς πολλοῖς τὰ τῶν ὀλίγων ὑπὸ ψηφισμάτων διανέμων, ἢ μεγάλης προεστὼς πόλεως καὶ πολλῶν ἀρχούσης ἐλαττόνων τῇ ἑαυτοῦ πόλει τὰ τῶν σμικροτέρων χρήματα δια-
C νέμῃ μὴ κατὰ δίκην. οὕτω μὲν γὰρ οὔτε Δίων οὔτε ἄλλος

ποτὲ οὐδεὶς ἐπὶ δύναμιν ἑκὼν εἶσιν ἀλιτηριώδη ἑαυτῷ τε καὶ γένει εἰς τὸν ἀεὶ χρόνον, ἐπὶ πολιτείαν δὲ καὶ νόμων κατασκευὴν τῶν δικαιοτάτων τε καὶ ἀρίστων, οὗ τι δι' ὀλιγίστων θανάτων καὶ φυγῶν γιγνομένην· ἃ νῦν δὴ Δίωνι πράττων, προτιμήσας τὸ πάσχειν ἀνόσια τοῦ δρᾶσαι πρότερον, διευλαβούμενος δὲ μὴ παθεῖν, ὅμως ἔπταισεν ἐπ' ἄκρον ἐλθὼν τοῦ περιγενέσθαι τῶν ἐχθρῶν, θαυμαστὸν παθὼν οὐδέν. ὅσιος γὰρ ἄνθρωπος ἀνοσίων D πέρι, σώφρων τε καὶ ἔμφρων, τὸ μὲν ὅλον οὐκ ἄν ποτε διαψευσθείη τῆς ψυχῆς τῶν τοιούτων πέρι, κυβερνήτου δὲ ἀγαθοῦ πάθος ἂν ἴσως οὐ θαυμαστὸν εἰ πάθοι, ὃν χειμὼν μὲν ἐσόμενος οὐκ ἂν πάνυ λάθοι, χειμώνων δὲ ἐξαίσιον καὶ ἀπροσδόκητον μέγεθος λάθοι τ' ἂν καὶ λαθὸν κατακλύσειε βίᾳ. ταὐτὸν δὴ καὶ Δίωνα ἔσφηλε δι' ὀλιγίστων· κακοὶ μὲν γὰρ ὄντες αὐτὸν σφόδρα οὐκ ἔλαθον οἱ σφήλαντες, ὅσον δὲ ὕψος ἀμαθίας εἶχον καὶ τῆς E ἄλλης μοχθηρίας τε καὶ λαιμαργίας, ἔλαθον, ᾧ δὴ σφαλεὶς κεῖται, Σικελίαν πένθει περιβαλὼν μυρίῳ. τὰ δὴ μετὰ τὰ νῦν ῥηθέντα ἃ ξυμβουλεύω, σχεδὸν εἴρηταί τέ 352 μοι καὶ εἰρήσθω· ὧν δ' ἐπανέλαβον ἕνεκα τὴν εἰς Σικελίαν ἄφιξιν τὴν δευτέραν, ἀναγκαῖον εἶναι ἔδοξέ μοι ῥηθῆναι δεῖν διὰ τὴν ἀτοπίαν καὶ ἀλογίαν τῶν γενομένων· εἰ δ' ἄρα τινὶ τὰ νῦν ῥηθέντα εὐλογώτερα ἐφάνη καὶ προφάσεις πρὸς τὰ γενόμενα ἱκανὰς ἔχειν ἔδοξέ τῳ, μετρίως ἂν ἡμῖν καὶ ἱκανῶς εἴη τὰ νῦν εἰρημένα.

Η.

Πλάτων τοῖς Δίωνος οἰκείοις τε καὶ ἑταίροις εὖ B πράττειν· ἃ δ' ἂν διανοηθέντες μάλιστα εὖ πράττοιτε,

ὄντως πειράσομαι ταῦθ' ὑμῖν κατὰ δύναμιν διεξελθεῖν. ἐλπίζω δὲ οὐχ ὑμῖν μόνοις ξυμβουλεύσειν τὰ ξυμφέροντα,
C μάλιστά γε μὴν ὑμῖν, καὶ δευτέροις πᾶσι τοῖς ἐν Συρακούσαις, τρίτοις δὲ ὑμῶν καὶ τοῖς ἐχθροῖς καὶ πολεμίοις, πλὴν εἴ τις αὐτῶν ἀνρσιουργὸς γέγονε· ταῦτα γὰρ ἀνίατα καὶ οὐκ ἄν ποτέ τις αὐτὰ ἐκνίψειε. νοήσατε δὲ ἃ λέγω νῦν. ἔσθ' ὑμῖν κατὰ Σικελίαν πᾶσαν λελυμένης τῆς τυραννίδος πᾶσα μάχη περὶ αὐτῶν τούτων, τῶν μὲν βουλομένων ἀναλαβεῖν πάλιν τὴν ἀρχήν, τῶν δὲ τῇ τῆς τυραννίδος ἀποφυγῇ τέλος ἐπιθεῖναι. ξυμβουλὴ δὴ περὶ
D τῶν τοιούτων ὀρθὴ δοκεῖ ἑκάστοτε τοῖς πολλοῖς εἶναι ταῦτα ξυμβουλεύειν δεῖν, ἃ τοὺς μὲν πολεμίους ὡς πλεῖστα κακὰ ἐξεργάσεται, τοὺς δὲ φίλους ὡς πλεῖστα ἀγαθά· τὸ δὲ οὐδαμῶς ῥᾴδιον, πολλὰ κακὰ δρῶντα τοὺς ἄλλους μὴ οὐ καὶ πάσχειν αὐτὸν πολλὰ ἕτερα. δεῖ δὲ οὐ μακρὰν ἐλθόντας ποι τὰ τοιαῦτα ἐναργῶς ἰδεῖν, ἀλλ' ὅσα νῦν γέγονε τῇδε αὐτοῦ περὶ Σικελίαν, τῶν μὲν ἐπιχειρούντων δρᾶν, τῶν δὲ ἀμύνασθαι τοὺς δρῶντας· ἃ κἂν ἄλλοις
E μυθολογοῦντες ἱκανοὶ γίγνοισθ' ἂν ἑκάστοτε διδάσκαλοι. τούτων μὲν δὴ σχεδὸν οὐκ ἀπορία· τῶν δὲ ὅσα γένοιτ' ἂν ἢ πᾶσι συμφέροντα ἐχθροῖς τε καὶ φίλοις ἢ ὅ τι σμικρότατα κακὰ ἀμφοῖν, ταῦτα οὔτε ῥᾴδιον ὁρᾶν οὔτε ἰδόντα ἐπιτελεῖν, εὐχῇ δὲ προσέοικεν ἡ τοιαύτη ξυμβουλή τε καὶ ἐπιχείρησις τοῦ λόγου. ἔστω δὴ παντάπασι μὲν
353 εὐχή τις, ἀπὸ γὰρ θεῶν χρὴ πάντα ἀρχόμενον ἀεὶ λέγειν τε καὶ νοεῖν, ἐπιτελὴς δ' εἴη σημαίνουσα ἡμῖν τοιόνδε τινὰ λόγον. νῦν ὑμῖν καὶ τοῖς πολεμίοις σχεδόν, ἐξ οὗπερ γέγονεν ὁ πόλεμος, συγγένεια ἄρχει μία διὰ τέλους, ἣν ποτε κατέστησαν οἱ πατέρες ὑμῶν ἐς ἀπορίαν ἐλθόντες τὴν ἅπασαν, τόθ' ὅτε κίνδυνος ἐγένετο ἔσχατος Σικελίᾳ τῇ τῶν Ἑλλήνων ὑπὸ Καρχηδονίων ἀνάστατον ὅλην ἐκβαρβαρωθεῖσαν γενέσθαι. τότε γὰρ εἵλοντο Διονύσιον

μὲν ὡς νέον καὶ πολεμικὸν ἐπὶ τὰς τοῦ πολέμου πρεπού- B
σας αὐτῷ πράξεις, σύμβουλον δὲ καὶ πρεσβύτερον Ἱπ-
παρῖνον, ἐπὶ σωτηρίᾳ τῆς Σικελίας αὐτοκράτορας, ὥς
φασι, τυράννους ἐπονομάζοντες· καὶ εἴτε δὴ θείαν τις
ἡγεῖσθαι βούλεται τύχην καὶ θεὸν εἴτε τὴν τῶν ἀρχόν-
των ἀρετὴν εἴτε καὶ τὸ ξυναμφότερον μετὰ τῶν τότε πο-
λιτῶν τῆς σωτηρίας αἰτίαν ξυμβῆναι γενομένην, ἔστω
ταύτῃ ὅπῃ τις ὑπολαμβάνει· σωτηρία δ' οὖν οὕτω συν-
έβη τοῖς τότε γενομένοις. τοιούτων οὖν αὐτῶν γεγονό-
των δίκαιόν που τοῖς σώσασι πάντας χάριν ἔχειν· εἰ δέ C
τι τὸν μετέπειτα χρόνον ἡ τυραννὶς οὐκ ὀρθῶς τῇ τῆς
πόλεως δωρεᾷ κατακέχρηται, τούτων δίκας τὰς μὲν ἔχει,
τὰς δὲ τινέτω. τίνες οὖν δὴ δίκαι ἀναγκαίως ὀρθαὶ γί-
γνοιντ' ἂν ἐκ τῶν ὑπαρχόντων αὐτοῖς; εἰ μὲν ῥᾳδίως
ὑμεῖς ἀποφυγεῖν οἷοί τ' ἦτε αὐτοὺς καὶ ἄνευ μεγάλων
κινδύνων καὶ πόνων, ἦ 'κεῖνοι ἑλεῖν εὐπετῶς πάλιν τὴν
ἀρχήν, οὐδ' ἂν συμβουλεύειν οἷόν τ' ἦν τὰ μέλλοντα φη-
θήσεσθαι· νῦν δ' ἐννοεῖν ὑμᾶς ἀμφοτέρους χρεὼν καὶ D
ἀναμιμνήσκεσθαι, ποσάκις ἐν ἐλπίδι ἑκάτεροι γεγόνατε
τοῦ νῦν οἴεσθαι σχεδὸν ἀεί τινος σμικροῦ ἐπιδεεῖς εἶναι
τὸ μὴ πάντα κατὰ νοῦν πράττειν, καὶ δὴ καὶ ὅτι τὸ σμι-
κρὸν τοῦτο μεγάλων καὶ μυρίων κακῶν αἴτιον ἑκάστοτε
ξυμβαίνει γιγνόμενον, καὶ πέρας οὐδέν ποτε τελεῖται,
ξυνάπτει δὲ ἀεὶ παλαιὰ τελευτὴ δοκοῦσα ἀρχῇ φυομένῃ
νέᾳ, διολέσθαι δ' ὑπὸ τοῦ κύκλου τούτου κινδυνεύσει
καὶ τὸ τυραννικὸν ἅπαν καὶ τὸ δημοτικὸν γένος, ἥξει δέ, E
ἐάνπερ τῶν εἰκότων γίγνηταί τε καὶ ἀπευκτῶν, σχεδὸν
εἰς ἐρημίαν τῆς Ἑλληνικῆς φωνῆς Σικελία πᾶσα, Φοι-
νίκων ἢ Ὀπικῶν μεταβαλοῦσα εἴς τινα δυναστείαν καὶ
κράτος. τούτων δὴ χρὴ πάσῃ προθυμίᾳ πάντας τοὺς Ἕλ-
ληνας τέμνειν φάρμακον. εἰ μὲν δή τις ὀρθότερον ἄμει-
νόν τ' ἔχει τοῦ ὑπ' ἐμοῦ ῥηθησομένου, ἑνεγκὼν εἰς τὸ

354 μέσον ὀρθότατα φιλέλλην ἂν λεχθείη· ὃ δέ μοι φαίνεται
πῃ τὰ νῦν, ἐγὼ πειράσομαι πάσῃ παρρησίᾳ καὶ κοινῷ τινὶ
δικαίῳ λόγῳ χρώμενος δηλοῦν. λέγω γὰρ δὴ διαιτητοῦ
τινὰ τρόπον, διαλεγόμενος ὡς δυοῖν τυραννεύσαντί τε
καὶ τυραννευθέντι, ὡς ἑνὶ ἑκατέρῳ παλαιὰν ἐμὴν ξυμ-
βουλήν· καὶ νῦν δ' ὅ γ' ἐμὸς λόγος ἂν εἴη ξύμβουλος
τυράννῳ παντὶ φεύγειν μὲν τοὔνομά τε καὶ τοὔργον
τοῦτο, εἰς βασιλείαν δέ, εἰ δυνατὸν εἴη, μεταβαλεῖν. δυ-
B νατὸν δέ, ὡς ἔδειξεν ἔργῳ σοφὸς ἀνὴρ καὶ ἀγαθὸς Λυ-
κοῦργος, ὃς ἰδὼν τὸ τῶν οἰκείων γένος ἐν Ἄργει καὶ
Μεσσήνῃ ἐκ βασιλέων εἰς τυράννων δύναμιν ἀφικομέ-
νους καὶ διαφθείραντας ἑαυτούς τε καὶ τὴν πόλιν ἑκατέ-
ρους ἑκατέραν, δείσας περὶ τῆς αὐτοῦ πόλεως ἅμα καὶ
γένους, φάρμακον ἐπήνεγκε τὴν τῶν γερόντων ἀρχὴν
καὶ τὸν τῶν ἐφόρων δεσμὸν τῆς βασιλικῆς ἀρχῆς σωτή-
ριον, ὥστε γενεὰς τοσαύτας ἤδη μετ' εὐκλείας σώζεσθαι,
C νόμος ἐπειδὴ κύριος ἐγένετο βασιλεὺς τῶν ἀνθρώπων,
ἀλλ' οὐκ ἄνθρωποι τύραννοι νόμων. ὃ δὴ καὶ νῦν οὑμὸς
λόγος πᾶσι παρακελεύεται, τοῖς μὲν τυραννίδος ἐφιεμέ-
νοις ἀποτρέπεσθαι καὶ φεύγειν φυγῇ ἁπλήστως πεινών-
των εὐδαιμόνισμα ἀνθρώπων καὶ ἀνοήτων, εἰς βασιλέως
δ' εἶδος πειρᾶσθαι μεταβάλλειν καὶ δουλεῦσαι νόμοις
βασιλικοῖς, τὰς μεγίστας τιμὰς κεκτημένους παρ' ἑκόν-
των τε ἀνθρώπων καὶ τῶν νόμων· τοῖς δὲ δὴ ἐλεύθερα
D διώκουσιν ἤθη καὶ φεύγουσι τὸν δούλειον ζυγὸν ὡς ὂν
κακόν, εὐλαβεῖσθαι ξυμβουλεύοιμ' ἂν μή ποτε ἀπληστίᾳ
ἐλευθερίας ἀκαίρου τινὸς εἰς τὸ τῶν προγόνων νόσημα
ἐμπέσωσιν, ὃ διὰ τὴν ἄγαν ἀναρχίαν οἱ τότε ἔπαθον, ἀμέ-
τρῳ ἐλευθερίας χρώμενοι ἔρωτι· οἱ γὰρ πρὸ Διονυσίου
καὶ Ἱππαρίνου ἄρξαντες Σικελιῶται τότε ὡς ᾤοντο εὐ-
δαιμόνως ἔζων, τρυφῶντές τε καὶ ἅμα ἀρχόντων ἄρχον-
τες· οἳ καὶ τοὺς δέκα στρατηγοὺς κατέλευσαν βάλλοντες

τοὺς πρὸ Διονυσίου, κατὰ νόμον οὐδένα κρίναντες, ἵνα E
δὴ δουλεύοιεν μηδενὶ μήτε σὺν δίκῃ μήτε νόμῳ δεσπότῃ,
ἐλεύθεροι δ' εἶεν πάντῃ πάντως· ὅθεν αἱ τυραννίδες
ἐγένοντο αὐτοῖς. δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλ-
λουσα μὲν ἑκατέρα πάγκακον, ἔμμετρος δὲ οὖσα πανά-
γαθον· μετρία δὲ ἡ θεῷ δουλεία, ἄμετρος δὲ ἡ τοῖς ἀν-
θρώποις· θεὸς δὲ ἀνθρώποις σώφροσι νόμος, ἄφροσι 355
δὲ ἡδονή. τούτων δὴ ταύτῃ πεφυκότων, ἃ ξυμβουλεύω
Συρακοσίοις πᾶσι, φράζειν παρακελεύομαι τοῖς Δίωνος
φίλοις ἐκείνου καὶ ἐμὴν κοινὴν ξυμβουλήν· ἐγὼ δὲ ἑρ-
μηνεύσω ἃ ἐκεῖνος ἔμπνους ὢν καὶ δυνάμενος εἶπεν *ἂν*
νῦν πρὸς ὑμᾶς. τίν' οὖν δή, τις ἂν εἴποι, λόγον ἀποφαί-
νεται ὑμῖν περὶ τῶν νῦν παρόντων ἡ Δίωνος ξυμβουλή;
τόνδε.

Δέξασθε, ὦ Συρακόσιοι, πάντων πρῶτον νόμους,
οἵτινες ἂν ὑμῖν φαίνωνται μὴ πρὸς χρηματισμὸν καὶ B
πλοῦτον τρέψοντες τὰς γνώμας ὑμῶν μήτ' ἐπιθυμίας,
ἀλλ' ὄντων τριῶν, ψυχῆς καὶ σώματος, ἔτι δὲ χρημάτων,
τὴν τῆς ψυχῆς ἀρετὴν ἐντιμοτάτην ποιοῦντες, δευτέραν
δὲ τὴν τοῦ σώματος, ὑπὸ τῇ τῆς ψυχῆς κειμένην, τρίτην
δὲ καὶ ὑστάτην τὴν τῶν χρημάτων τιμήν, δουλεύουσαν
τῷ σώματί τε καὶ τῇ ψυχῇ. καὶ ὁ μὲν ταῦτα ἀπεργαζόμε-
νος θεσμὸς νόμος ἂν ὀρθῶς ὑμῖν εἴη κείμενος, ὄντως C
εὐδαίμονας ἀποτελῶν τοὺς χρωμένους· ὁ δὲ τοὺς πλου-
σίους εὐδαίμονας ὀνομάζων λόγος αὐτός τε ἄθλιος, γυ-
ναικῶν καὶ παίδων ὢν λόγος ἄνους, τοὺς πειθομένους
τε ἀπεργάζεται τοιούτους. ὅτι δ' ἀληθῆ ταῦτ' ἐγὼ παρα-
κελεύομαι, ἐὰν γεύσησθε τῶν νῦν λεγομένων περὶ νό-
μων, ἔργῳ γνώσεσθε· ἢ δὴ βάσανος ἀληθεστάτη δοκεῖ
γίγνεσθαι τῶν πάντων πέρι. δεξάμενοι δὲ τοὺς τοιού-
τους νόμους, ἐπειδὴ κατέχει κίνδυνος Σικελίαν, καὶ οὔτε D
κρατεῖτε ἱκανῶς οὔτ' αὖ διαφερόντως κρατεῖσθε, δίκαιον

ἂν ἴσως καὶ ξυμφέρον γίγνοιτο ὑμῖν πᾶσι μέσον τεμεῖν, τοῖς τε φεύγουσι τῆς ἀρχῆς τὴν χαλεπότητα ὑμῖν καὶ τοῖς τῆς ἀρχῆς πάλιν ἐρῶσι τυχεῖν, ὧν οἱ πρόγονοι τότε, τὸ μέγιστον, ἔσωσαν ἀπὸ βαρβάρων τοὺς Ἕλληνας, ὥστ' ἐξεῖναι περὶ πολιτείας νῦν ποιεῖσθαι λόγους· ἔρρουσι δὲ τότε οὔτε λόγος οὔτ' ἐλπὶς ἐλείπετ' ἂν οὐδαμῇ οὐδαμῶς. νῦν οὖν τοῖς μὲν ἐλευθερία γιγνέσθω μετὰ βασιλικῆς
Ε ἀρχῆς, τοῖς δὲ ἀρχὴ ὑπεύθυνος βασιλική, δεσποζόντων νόμων τῶν τε ἄλλων πολιτῶν καὶ τῶν βασιλέων αὐτῶν, ἄν τι παράνομον πράττωσιν· ἐπὶ δὲ τούτοις ξύμπασιν ἀδόλῳ γνώμῃ καὶ ὑγιεῖ μετὰ θεῶν βασιλέα στήσασθε, πρῶτον μὲν τὸν ἐμὸν υἱὸν χαρίτων ἕνεκα διττῶν, τῆς τε παρ' ἐμοῦ καὶ τοῦ ἐμοῦ πατρός. ὁ μὲν γὰρ ἀπὸ βαρβάρων ἠλευθέρωσεν ἐν τῷ τότε χρόνῳ τὴν πόλιν, ἐγὼ δὲ
356 ἀπὸ τυράννων νῦν δίς, ὧν αὐτοὶ μάρτυρες ὑμεῖς γεγόνατε. δεύτερον δὲ δὴ ποιεῖσθε βασιλέα τὸν τῷ μὲν ἐμῷ πατρὶ ταὐτὸν κεκτημένον ὄνομα, υἱὸν δὲ Διονυσίου, χάριν τῆς τε δὴ νῦν βοηθείας καὶ ὁσίου τρόπου· ὃς γενόμενος τυράννου πατρὸς ἑκὼν τὴν πόλιν ἐλευθεροῖ, τιμὴν αὐτῷ καὶ γένει ἀείζωον ἀντὶ τυραννίδος ἐφημέρου καὶ ἀδίκου κτώμενος. τρίτον δὲ προκαλεῖσθαι χρὴ βασιλέα γίγνεσθαι Συρακουσῶν, ἑκόντα ἑκούσης τῆς πόλεως,
Β τὸν νῦν τοῦ τῶν πολεμίων ἄρχοντα στρατοπέδου Διονύσιον τὸν Διονυσίου, ἐὰν ἐθέλῃ ἑκὼν εἰς βασιλέως σχῆμα ἀπαλλάττεσθαι, δεδιὼς μὲν τὰς τύχας, ἐλεῶν δὲ πατρίδα καὶ ἱερῶν ἀθεραπευσίαν καὶ τάφους, μὴ διὰ φιλονεικίαν πάντως πάντα ἀπολέσῃ βαρβάροις ἐπίχαρτος γενόμενος· τρεῖς δ' ὄντας βασιλέας, εἴτ' οὖν τὴν Λακωνικὴν δύναμιν αὐτοῖς δόντες εἴτε ἀφελόντες καὶ ξυνομολογησάμενοι, καταστήσασθε τρόπῳ τινὶ τοιῷδε, ὃς εἴ-
Ρ ρηται μὲν καὶ πρότερον ὑμῖν, ὅμως δ' ἔτι καὶ νῦν ἀκούετε. ἐὰν ἐθέλῃ τὸ γένος ὑμῖν τὸ Διονυσίου τε καὶ

Ἱππαρίνου ἐπὶ σωτηρίᾳ Σικελίας παύσασθαι τῶν νῦν παρόντων κακῶν, τιμὰς αὐτοῖς καὶ γένει λαβόντες εἴς τε τὸν ἔπειτα καὶ τὸν νῦν χρόνον, ἐπὶ τούτοις καλεῖτε, ὥσπερ καὶ πρότερον ἐρρήθη, πρέσβεις οὓς ἂν ἐθελήσωσι κυρίους ποιησάμενοι τῶν διαλλαγῶν, εἴτε τινὰς αὐτόθεν εἴτε ἔξωθεν εἴτε ἀμφότερα, καὶ ὁπόσους ἂν συγχωρήσωσι· τούτους δ' ἐλθόντας νόμους μὲν πρῶτον θεῖναι D καὶ πολιτείαν τοιαύτην, ἐν ᾗ βασιλέας ἁρμόττει γίγνεσθαι κυρίους ἱερῶν τε καὶ ὅσων ἄλλων πρέπει τοῖς γενομένοις ποτὲ εὐεργέταις, πολέμου δὲ καὶ εἰρήνης ἄρχοντας νομοφύλακας ποιήσασθαι ἀριθμὸν τριάκοντα καὶ πέντε μετά τε δήμου καὶ βουλῆς. δικαστήρια δὲ ἄλλα μὲν ἄλλων, θανάτου δὲ καὶ φυγῆς τούς τε πέντε καὶ τριάκοντα ὑπάρχειν· πρὸς τούτοις τε ἐκλεκτοὺς γίγνεσθαι δικαστὰς ἐκ τῶν [νῦν] ἀεὶ περυσινῶν ἀρχόντων, ἕνα ἀφ' ἑκάστης τῆς ἀρχῆς τὸν ἄριστον δόξαντ' εἶναι καὶ E δικαιότατον· τούτους δὲ τὸν ἐπιόντα ἐνιαυτὸν δικάζειν ὅσα θανάτου καὶ δεσμοῦ καὶ μεταστάσεως τῶν πολιτῶν· βασιλέα δὲ τῶν τοιούτων δικῶν μὴ ἐξεῖναι δικαστὴν γίγνεσθαι, καθάπερ ἱερέα φόνου καθαρεύοντα καὶ δεσμοῦ 357 καὶ φυγῆς. ταῦθ' ὑμῖν ἐγὼ καὶ ζῶν διενοήθην γίγνεσθαι καὶ νῦν διανοοῦμαι, καὶ τότε κρατήσας τῶν ἐχθρῶν μεθ' ὑμῶν, εἰ μὴ ξενικαὶ ἐρινύες ἐκώλυσαν, κατέστησα ἂν ἥπερ καὶ διενοούμην, καὶ μετὰ ταῦτα Σικελίαν ἂν τὴν ἄλλην, εἴπερ ἔργα ἐπὶ νῷ ἐγίγνετο, κατῴκισα, τοὺς μὲν βαρβάρους ἣν νῦν ἔχουσιν ἀφελόμενος, ὅσοι μὴ ὑπὲρ τῆς κοινῆς ἐλευθερίας διεπολέμησαν πρὸς τὴν τυραννίδα, τοὺς δ' ἔμπροσθεν οἰκητὰς τῶν Ἑλληνικῶν τόπων B εἰς τὰς ἀρχαίας καὶ πατρῴας οἰκήσεις κατοικίσας· ταὐτὰ δὲ ταῦτα καὶ νῦν πᾶσι συμβουλεύω κοινῇ διανοηθῆναι καὶ πράττειν τε καὶ παρακαλεῖν ἐπὶ ταύτας τὰς πρά[illegible] πάντας, τὸν μὴ θέλοντα δὲ πολέμιον ἡγεῖσθαι κοινῇ.

δὲ ταῦτα οὐκ ἀδύνατα· ἃ γὰρ ἐν δυοῖν τε ὄντα ψυχαῖν
τυγχάνει καὶ λογισαμένοις εὑρεῖν βέλτιστα ἑτοίμως ἔχει,
ταῦτα δὲ σχεδὸν ὁ κρίνων ἀδύνατα οὐκ εὖ φρονεῖ. λέγω
C δὲ τὰς δύο τήν τε Ἱππαρίνου τοῦ Διονυσίου υἱέος καὶ
τὴν τοῦ ἐμοῦ υἱέος· τούτοιν γὰρ ξυνομολογησάντοιν τοῖς
γε ἄλλοις Συρακουσίοις οἶμαι πᾶσιν ὅσοιπερ τῆς πόλεως
κήδονται ξυνδοκεῖν. ἀλλὰ θεοῖς τε πᾶσι τιμὰς μετ' εὐχῶν
δόντες τοῖς τε ἄλλοις ὅσοις μετὰ θεῶν πρέπει, πείθοντες
καὶ προκαλούμενοι φίλους καὶ διαφόρους μαλακῶς τε καὶ
πάντως, μὴ ἀποστῆτε, πρὶν ἂν τὰ νῦν ὑφ' ἡμῶν λε-
D χθέντα, οἷον ὀνείρατα θεῖα ἐπιστάντα ἐγρηγορόσιν, ἐναρ-
γῆ τε ἐξεργάσησθε τελεσθέντα καὶ εὐτυχῆ.

θ.

Πλάτων Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν.

Ἀφίκοντο πρὸς ἡμᾶς οἱ περὶ Ἄρχιππον καὶ Φιλωνί-
E δην, τήν τε ἐπιστολὴν φέροντες, ἣν σὺ αὐτοῖς ἔδωκας,
καὶ ἀπαγγέλλοντες τὰ παρὰ σοῦ. τὰ μὲν οὖν πρὸς τὴν
πόλιν οὐ χαλεπῶς διεπράξαντο· καὶ γὰρ οὐδὲ παντελῶς
ἦν ἐργώδη· τὰ δὲ παρὰ σοῦ διῆλθον ἡμῖν, λέγοντες ὑπο-
δυσφορεῖν σε, ὅτι οὐ δύνασαι τῆς περὶ τὰ κοινὰ ἀσχολίας
ἀπολυθῆναι. ὅτι μὲν οὖν ἥδιστόν ἐστιν ἐν τῷ βίῳ τὸ τὰ
358 αὐτοῦ πράττειν, ἄλλως τε καὶ εἴ τις ἔλοιτο τοιαῦτα πράτ-
τειν οἷα καὶ σύ, σχεδὸν παντὶ δῆλον· ἀλλὰ κἀκεῖνο δεῖ
σε ἐνθυμεῖσθαι, ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέ-
γονεν, ἀλλὰ τῆς γενέσεως ἡμῶν τὸ μέν τι ἡ πατρὶς μερί-
ξεται, τὸ δέ τι οἱ γεννήσαντες, τὸ δὲ οἱ λοιποὶ φίλοι, πολ-
λὰ δὲ καὶ τοῖς καιροῖς δίδοται τοῖς τὸν βίον ἡμῶν κατα-

λαμβάνουσι. καλούσης δὲ τῆς πατρίδος αὐτῆς πρὸς τὰ κοινά, ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν· ἅμα γὰρ ξυμβαίνει καὶ χώραν καταλιμπάνειν φαύλοις ἀνθρώποις, οἳ B οὐκ ἀπὸ τοῦ βελτίστου πρὸς τὰ κοινὰ προσέρχονται. περὶ τούτων μὲν οὖν ἱκανῶς, Ἐχεκράτους δὲ καὶ νῦν ἐπιμέλειαν ἔχομεν καὶ εἰς τὸν λοιπὸν χρόνον ἕξομεν καὶ διὰ σὲ καὶ διὰ τὸν πατέρα αὐτοῦ Φρυνίωνα καὶ δι' αὐτὸν τὸν νεανίσκον.

I.

Πλάτων Ἀριστοδώρῳ εὖ πράττειν.

Ἀκούω Δίωνος ἐν τοῖς μάλιστα ἑταῖρον εἶναί τέ σε C νῦν καὶ γεγονέναι διὰ παντός, τὸ σοφώτατον ἦθος τῶν εἰς φιλοσοφίαν παρεχόμενον· τὸ γὰρ βέβαιον καὶ πιστὸν καὶ ὑγιές, τοῦτο ἐγὼ φημι εἶναι τὴν ἀληθινὴν φιλοσοφίαν, τὰς δὲ ἄλλας τε καὶ εἰς ἄλλα τεινούσας σοφίας τε καὶ δεινότητας κομψότητας οἶμαι προσαγορεύων ὀρθῶς ὀνομάζειν. ἀλλ' ἔρρωσό τε καὶ μένε ἐν τοῖς ἤθεσιν οἷσπερ καὶ νῦν μένεις.

IA.

Πλάτων Λαοδάμαντι εὖ πράττειν. D

Ἐπέστειλα μέν σοι καὶ πρότερον, ὅτι πολὺ διαφέρει πρὸς ἅπαντα ἃ λέγεις αὐτὸν ἀφικέσθαι σε Ἀθήνασ[illegible]

ἐπειδὴ δὲ σὺ φῂς ἀδύνατον εἶναι, μετὰ τοῦτο ἦν δεύτερον, εἰ δυνατὸν ἐμὲ ἀφικέσθαι ἢ Σωκράτη, ὥσπερ ἐπέ-
E στειλας. νῦν δὲ Σωκράτης μέν ἐστι περὶ ἀσθένειαν τὴν τῆς στραγγουρίας, ἐμὲ δὲ ἀφικόμενον ἐνταῦθα ἄσχημον ἂν εἴη μὴ διαπράξασθαι ἐφ' ἅπερ σὺ παρακαλεῖς. ἐγὼ δὲ ταῦτα γενέσθαι ἂν οὐ πολλὴν ἐλπίδα ἔχω· δι' ἃ δέ, μακρᾶς ἑτέρας δέοιτ' ἂν ἐπιστολῆς, εἴ τις πάντα διεξίοι· καὶ ἅμα οὐδὲ τῷ σώματι διὰ τὴν ἡλικίαν ἱκανῶς ἔχω πλανᾶσθαι καὶ κινδυνεύειν κατά τε γῆν καὶ κατὰ θάλατταν, οἷα [ἁπαντᾷ] καὶ νῦν πάντα κινδύνων ἐν ταῖς πορείαις ἐστὶ μεστά. συμβουλεῦσαι μέντοι ἔχω σοί τε καὶ
359 τοῖς οἰκισταῖς, ὃ εἰπόντος μὲν ἐμοῦ, φησὶν Ἡσίοδος, δόξαι ἂν εἶναι φαῦλον, χαλεπὸν δὲ νοῆσαι. εἰ γὰρ οἷονθ' ὑπὸ νόμων θέσεως καὶ ὧν τινῶν εὖ ποτὲ πόλιν ἂν κατασκευασθῆναι, ἄνευ τοῦ εἶναί τι κύριον ἐπιμελούμενον ἐν τῇ πόλει τῆς καθ' ἡμέραν διαίτης, ὅπως ἂν ᾖ σώφρων τε καὶ ἀνδρικὴ δούλων τε καὶ ἐλευθέρων, οὐκ ὀρθῶς διανοοῦνται. τοῦτο δ' αὖ, εἰ μὲν εἰσὶν ἤδη ἄνδρες ἄξιοι τῆς
B ἀρχῆς ταύτης, γένοιτ' ἄν· εἰ δ' ἐπὶ τὸ παιδεῦσαι δεῖ τινός, οὔτε ὁ παιδεύσων οὔτε οἱ παιδευθησόμενοι, ὡς ἐγὼ οἶμαι, εἰσὶν ὑμῖν, ἀλλὰ τὸ λοιπὸν τοῖς θεοῖς εὔχεσθαι. καὶ γὰρ σχεδόν τι καὶ αἱ ἔμπροσθεν πόλεις οὕτω κατεσκευάσθησαν, καὶ ἔπειτα εὖ ᾤκησαν, ὑπὸ ξυμβάσεων πραγμάτων μεγάλων καὶ κατὰ πόλεμον καὶ κατὰ τὰς ἄλλας πράξεις γενομένων, ὅταν ἐν τοιούτοις καιροῖς ἀνὴρ
C καλός τε καὶ ἀγαθὸς ἐγγένηται μεγάλην δύναμιν ἔχων· τὸ δ' ἔμπροσθεν αὐτὰ προθυμεῖσθαι μὲν χρὴ καὶ ἀνάγκη, διανοεῖσθαι μέντοι αὐτὰ οἷα λέγω, καὶ μὴ ἀνοηταίνειν οἰομένους τι ἑτοίμως διαπράξασθαι. εὐτύχει.

ΙΒ.

Πλάτων Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν.

Τὰ μὲν παρὰ σοῦ ἐλθόνθ' ὑπομνήματα θαυμαστῶς
ὡς ἄσμενοί τε ἐλάβομεν καὶ τοῦ γράψαντος αὐτὰ ἠγά- D
σθημεν ὡς ἕνι μάλιστα, καὶ ἔδοξεν ἡμῖν εἶναι ὁ ἀνὴρ
ἄξιος ἐκείνων τῶν πάλαι προγόνων· λέγονται γὰρ δὴ οἱ
ἄνδρες οὗτοι μύριοι εἶναι, οὗτοι δ' ἦσαν τῶν ἐπὶ Λαο-
μέδοντος ἐξαναστάντων Τρώων, ἄνδρες ἀγαθοί, ὡς ὁ
παραδεδομένος μῦθος δηλοῖ. τὰ δὲ παρ' ἐμοὶ ὑπομνή-
ματα, περὶ ὧν ἐπέστειλας, ἱκανῶς μὲν οὔπω ἔχει, ὡς δέ
ποτε τυγχάνει ἔχοντα, ἀπέσταλκά σοι· περὶ δὲ τῆς φυ- E
λακῆς ἀμφότεροι συμφωνοῦμεν, ὥστ' οὐδὲν δεῖ παρα-
κελεύεσθαι.

ΙΓ.

Πλάτων Διονυσίῳ τυράννῳ Συρακουσῶν 3(
εὖ πράττειν.

Ἀρχή σοι τῆς ἐπιστολῆς ἔστω καὶ ἅμα ξύμβολον ὅτι
παρ' ἐμοῦ ἐστί· τοὺς Λοκρούς ποθ' ἑστιῶν νεανίσκους,
πόρρω κατακείμενος ἀπ' ἐμοῦ, ἀνέστης παρ' ἐμὲ καὶ φι-
λοφρονούμενος εἶπες εὖ τι ῥῆμα ἔχον, ὡς ἐμοί τε ἐδόκει
καὶ τῷ παρακατακειμένῳ, ἦν δ' οὗτος τῶν καλῶν τις· ὃς
τότε εἶπεν· ἦ που πολλά, ὦ Διονύσιε, εἰς σοφίαν ὠφελεῖ
ὑπὸ Πλάτωνος· σὺ δ' εἶπες· καὶ εἰς ἄλλα πολλά, ἐπεὶ
καὶ ἀπ' αὐτῆς τῆς μεταπέμψεως, ὅτι μετεπεμψάμ[illegible]

τόν, δι' αὐτὸ τοῦτο εὐθὺς ὠφελήθην. τοῦτ' οὖν διασωστέον, ὅπως ἂν αὐξάνηται ἀεὶ ἡμῖν ἡ ἀπ' ἀλλήλων ὠφέλεια. καὶ ἐγὼ νῦν τοῦτ' αὐτὸ παρασκευάζων τῶν τε Πυθαγορείων πέμπω σοι καὶ τῶν διαιρέσεων, καὶ ἄνδρα,
C ὥσπερ ἐδόκει ἡμῖν τότε, ᾧ γε σὺ καὶ Ἀρχύτης, εἴπερ ἥκει παρά σε Ἀρχύτης, χρῆσθαι δύναισθ' ἄν. ἔστι δὲ ὄνομα μὲν Ἑλίκων, τὸ δὲ γένος ἐκ Κυζίκου, μαθητὴς δὲ Εὐδόξου καὶ περὶ πάντα τὰ ἐκείνου πάνυ χαριέντως ἔχων· ἔτι δὲ καὶ τῶν Ἰσοκράτους μαθητῶν τῷ ξυγγέγονε καὶ Πολυξένῳ τῶν Βρύσωνός τινι ἑταίρων· ὃ δὲ σπάνιον ἐπὶ τούτοις, οὔτε ἄχαρίς ἐστιν ἐντυχεῖν οὔτε κακοήθει ἔοικεν, ἀλλὰ μᾶλλον ἐλαφρὸς καὶ εὐήθης δόξειεν ἂν εἶναι.
D δεδιὼς δὲ λέγω ταῦτα, ὅτι ὑπὲρ ἀνθρώπου δόξαν ἀποφαίνομαι, οὐ φαύλου ζώου, ἀλλ' εὐμεταβόλου, πλὴν πάνυ ὀλίγων τινῶν καὶ εἰς ὀλίγα· ἐπεὶ καὶ περὶ τούτου φοβούμενος καὶ ἀπιστῶν ἐσκόπουν αὐτός τε ἐντυγχάνων καὶ ἐπυνθανόμην τῶν πολιτῶν αὐτοῦ, καὶ οὐδεὶς οὐδὲν φλαῦρον ἔλεγε τὸν ἄνδρα. σκόπει δὲ καὶ αὐτὸς καὶ εὐλαβοῦ. μάλιστα μὲν οὖν, ἂν καὶ ὀπωστιοῦν σχολάζῃς,
E μάνθανε παρ' αὐτοῦ καὶ τἆλλα φιλοσόφει· εἰ δὲ μή, ἐκδίδαξαί τινα, ἵνα κατὰ σχολὴν μανθάνων βελτίων γίγνῃ καὶ εὐδοξῇς, ὅπως τὸ δι' ἐμὲ ὠφελεῖσθαί σε μὴ ἀνιᾷ. καὶ ταῦτα μὲν δὴ ταύτῃ.

361 Περὶ δὲ ὧν ἐπέστελλές μοι ἀποπέμπειν σοι, τὸν μὲν Ἀπόλλω ἐποιησάμην τε καὶ ἄγει σοι Λεπτίνης, νέου καὶ ἀγαθοῦ δημιουργοῦ· ὄνομα δ' ἔστιν αὐτῷ Λεωχάρης. ἕτερον δὲ παρ' αὐτῷ ἔργον ἦν πάνυ κομψόν, ὡς ἐδόκει· ἐπριάμην οὖν αὐτὸ βουλόμενός σου τῇ γυναικὶ δοῦναι, ὅτι μου ἐπεμελεῖτο καὶ ὑγιαίνοντος καὶ ἀσθενοῦντος ἀξίως ἐμοῦ τε καὶ σοῦ· δὸς οὖν αὐτῇ, ἂν μή τι σοὶ ἄλλο δόξῃ. πέμπω δὲ καὶ οἴνου γλυκέος δώδεκα σταμνία τοῖς παισὶ καὶ μέλιτος δύο· ἰσχάδων δὲ ὕστερον ἤλθομεν τῆς

ἀποθέσεως, τὰ δὲ μύρτα ἀποτεθέντα κατεσάπη· ἀλλ' αὖθις βέλτιον ἐπιμελησόμεθα. περὶ δὲ φυτῶν Λεπτίνης σοι ἐρεῖ. ἀργύριον δ' εἰς ταῦτα ἕνεκά τε τούτων καὶ εἰσφορῶν τινῶν εἰς τὴν πόλιν ἔλαβον παρὰ Λεπτίνου, λέγων ἃ μοι ἐδόκει εὐσχημονέστατα ἡμῖν εἶναι καὶ ἀληθῆ λέγειν, ὅτι ἡμέτερον εἴη ὃ εἰς τὴν ναῦν ἀναλώσαμεν τὴν Λευκαδίαν, σχεδὸν ἑκκαίδεκα μναῖ· τοῦτ' οὖν ἔλαβον, καὶ λαβὼν αὐτός τε ἐχρησάμην καὶ ὑμῖν ταῦτα ἀπέπεμψά. C τὸ δὴ μετὰ τοῦτο περὶ χρημάτων ἄκουε ὡς σοι ἔχει, περί τε τὰ σὰ τὰ Ἀθήνησι καὶ περὶ τὰ ἐμά. ἐγὼ τοῖς σοῖς χρήμασιν, ὥσπερ τότε σοι ἔλεγον, χρήσομαι καθάπερ τοῖς τῶν ἄλλων ἐπιτηδείων, χρῶμαι δὲ ὡς ἂν δύνωμαι ὀλιγίστοις, ὅσα ἀναγκαῖα ἢ δίκαια ἢ εὐσχήμονα ἐμοί τε δοκεῖ καὶ παρ' οὗ ἂν λαμβάνω. ἐμοὶ δὴ τοιοῦτον νῦν ξυμβέβηκεν. εἰσί μοι ἀδελφιδῶν θυγατέρες τῶν ἀποθανουσῶν τότε, ὅτ' ἐγὼ οὐκ ἐστεφανούμην, σὺ δ' ἐκέλευες, D τέτταρες, ἡ μὲν νῦν ἐπίγαμος, ἡ δὲ ὀκταέτις, ἡ δὲ σμικρὸν πρὸς τρισὶν ἔτεσιν, ἡ δὲ οὔπω ἐνιαυσία. ταύτας ἐκδοτέον ἐμοί ἐστι καὶ τοῖς ἐμοῖς ἐπιτηδείοις, αἷς ἂν ἐγὼ ἐπιβιῶ· αἷς δ' ἂν μή, χαιρόντων· καὶ ὧν ἂν γένωνται οἱ πατέρες αὐτῶν ἐμοῦ πλουσιώτεροι, οὐκ ἐκδοτέον· τὰ δὲ νῦν αὐτῶν ἐγὼ εὐπορώτερος, καὶ τὰς μητέρας δὲ αὐτῶν ἐγὼ ἐξέδωκα καὶ μετ' ἄλλων καὶ μετὰ Λίωνος. ἡ μὲν E οὖν Σπευσίππῳ γαμεῖται, ἀδελφῆς οὖσα αὐτῷ θυγάτηρ· δεῖ δὴ ταύτῃ οὐδὲν πλέον ἢ τριάκοντα μνῶν· μέτριαι γὰρ αὗται ἡμῖν προῖκες. ἔτι δὲ ἐὰν ἡ μήτηρ τελευτήσῃ ἡ ἐμή, οὐδὲν αὖ πλείονος ἢ δέκα μνῶν δέοι ἂν εἰς τὴν οἰκοδομίαν τοῦ τάφου. καὶ περὶ ταῦτα τὰ μὲν ἐμὰ ἀναγκαῖα σχεδόν τι ἐν τῷ νῦν ταῦτά ἐστιν· ἐὰν δέ τι ἄλλο γίγνηται ἴδιον ἢ δημόσιον ἀνάλωμα διὰ τὴν παρὰ σὲ ἄφιξιν, ὥσπερ τότε ἔλεγον δεῖ ποιεῖν, ἐμὲ μὲν διαμάχεσθαι, ὅπως

ὡς ολίγιστον γένηται τὸ ἀνάλωμα, ὃ δ' ἂν μὴ δύνωμαι,
362 σὴν εἶναι τὴν δαπάνην.

Τὸ δὴ μετὰ ταῦτα λέγω περὶ τῶν σῶν αὖ χρημάτων τῶν Ἀθήνησι τῆς ἀναλώσεως, ὅτι πρῶτον μὲν ἐάν τι δέῃ ἐμὲ ἀναλίσκειν εἰς χορηγίαν ἤ τι τοιοῦτον, οὐκ ἔστι σοι ξένος οὐδεὶς ὅστις δώσει, ὡς φόμεθα, ἐπεὶ καὶ ἄν τι σοὶ αὐτῷ διαφέρῃ μέγα, ὥστε ἀναλωθὲν μὲν ἤδη ὀνῆσαι, μὴ ἀναλωθὲν δὲ ἀλλ' ἐγχρονισθέν, ἕως ἄν τις παρὰ σοῦ ἔλθῃ, βλάψαι, πρὸς τῷ χαλεπῷ τὸ τοιοῦτόν σοί ἐστι καὶ
B αἰσχρόν. ἐγὼ γὰρ δὴ ταῦτά γε ἐξήτασα, παρ' Ἀνδρομήδη τὸν Αἰγινήτην πέμψας Ἔραστον, παρ' οὗ ἐκέλευες τοῦ ὑμετέρου ξένου, εἴ τι δεοίμην, λαμβάνειν, βουλόμενος καὶ ἄλλα μείζονα ἃ ἐπέστελλες πέμπειν. ὁ δὲ εἶπεν εἰκότα καὶ ἀνθρώπινα, ὅτι καὶ πρότερον ἀναλώσας τῷ πατρί σου μόλις κομίσαιτο, καὶ νῦν σμικρὰ μὲν δοίη ἄν, πλείω δὲ οὔ. οὕτω δὴ παρὰ Λεπτίνου ἔλαβον· καὶ τοῦτό γε ἄξιον ἐπαινέσαι Λεπτίνην, οὐχ ὅτι ἔδωκεν, ἀλλ' ὅτι προ-
C θύμως, καὶ τὰ ἄλλα περὶ σὲ καὶ λέγων καὶ πράττων, ὅ τι οἷός τ' ἦν ἐπιτήδειος, φανερὸς ἦν. χρὴ γὰρ δὴ καὶ τὰ τοιαῦτα καὶ τἀναντία τούτων ἐμὲ ἀπαγγέλλειν, ὁποῖός τις ἂν ἕκαστος ἐμοὶ φαίνηται περὶ σέ. τὸ δ' οὖν περὶ τῶν χρημάτων ἐγώ σοι παρρησιάσομαι· δίκαιον γάρ, καὶ ἅμα ἐμπείρως ἔχων τῶν παρὰ σοὶ λέγοιμ' ἄν. οἱ προσαγγέλ-
λοντες ἑκάστοτέ σοι, ὅ τι ἂν οἴωνται ἀνάλωμα εἰσαγγέλ-
λειν, οὐκ ἐθέλουσι προσαγγέλλειν, ὡς δὴ ἀπεχθησόμενοι·
D ἔθιζε οὖν αὐτοὺς καὶ ἀνάγκαζε φράζειν καὶ ταῦτα καὶ τὰ ἄλλα· σὲ γὰρ δεῖ εἰδέναι τε τὰ πάντα κατὰ δύναμιν καὶ κριτὴν εἶναι καὶ μὴ φεύγειν τὸ εἰδέναι. πάντων γὰρ ἄριστόν σοι ἔσται πρὸς τὴν ἀρχήν· τὰ γὰρ ἀναλώματα ὀρθῶς ἀναλισκόμενα καὶ ὀρθῶς ἀποδιδόμενα πρός τε τἆλλα καὶ πρὸς αὐτὴν τὴν τῶν χρημάτων κτῆσιν καὶ σὺ δὴ φῂς ἀγαθὸν εἶναι καὶ φήσεις. μὴ οὖν σε διαβαλλόν-

των πρὸς τοὺς ἀνθρώπους οἱ κήδεσθαί σου φάσκοντες· τοῦτο γὰρ οὔτε ἀγαθὸν οὔτε καλὸν πρὸς δόξαν σοι δοκεῖ ξύμβολον εἶναι. E

Τὰ μετὰ ταῦτα περὶ Δίωνος λέγοιμ' ἄν. τὰ μὲν οὖν ἄλλ' οὔπω ἔχω λέγειν, πρὶν ἂν παρὰ σοῦ ἔλθωσιν αἱ ἐπιστολαί, ὥσπερ ἔφης· περὶ μέντοι ἐκείνων, ὧν οὐκ εἴας μεμνῆσθαι πρὸς αὐτόν, οὔτε ἐμνήσθην οὔτε διελέχθην, ἐξεπειρώμην δέ, εἴτε χαλεπῶς εἴτε ῥᾳδίως οἴσει γιγνομένων, καί μοι ἐδόκει οὐκ ἠρέμα ἂν ἄχθεσθαι εἰ γίγνοιτο. τὰ δὲ ἄλλα περὶ σὲ καὶ λόγῳ καὶ ἔργῳ μέτριός μοι δοκεῖ εἶναι Δίων.

Κρατίνῳ τῷ Τιμοθέου μὲν ἀδελφῷ, ἐμῷ δ' ἑταίρῳ, 363
θώρακα δωρησώμεθα ὁπλιτικὸν τῶν μάλα καλῶν τῶν πεζῶν, καὶ ταῖς Κέβητος θυγατράσι χιτώνια τρία ἑπταπήχη, μὴ τῶν πολυτελῶν τῶν Ἀμοργίνων, ἀλλὰ τῶν Σικελικῶν τῶν λινῶν. ἐπιεικῶς δὲ γιγνώσκεις τοὔνομα Κέβητος· γεγραμμένος γάρ ἐστιν ἐν τοῖς Σωκρατείοις λόγοις μετὰ Σιμμίου Σωκράτει διαλεγόμενος ἐν τῷ περὶ ψυχῆς λόγῳ, ἀνὴρ πᾶσιν ἡμῖν οἰκεῖός τε καὶ εὔνους.

Περὶ δὲ δὴ τοῦ ξυμβόλου τοῦ περὶ τὰς ἐπιστολάς, B
ὅσας τε ἂν ἐπιστέλλω σπουδῇ καὶ ὅσας ἂν μή, οἶμαι μέν σε μεμνῆσθαι, ὅμως δ' ἐννόει καὶ πάνυ πρόσεχε τὸν νοῦν· πολλοὶ γὰρ οἱ κελεύοντες γράφειν, οὓς οὐ ῥᾴδιον φανερῶς διωθεῖσθαι. τῆς μὲν γὰρ σπουδαίας ἐπιστολῆς θεὸς ἄρχει, θεοὶ δὲ τῆς ἧττον.

Οἱ πρέσβεις καὶ ἐδέοντο ἐπιστέλλειν σοι, καὶ εἰκός· πάνυ γὰρ προθύμως σὲ πανταχοῦ καὶ ἐμὲ ἐγκωμιάζουσι, καὶ οὐχ ἥκιστα Φίλαγρος, ὃς τότε τὴν χεῖρα ἠσθένει. καὶ Φιλαίδης ὁ παρὰ βασιλέως ἥκων τοῦ μεγάλου ἔλεγε περὶ C
σοῦ· εἰ δὲ μὴ πάνυ μακρᾶς ἐπιστολῆς ἦν, ἔγραψα ἂν ἃ ἔλεγε, νῦν δὲ Λεπτίνου πυνθάνου.

Ἂν τὸν θώρακα ἢ ἄλλο τι ὧν ἐπιστέλλω πέμπῃς, ἄν

ὈΡΟΙ.

St. III. p. 414

Ἀΐδιον τὸ κατὰ πάντα χρόνον καὶ πρότερον ὂν καὶ νῦν μὴ ἐφθαρμένον.

Θεὸς ζῶον ἀθάνατον, αὐτάρκες πρὸς εὐδαιμονίαν· οὐσία ἀΐδιος, τῆς τἀγαθοῦ φύσεως αἰτία.

Γένεσις κίνησις εἰς οὐσίαν· μετάληψις οὐσίας· πόρευσις εἰς τὸ εἶναι.

Ἥλιος πῦρ οὐράνιον, ὃ μόνον ἀπ' ἠοῦς μέχρι δείλης τοῖς αὐτοῖς ἔστιν ὁραθῆναι· ἄστρον ἡμεροφανές· ζῶον ἀΐδιον, ἔμψυχον τὸ μέγιστον.

B Χρόνος ἡλίου κίνησις, μέτρον φορᾶς.

Ἡμέρα ἡλίου πορεία ἀπ' ἀνατολῶν ἐπὶ δυσμάς· φῶς τοὐναντίον νυκτί.

Ἕως ἡμέρας ἀρχή· τὸ πρῶτον φῶς ἀπὸ τοῦ ἡλίου.

Μεσημβρία χρόνος, ἐν ᾧ τῶν σωμάτων αἱ σκιαὶ ἐλαχίστου μήκους κοινωνοῦσιν.

Δείλη ἡμέρας τελευτή.

Νὺξ σκότος τοὐναντίον ἡμέρᾳ· ἡλίου στέρησις.

Τύχη φορὰ ἐξ ἀδήλου εἰς ἄδηλον, καὶ ἡ ἐκ τοῦ αὐτομάτου αἰτία δαιμονίας πράξεως.

C Γῆρας φθίσις ἐμψύχου ὑπὸ χρόνου γιγνομένη.

Πνεῦμα κίνησις ἀέρος περὶ τὴν γῆν.

Ἀὴρ στοιχεῖον, οὗ πᾶσαι αἱ κατὰ τόπον κινήσεις κατὰ φύσιν εἰσίν.

Οὐρανὸς σῶμα περιέχον πάντα τὰ αἰσθητὰ πλὴν αὐτοῦ τοῦ ἀνωτάτω ἀέρος.

Ψυχὴ τὸ αὐτὸ ἑαυτὸ κινοῦν· αἰτία κινήσεως ζωτικῆς ζώων.

Δύναμις τὸ καθ' αὑτὸ ποιητικόν.

Ὄψις ἕξις διακριτικὴ σωμάτων.

Ὀστοῦν μυελὸς ὑπὸ θερμοῦ παγείς.

Στοιχεῖον τὸ συνάγον καὶ διαλύον τὰ σύνθετα.

Ἀρετὴ διάθεσις ἡ βελτίστη· ἕξις θνητοῦ ζώου καθ' αὑτὴν ἐπαινετή· ἕξις, καθ' ἣν τὸ ἔχον ἀγαθὸν λέγεται· D *κοινωνία νόμων δικαία· διάθεσις, καθ' ἣν τὸ [ἔχον] διακείμενον τελείως σπουδαῖον λέγεται· ἕξις ποιητικὴ εὐνομίας.*

Φρόνησις δύναμις ποιητικὴ καθ' αὑτὴν τῆς ἀνθρώπου εὐδαιμονίας· ἐπιστήμη ἀγαθῶν καὶ κακῶν· ἐπιστήμη ποιητικὴ εὐδαιμονίας· διάθεσις, καθ' ἣν κρίνομεν, τί πρακτέον καὶ τί οὐ πρακτέον.

Δικαιοσύνη ὁμόνοια τῆς ψυχῆς πρὸς αὑτήν, καὶ εὐταξία τῶν τῆς ψυχῆς μερῶν πρὸς ἄλληλά τε καὶ περὶ ἄλληλα· ἕξις διανεμητικὴ τοῦ κατ' ἀξίαν ἑκάστῳ· ἕξις, καθ' E *ἣν ὁ ἔχων προαιρετικός ἐστι τῶν φαινομένων αὐτῷ δικαίων· ἕξις ἐν βίῳ νόμου ὑπήκοος· ἰσότης κοινωνική· ἕξις ὑπηρετικὴ νόμων.*

Σωφροσύνη μετριότης τῆς ψυχῆς περὶ τὰς ἐν αὐτῇ κατὰ φύσιν γιγνομένας ἐπιθυμίας τε καὶ ἡδονάς· εὐαρμοστία καὶ εὐταξία ψυχῆς πρὸς τὰς κατὰ φύσιν ἡδονὰς καὶ λύπας· συμφωνία ψυχῆς πρὸς τὸ ἄρχειν καὶ ἄρχεσθαι· αὐτοπραγία κατὰ φύσιν· [εὐταξία ψυχῆς λογιστικὴ] ὁμιλία ψυχῆς περὶ καλῶν καὶ αἰσχρῶν· ἕξις, καθ' ἣν ὁ ἔχων αἱ- 412 *ρετικός ἐστι καὶ εὐλαβητικὸς ὧν χρή.*

Ἀνδρεία ἕξις ψυχῆς ἀκίνητος ὑπὸ φόβου· θάρσος πολεμικόν· ἐπιστήμη τῶν κατὰ πόλεμον πραγμάτων· ἐγκράτεια ψυχῆς πρὸς τὰ φοβερὰ καὶ δεινά· τόλμα ὑπηρετικὴ φρονήσεως· εὐθαρσία ἐπὶ θανάτου προσδοκίᾳ· ἕξις δυ-

ὡς ολίγιστον γένηται τὸ ἀνάλωμα, ὃ δ' ἂν μὴ δύνωμαι,
362 σὴν εἶναι τὴν δαπάνην.

Τὸ δὴ μετὰ ταῦτα λέγω περὶ τῶν σῶν αὖ χρημάτων τῶν Ἀθήνησι τῆς ἀναλώσεως, ὅτι πρῶτον μὲν ἐάν τι δέῃ ἐμὲ ἀναλίσκειν εἰς χορηγίαν ἤ τι τοιοῦτον, οὐκ ἔστι σοι ξένος οὐδεὶς ὅστις δώσει, ὡς φόμεθα, ἐπεὶ καὶ ἄν τι σοὶ αὐτῷ διαφέρῃ μέγα, ὥστε ἀναλωθὲν μὲν ἤδη ὀνῆσαι, μὴ ἀναλωθὲν δὲ ἀλλ' ἐγχρονισθέν, ἕως ἄν τις παρὰ σοῦ ἔλθῃ, βλάψαι, πρὸς τῷ χαλεπῷ τὸ τοιοῦτόν σοί ἐστι καὶ
B αἰσχρόν. ἐγὼ γὰρ δὴ ταῦτά γε ἐξήτασα, παρ' Ἀνδρομήδη τὸν Αἰγινήτην πέμψας Ἔραστον, παρ' οὗ ἐκέλευες τοῦ ὑμετέρου ξένου, εἴ τι δεοίμην, λαμβάνειν, βουλόμενος καὶ ἄλλα μείζονα ἃ ἐπέστελλες πέμπειν. ὁ δὲ εἶπεν εἰκότα καὶ ἀνθρώπινα, ὅτι καὶ πρότερον ἀναλώσας τῷ πατρί σου μόλις κομίσαιτο, καὶ νῦν σμικρὰ μὲν δοίη ἄν, πλείω δὲ οὔ. οὕτω δὴ παρὰ Λεπτίνου ἔλαβον· καὶ τοῦτό γε ἄξιον ἐπαινέσαι Λεπτίνην, οὐχ ὅτι ἔδωκεν, ἀλλ' ὅτι προ-
C θύμως, καὶ τὰ ἄλλα περὶ σὲ καὶ λέγων καὶ πράττων, ὅ τι οἷός τ' ἦν ἐπιτήδειος, φανερὸς ἦν. χρὴ γὰρ δὴ καὶ τὰ τοιαῦτα καὶ τἀναντία τούτων ἐμὲ ἀπαγγέλλειν, ὁποῖός τις ἂν ἕκαστος ἐμοὶ φαίνηται περὶ σέ. τὸ δ' οὖν περὶ τῶν χρημάτων ἐγώ σοι παρρησιάσομαι· δίκαιον γάρ, καὶ ἅμα ἐμπείρως ἔχων τῶν παρὰ σοὶ λέγοιμ' ἄν. οἱ προσαγγέλ-
λοντες ἑκάστοτέ σοι, ὅ τι ἂν οἴωνται ἀνάλωμα εἰσαγγέλ-
λειν, οὐκ ἐθέλουσι προσαγγέλλειν, ὡς δὴ ἀπεχθησόμενοι·
D ἔθιζε οὖν αὐτοὺς καὶ ἀνάγκαζε φράζειν καὶ ταῦτα καὶ τὰ ἄλλα· σὲ γὰρ δεῖ εἰδέναι τε τὰ πάντα κατὰ δύναμιν καὶ κριτὴν εἶναι καὶ μὴ φεύγειν τὸ εἰδέναι. πάντων γὰρ ἄριστόν σοι ἔσται πρὸς τὴν ἀρχήν· τὰ γὰρ ἀναλώματα ὀρθῶς ἀναλισκόμενα καὶ ὀρθῶς ἀποδιδόμενα πρός τε τἆλλα καὶ πρὸς αὐτὴν τὴν τῶν χρημάτων κτῆσιν καὶ σὺ δὴ φῂς ἀγαθὸν εἶναι καὶ φήσεις. μὴ οὖν σε διαβαλλόν-

των πρὸς τοὺς ἀνθρώπους οἱ κήδεσθαί σου φάσκοντες· τοῦτο γὰρ οὔτε ἀγαθὸν οὔτε καλὸν πρὸς δόξαν σοι δοκεῖ ξύμβολον εἶναι. E

Τὰ μετὰ ταῦτα περὶ Δίωνος λέγοιμ' ἄν. τὰ μὲν οὖν ἄλλ' οὔπω ἔχω λέγειν, πρὶν ἂν παρὰ σοῦ ἔλθωσιν αἱ ἐπιστολαί, ὥσπερ ἔφης· περὶ μέντοι ἐκείνων, ὧν οὐκ εἴας μεμνῆσθαι πρὸς αὐτόν, οὔτε ἐμνήσθην οὔτε διελέχθην, ἐξεπειρώμην δέ, εἴτε χαλεπῶς εἴτε ῥᾳδίως οἴσει γιγνομένων, καί μοι ἐδόκει οὐκ ἠρέμα ἂν ἄχθεσθαι εἰ γίγνοιτο. τὰ δὲ ἄλλα περὶ σὲ καὶ λόγῳ καὶ ἔργῳ μέτριός μοι δοκεῖ εἶναι Δίων.

Κρατίνῳ τῷ Τιμοθέου μὲν ἀδελφῷ, ἐμῷ δ' ἑταίρῳ, 363
θώρακα δωρησώμεθα ὁπλιτικὸν τῶν μάλα καλῶν τῶν πεζῶν, καὶ ταῖς Κέβητος θυγατράσι χιτώνια τρία ἑπταπήχη, μὴ τῶν πολυτελῶν τῶν Ἀμοργίνων, ἀλλὰ τῶν Σικελικῶν τῶν λινῶν. ἐπιεικῶς δὲ γιγνώσκεις τοὔνομα Κέβητος· γεγραμμένος γάρ ἐστιν ἐν τοῖς Σωκρατείοις λόγοις μετὰ Σιμμίου Σωκράτει διαλεγόμενος ἐν τῷ περὶ ψυχῆς λόγῳ, ἀνὴρ πᾶσιν ἡμῖν οἰκεῖός τε καὶ εὔνους.

Περὶ δὲ δὴ τοῦ ξυμβόλου τοῦ περὶ τὰς ἐπιστολάς, B
ὅσας τε ἂν ἐπιστέλλω σπουδῇ καὶ ὅσας ἂν μή, οἶμαι μέν σε μεμνῆσθαι, ὅμως δ' ἐννόει καὶ πάνυ πρόσεχε τὸν νοῦν· πολλοὶ γὰρ οἱ κελεύοντες γράφειν, οὓς οὐ ῥᾴδιον φανερῶς διωθεῖσθαι. τῆς μὲν γὰρ σπουδαίας ἐπιστολῆς θεὸς ἄρχει, θεοὶ δὲ τῆς ἧττον.

Οἱ πρέσβεις καὶ ἐδέοντο ἐπιστέλλειν σοι, καὶ εἰκός· πάνυ γὰρ προθύμως σὲ πανταχοῦ καὶ ἐμὲ ἐγκωμιάζουσι, καὶ οὐχ ἥκιστα Φίλαγρος, ὃς τότε τὴν χεῖρα ἠσθένει. καὶ Φιλαίδης ὁ παρὰ βασιλέως ἥκων τοῦ μεγάλου ἔλεγε περὶ C
σοῦ· εἰ δὲ μὴ πάνυ μακρᾶς ἐπιστολῆς ἦν, ἔγραψα ἂν ἃ ἔλεγε, νῦν δὲ Λεπτίνου πυνθάνου.

Ἂν τὸν θώρακα ἢ ἄλλο τι ὧν ἐπιστέλλω πέμπῃς, ἄν

ΙΕ'.

Πολλάκις ἀναγγέλλοντος Ἀθηνοδώρου τὴν ὑμετέραν προαίρεσιν, ἐδοκίμαζον γράψας πρὸς ὑμᾶς ἀσπάσασθαί τε καὶ προσαγορεῦσαι καὶ διὰ τὴν πρὸς ἐμὲ συνήθειαν, ἧς φαίνεσθε μνημονεύειν, καὶ διότι περὶ Διονύσιον ὅμοιοι διαμένετε ταῖς εὐνοίαις. ἤθους γὰρ κρίσιν ἀκριβεστέραν οὐδεμίαν ἡγοῦμαι τῆς ἐν φιλίᾳ βεβαιότητος, ἧς ὑμᾶς αἰσθάνομαι καὶ παρὰ τὴν ἡλικίαν ἐπιμελουμένους. ὡς οὖν καὶ διὰ ταῦτα καὶ διὰ τὴν ἄλλην ἐπιείκειαν ὑμῶν, ἣν πυνθάνομαι πολὺ μᾶλλον νῦν ἢ πρώην ἀπερχομένου μου, πειρᾶσθε καὶ τὸν ὑπόλοιπον χρόνον εἶναι τοιοῦτοι, νομίζοντες ἐλευθεριωτάτην ἐπικαρπίαν εἶναι τῆς τοιαύτης διαθέσεως τὴν παρὰ τῶν εὖ ζώντων εὐφημίαν.

ΙΖ.

Γεώργιος, ᾧ τὴν ἐπιστολὴν δέδωκα, τῶν φίλων ἡμῖν ἐστὶ τῶν συνεσχολακότων χρόνον ἤδη πολύν, καὶ τὸ ἦθος, ὡς καὶ ἡμεῖς ὑπολαμβάνομεν, ὥσπερ τις ἄλλος ἐπιεικής· διὸ καὶ τῶν κατὰ φιλοσοφίαν κεκοινωνήκαμεν αὐτῷ. τοῦτον οὖν ἐδόκει μοι καλῶς ἔχειν συστῆσαί σοι· τοὺς γὰρ χρηστοὺς εὖ οἶδα ὅτι βούλει γνωρίζειν, ἄλλως τ' ἐπεὶ καὶ γειτνιᾷ τῇ χώρᾳ. τυγχάνει γὰρ ὢν Κιεριεὺς καὶ μέλλει νῦν οἴκοι ποιεῖσθαι τὴν διατριβήν· ἔσται δὲ σύστασις ἄοχλός σοι καὶ ἄλυπος· εὐλαβής τε γάρ ἐστι πάνυ τῷ τρόπῳ, καὶ προῄρηται ζῆν ἀπραγμόνως. ἀλλὰ γνώριζε τὸν ἄνδρα, καὶ ἐπιμελοῦ ὡς τοιούτου καὶ οὕτως ἔχοντος πρὸς ἡμᾶς. δώσει δέ σοι καὶ τοὺς λόγους οὗτος, οὓς ἀνέγνωμεν.

ΙΗ.

Καλλίμαχος, ὑπὲρ οὗ γέγραφα τὴν ἐπιστολήν, ἔστιν ἡμῖν τῶν συνεσχολακότων· συμβέβηκε δ' αὐτῷ συμπεπτωκέναι τύχῃ τινί, περὶ ἧς εὖ οἶδα ὅτι καὶ σὺ ἀκήκοας. Ἀπῆκται γὰρ ὑπὸ τοῦ Δρομοκλείδου ἔκ τινος φιλονεικίας μειρακιώδους, καὶ ἔστιν ἐν τῷ οἰκήματι χρόνον ἤδη πολύν· ἀξιοῖ δὲ ἡμᾶς δικαίαν ἀξίωσιν καὶ ἣν ἂν φίλος ἀξιώσειεν, βοηθεῖν αὐτῷ. τὴν δὲ βοήθειαν οὔθ' ἡμεῖς ἔχομεν εἰς ἄλλον ἀνενεγκεῖν, ἐκεῖνός τε διαρρήδην λέγει καὶ οἴεται, σοῦ βουληθέντος ῥᾳδίαν εἶναι τὴν σωτηρίαν αὐτῷ, οὔτ' ἀπέχθειαν οὐδεμίαν ἔχουσαν οὔτ' ἔχθραν· οὐδένα γὰρ εἶναι τὸν ἐναντιωθησόμενον. ὁ γὰρ αὖ Δρομοκλείδης ἀεὶ μὲν καὶ ἐν ἅπασιν, ὡς ἐγὼ κρίνω, χρηστός ἐστι καὶ εὐγνώμων, ἀτὰρ δὴ καὶ τὰ πράγματα πάλαι σπουδάζει διαλυθῆναι· καλῶς ἂν οὖν ποιοῖς καὶ ἡμῶν ἕνεκα καὶ αὐτοῦ, ποιησάμενός τινα ἐπιμέλειαν τοῦ ἀνδρός, ὅπως σωθῇ. τὰ γὰρ φιλάνθρωπα εὖ οἶσθ' ὅτι καὶ ἡμεῖς ἄν, εἰ βουλήσοιο, παραινέσαιμεν· ὥστε μὴ καταπροΐεσθαι μηδ' ἄλλῳ παριέναι τὸ συντελεῖν, ἀλλὰ ταῦτά γε ποιεῖν. ἔρρωσο.

ὌΡΟΙ.

St. III. p. 414

Ἀΐδιον τὸ κατὰ πάντα χρόνον καὶ πρότερον ὂν καὶ νῦν μὴ ἐφθαρμένον.

Θεὸς ζῶον ἀθάνατον, αὔταρκες πρὸς εὐδαιμονίαν· οὐσία ἀΐδιος, τῆς ταγαθοῦ φύσεως αἰτία.

Γένεσις κίνησις εἰς οὐσίαν· μετάληψις οὐσίας· πόρευσις εἰς τὸ εἶναι.

Ἥλιος πῦρ οὐράνιον, ὃ μόνον ἀπ' ἠοῦς μέχρι δείλης τοῖς αὐτοῖς ἔστιν ὁραθῆναι· ἄστρον ἡμεροφανές· ζῶον ἀΐδιον, ἔμψυχον τὸ μέγιστον.

B Χρόνος ἡλίου κίνησις, μέτρον φορᾶς.

Ἡμέρα ἡλίου πορεία ἀπ' ἀνατολῶν ἐπὶ δυσμάς· φῶς τοὐναντίον νυκτί.

Ἕως ἡμέρας ἀρχή· τὸ πρῶτον φῶς ἀπὸ τοῦ ἡλίου.

Μεσημβρία χρόνος, ἐν ᾧ τῶν σωμάτων αἱ σκιαὶ ἐλαχίστου μήκους κοινωνοῦσιν.

Δείλη ἡμέρας τελευτή.

Νὺξ σκότος τοὐναντίον ἡμέρᾳ· ἡλίου στέρησις.

Τύχη φορὰ ἐξ ἀδήλου εἰς ἄδηλον, καὶ ἡ ἐκ τοῦ αὐτομάτου αἰτία δαιμονίας πράξεως.

C Γῆρας φθίσις ἐμψύχου ὑπὸ χρόνου γιγνομένη.

Πνεῦμα κίνησις ἀέρος περὶ τὴν γῆν.

Ἀὴρ στοιχεῖον, οὗ πᾶσαι αἱ κατὰ τόπον κινήσεις κατὰ φύσιν εἰσίν.

Οὐρανὸς σῶμα περιέχον πάντα τὰ αἰσθητὰ πλὴν αὐτοῦ τοῦ ἀνωτάτω ἀέρος.

Ψυχὴ τὸ αὐτὸ ἑαυτὸ κινοῦν· αἰτία κινήσεως ζωτικῆς ζώων.

Δύναμις τὸ καθ' αὑτὸ ποιητικόν.

Ὄψις ἕξις διακριτικὴ σωμάτων.

Ὀστοῦν μυελὸς ὑπὸ θερμοῦ παγείς.

Στοιχεῖον τὸ συνάγον καὶ διαλύον τὰ σύνθετα.

Ἀρετὴ διάθεσις ἡ βελτίστη· ἕξις θνητοῦ ζώου καθ' αὐτὴν ἐπαινετή· ἕξις, καθ' ἣν τὸ ἔχον ἀγαθὸν λέγεται· D *κοινωνία νόμων δικαία· διάθεσις, καθ' ἣν τὸ [ἔχον] διακείμενον τελείως σπουδαῖον λέγεται· ἕξις ποιητικὴ εὐνομίας.*

Φρόνησις δύναμις ποιητικὴ καθ' αὑτὴν τῆς ἀνθρώπου εὐδαιμονίας· ἐπιστήμη ἀγαθῶν καὶ κακῶν· ἐπιστήμη ποιητικὴ εὐδαιμονίας· διάθεσις, καθ' ἣν κρίνομεν, τί πρακτέον καὶ τί οὐ πρακτέον.

Δικαιοσύνη ὁμόνοια τῆς ψυχῆς πρὸς αὐτήν, καὶ εὐταξία τῶν τῆς ψυχῆς μερῶν πρὸς ἄλληλά τε καὶ περὶ ἄλληλα· ἕξις διανεμητικὴ τοῦ κατ' ἀξίαν ἑκάστῳ· ἕξις, καθ' E *ἣν ὁ ἔχων προαιρετικός ἐστι τῶν φαινομένων αὐτῷ δικαίων· ἕξις ἐν βίῳ νόμου ὑπήκοος· ἰσότης κοινωνική· ἕξις ὑπηρετικὴ νόμων.*

Σωφροσύνη μετριότης τῆς ψυχῆς περὶ τὰς ἐν αὐτῇ κατὰ φύσιν γιγνομένας ἐπιθυμίας τε καὶ ἡδονάς· εὐαρμοστία καὶ εὐταξία ψυχῆς πρὸς τὰς κατὰ φύσιν ἡδονὰς καὶ λύπας· συμφωνία ψυχῆς πρὸς τὸ ἄρχειν καὶ ἄρχεσθαι· αὐτοπραγία κατὰ φύσιν· [εὐταξία ψυχῆς λογιστικὴ] ὁμιλία ψυχῆς περὶ καλῶν καὶ αἰσχρῶν· ἕξις, καθ' ἣν ὁ ἔχων αἱ- 412 *ρετικός ἐστι καὶ εὐλαβητικὸς ὧν χρή.*

Ἀνδρεία ἕξις ψυχῆς ἀκίνητος ὑπὸ φόβου· θάρσος πολεμικόν· ἐπιστήμη τῶν κατὰ πόλεμον πραγμάτων· ἐγκράτεια ψυχῆς πρὸς τὰ φοβερὰ καὶ δεινά· τόλμα ὑπηρετικὴ φρονήσεως· εὐθαρσία ἐπὶ θανάτου προσδοκίᾳ· ἕξις δια-

φυλακτικὴ λογισμῶν ὀρθῶν ἐν κινδύνοις· ῥώμη πρὸς κίνδυνον ἀντίρροπος· ῥώμη καρτερικὴ πρὸς ἀρετήν· ἠρεμία ψυχῆς περὶ τὰ δεινὰ καὶ θαρσαλέα κατὰ τὸν ὀρθὸν λόγον
B φαινόμενα· σωτηρία δογμάτων ἀδήλων περὶ τὰ ἐεινά· ἐμπειρία πολέμου· ἕξις ἐμμενητικὴ νόμου.

Ἐγκράτεια δύναμις ὑπομενητικὴ λύπης, ἀκολουθούσης τῷ ὀρθῷ λογισμῷ· δύναμις ἀνυπέρβατος τοῦ ὑπολειφθέντος ὀρθῷ λογισμῷ.

Αὐτάρκεια τελειότης κτήσεως ἀγαθῶν· ἕξις, καθ' ἣν οἱ ἔχοντες αὐτοὶ αὑτῶν ἄρχουσιν.

Ἐπιείκεια δικαίων καὶ συμφερόντων ἐλάττωσις· μετριότης ἐν συμβολαίοις· εὐταξία ψυχῆς λογιστικὴ πρὸς τὰ καλὰ καὶ αἰσχρά.

C Καρτερία ὑπομονὴ λύπης ἕνεκα τοῦ καλοῦ· ὑπομονὴ πόνων ἕνεκα τοῦ καλοῦ.

Θάρσος ἀπροσδοκία κακοῦ· ἀνεκπληξία διὰ κακοῦ παρουσίαν.

Ἀλυπία ἕξις, καθ' ἣν ἀνέμπτωτοί ἐσμεν εἰς λύπας.

Φιλοπονία ἕξις ἀποτελεστικὴ οὗ ἂν προέληται· καρτερία ἑκούσιος· ἕξις ἀδιάβλητος πρὸς πόνον.

Αἰδὼς τολμήσεως ὑποχώρησις ἑκουσία δικαίως καὶ πρὸς τὸ βέλτιστον φανέν· καταλαβὴ ἑκουσία τοῦ βελτίστου· εὐλάβεια ὀρθοῦ ψόγου.

D Ἐλευθερία ἡγεμονία βίου· αὐτοκράτεια ἐπὶ παντί· ἐξουσία τοῦ καθ' ἑαυτὸν ἐν βίῳ· ἀφειδία ἐν χρήσει καὶ ἐν κτήσει οὐσίας.

Ἐλευθεριότης ἕξις πρὸς τὸ χρηματίζεσθαι ὡς δεῖ· πρόσθεσις καὶ κτῆσις οὐσίας ὡς χρή.

Πραότης κατάστασις κινήσεως τῆς ὑπ' ὀργῆς· κρᾶσις ψυχῆς σύμμετρος.

Κοσμιότης ὕπειξις ἑκουσία πρὸς τὸ φανὲν βέλτιστον· εὐταξία περὶ κίνησιν σώματος.

Εὐδαιμονία ἀγαθὸν ἐκ πάντων ἀγαθῶν συγκείμε-
νον· δύναμις αὐτάρκης πρὸς τὸ εὖ ζῆν· τελειότης κατ'
ρετήν· ὠφέλεια αὐτάρκης ζώου. E

Μεγαλοπρέπεια ἀξίωσις κατὰ λογισμὸν ὀρθὸν τὸν
μνότατον.

Ἀγχίνοια εὐφυΐα ψυχῆς, καθ' ἣν ὁ ἔχων στοχαστικός
τιν ἑκάστῳ τοῦ δέοντος· ὀξύτης νοῦ.

Χρηστότης ἦθους ἁπλαστία μετ' εὐλογιστίας· ἦθους
τουδαιότης.

Καλοκαγαθία ἕξις προαιρετικὴ τῶν βελτίστων.

Μεγαλοψυχία χρῆσις τοῖς ξυμβαίνουσιν ἀστεία· με-
κλοπρέπεια ψυχῆς μετὰ λόγου.

Φιλανθρωπία ἕξις εὐάγωγος ἦθους πρὸς ἀνθρώπου
λίαν· ἕξις εὐεργετικὴ ἀνθρώπων· χάριτος σχέσις· μνή-
η μετ' εὐεργεσίας.

Εὐσέβεια δικαιοσύνη περὶ θεούς· δύναμις θεραπευ-
κὴ θεῶν ἑκούσιος· περὶ θεῶν τιμῆς ὑπόληψις ὀρθή· ἐπι- 413
ήμη τῆς [περὶ] θεῶν τιμῆς.

Ἀγαθὸν τὸ αὐτοῦ ἕνεκεν.

Ἀφοβία ἕξις, καθ' ἣν ἀνέμπτωτοί ἐσμεν εἰς φόβους.

Ἀπάθεια ἕξις, καθ' ἣν ἀνέμπτωτοί ἐσμεν εἰς πάθη.

Εἰρήνη ἡσυχία περὶ ἔχθρας πολεμικάς.

Ῥαθυμία ῥᾳστώνη ψυχῆς· ἀπάθεια τοῦ θυμοειδοῦς.

Δεινότης διάθεσις, καθ' ἣν ὁ ἔχων στοχαστικός ἐστι
ῦ ἰδίου τέλους.

Φιλία ὁμόνοια ὑπὲρ καλῶν καὶ δικαίων· προαίρεσις
ου τοῦ αὐτοῦ· ὁμοδοξία περὶ προαιρέσεως καὶ πράξεως·
όμονοια περὶ βίου κοινωνίαν μετ' εὐνοίας· κοινωνία τοῦ B
ποιῆσαι καὶ παθεῖν.

Εὐγένεια ἀρετὴ εὐγενοῦς ἦθους· εὐαγωγία ψυχῆς
ὸς λόγους ἢ πράξεις.

Αἵρεσις δοκιμασία ὀρθή.

Εὔνοια αἵρεσις ἀνθρώπῳ πρὸς ἄνθρωπον ἀσπασμῷ.

Οἰκειότης ταὐτοῦ γένους κοινωνία.

Ὁμόνοια κοινωνία τῶν ὄντων ἁπάντων· συμφωνία νοημάτων καὶ ὑπολημμάτων.

Ἀγάπησις ἀπόδεξις παντελής.

Πολιτικὴ ἐπιστήμη καλῶν καὶ συμφερόντων· ἐπιστήμη ποιητικὴ δικαιοσύνης ἐν πόλει.

C Ἑταιρεία φιλία κατὰ συνήθειαν ἐν τοῖς καθ' ἡλικίαν γεγενημένοις.

Εὐβουλία ἀρετὴ λογισμοῦ σύμφυτος.

Πίστις ὑπόληψις ὀρθὴ τοῦ οὕτως ἔχειν, ὡς αὐτῷ φαίνεται· βεβαιότης ἤθους.

Ἀλήθεια ἕξις ἐν καταφάσει καὶ ἀποφάσει· ἐπιστήμη ἀληθῶν.

Βούλησις ἔφεσις μετὰ λόγου ὀρθοῦ· ὄρεξις εὔλογος· ὄρεξις μετὰ λόγου κατὰ φύσιν.

Συμβούλευσις παραίνεσις ἑτέρῳ πρὸ πράξεως, τίνα δεῖ τρόπον πράττειν.

Εὐκαιρία χρόνου ἐπίτευξις, ἐν ᾧ χρὴ παθεῖν τι ἢ ποιῆσαι.

D Εὐλάβεια φυλακὴ κακοῦ· ἐπιμέλεια φυλακῆς.

Τάξις ἐργασία ὁμοιότητος τῶν πρὸς ἄλληλα πάντων ὄντων· συμμετρία κοινωνίας αἰτία τῶν πρὸς ἄλληλα [πάντων ὄντων· συμμετρία πρὸς τὸ μαθεῖν].

Πρόσεξις συντονία ψυχῆς πρὸς τὸ καταμαθεῖν.

Εὐφυΐα τάχος μαθήσεως· γέννησις φύσεως ἀγαθή· ἀρετὴ ἐν φύσει.

Εὐμάθεια εὐφυΐα ψυχῆς πρὸς τάχος μαθήσεως.

Δίκη ἀπόφασις κυρία περὶ ἀμφισβητουμένου πράγ[redacted]ος [νόμος] ἀμφισβήτησις περὶ τοῦ ἀδικεῖν ἢ μή.

Εὐνομία πειθαρχία νόμων σπουδαίων.

Εὐφροσύνη ἐπὶ τοῖς τοῦ σώφρονος ἔργοις χαρά.

Τιμὴ δόσις ἀγαθῶν ἐν ταῖς δι' ἀρετὴν πράξεσι διδομένων· ἀξίωμα ἀπ' ἀρετῆς· σχῆμα σεμνότητος· τήρησις ἀξιώματος.

Προθυμία ἐμφανισμὸς προαιρέσεως πρακτικῆς.

Χάρις εὐεργεσία ἑκούσιος· ἀπόδοσις ἀγαθοῦ· ὑπουργία ἐν καιρῷ.

Ὁμόνοια ὁμοδοξία ἀρχόντων καὶ ἀρχομένων, ὡς δεῖ ἄρχειν καὶ ἄρχεσθαι.

Πολιτεία κοινωνία πλήθους ἀνθρώπων αὐτάρκης πρὸς εὐδαιμονίαν· κοινωνία πλήθους ἔννομος.

Πρόνοια παρασκευὴ πρὸς μέλλοντά τινα. 414

Βουλὴ σκέψις περὶ τῶν μελλόντων, πῶς συμφέρει.

Νίκη δύναμις κρατητικὴ περὶ ἀγωνίαν.

Εὐπορία εὐκρίνεια [κρατητικὴ] τοῦ λεγομένου.

Δωρεὰ ἀλλαγὴ χάριτος.

Καιρὸς χρόνου ἀκμὴ πρὸς τὸ συμφέρον· χρόνος ἀγαθοῦ τινὸς συνεργός.

Μνήμη διάθεσις ψυχῆς φυλακτικὴ τῆς ἐν αὐτῇ ὑπαρχούσης ἀληθείας.

Ἔννοια συντονία διανοίας.

Νόησις ἀρχὴ ἐπιστήμης.

Ἁγνεία εὐλάβεια τῶν πρὸς τοὺς θεοὺς ἁμαρτημάτων· τῆς θεοῦ τιμῆς κατὰ φύσιν θεραπεία. B

Μαντεία ἐπιστήμη προδηλωτικὴ πράξεως ἄνευ ἀποδείξεως.

Μαντικὴ ἐπιστήμη θεωρητικὴ τοῦ ὄντος καὶ μέλλοντος ζώῳ θνητῷ.

Σοφία ἐπιστήμη ἀνυπόθετος· ἐπιστήμη τῶν ἀεὶ ὄντων· ἐπιστήμη θεωρητικὴ τῆς τῶν ὄντων αἰτίας.

Φιλοσοφία τῆς τῶν ὄντων ἀεὶ ἐπιστήμης ὄρεξις· ἕξις

Θεωρητικὴ τοῦ ἀληθοῦς, πῶς ἀληθές· ἐπιμέλεια ψυχῆς μετὰ λόγου ὀρθοῦ.

Ἐπιστήμη ὑπόληψις ψυχῆς ἀμετάπτωτος ὑπὸ λόγου·
C δύναμις ὑποληπτική τινος ἢ τινων, ἀμετάπτωτος ὑπὸ λόγου· λόγος ἀληθὴς ἐπὶ διανοίᾳ ἀμετάπτωτος.

Δόξα ὑπόληψις μεταπειστὸς ὑπὸ λόγου· λογιστικὴ φορά· διάνοια ἐμπίπτουσα εἰς ψεῦδος καὶ ἀληθὲς ὑπὸ λόγου.

Αἴσθησις ψυχῆς φορά· νοῦ κίνησις [ψυχῆς] διὰ σώματος· εἰσάγγελσις ὥρας ἀνθρώπων, ἀφ' ἧς γίγνεται ψυχῆς ἄλογος δύναμις γνωριστικὴ διὰ σώματος.

Ἕξις διάθεσις ψυχῆς, καθ' ἣν ποιοί τινες λεγόμεθα.
D Φωνὴ ῥεῦμα διὰ στόματος ἀπὸ διανοίας.

Λόγος φωνὴ ἐγγράμματος, φραστικὴ ἑκάστου τῶν ὄντων· διάλεκτος σύνθετος ἐξ ὀνομάτων καὶ ῥημάτων ἄνευ μέλους.

Ὄνομα διάλεκτος ἀσύνθετος ἑρμηνευτικὴ τοῦ τε κατὰ τῆς οὐσίας κατηγορουμένου καὶ παντὸς τοῦ μὴ καθ' ἑαυτοῦ λεγομένου.

Διάλεκτος φωνὴ ἀνθρώπου ἐγγράμματος· καὶ σημεῖόν τι κοινὸν ἑρμηνευτικὸν ἄνευ μέλους.

Συλλαβὴ ἀνθρωπίνης φωνῆς ἄρθρον ἐγγράμματον.

Ὅρος λόγος ἐκ διαφορᾶς καὶ γένους συγκείμενος.
E Τεκμήριον ἀπόδειξις ἀφανοῦς.

Ἀπόδειξις λόγος συλλογιστικὸς ἀληθής· λόγος ἐμφανιστικὸς διὰ προγινωσκομένων.

Στοιχεῖον φωνῆς φωνὴ ἀσύνθετος· αἰτία ταῖς ἄλλαις φωναῖς τοῦ φωνὰς εἶναι.

Ὠφέλιμον τὸ αἴτιον τοῦ εὖ πάσχειν· τὸ αἴτιον τοῦ ἀγαθοῦ.

Συμφέρον τὸ εἰς ἀγαθὸν φέρον.

Καλὸν τὸ ἀγαθόν.

Ἀγαθὸν τὸ αἴτιον σωτηρίας τοῖς οὖσι· τὸ αἴτιον παντὸς τοῦ πρὸς αὐτό· ἀφ' οὗ συμβαίνει ἃ χρὴ αἱρεῖσθαι.

Σῶφρον τὸ κόσμιον τῆς ψυχῆς.

Δίκαιον νόμου τάγμα ποιητικὸν δικαιοσύνης.

Ἑκούσιον τὸ αὐτοῦ προσαγωγόν· τὸ καθ' αὑτὸ αἱρε- 415
τόν· τὸ κατὰ διάνοιαν ἀποτελούμενον.

Ἐλεύθερον τὸ ἄρχον αὑτοῦ.

Μέτριον τὸ μέσον ὑπερβολῆς καὶ ἐλλείψεως καὶ κατὰ τέχνην ἀρκοῦν.

Μέτρον μέσον ὑπερβολῆς καὶ ἐλλείψεως.

Ἄθλον ἀρετῆς γέρας [τὸ ἑαυτοῦ ἕνεκα αἱρετόν.]

Ἀθανασία οὐσία ἔμψυχος καὶ ἀΐδιος μονή.

Ὅσιον θεράπευμα θεοῦ· ἀρεστὸν θεῷ.

Ἑορτὴ χρόνος ἱερὸς κατὰ νόμους.

Ἄνθρωπος ζῶον ἄπτερον, δίπουν, πλατυώνυχον· ὃ μόνον τῶν ὄντων ἐπιστήμης τῆς κατὰ λόγους δεκτικόν ἐστιν.

Θυσία θεῷ δόμα θύματος. B

Εὐχὴ αἴτησις ἀνθρώποις ἀγαθῶν ἢ δοκούντων παρὰ θεοῖς.

Βασιλεὺς ἄρχων κατὰ νόμους ἀνυπεύθυνος· πολιτικῆς κατασκευῆς ἄρχων.

Ἀρχὴ ἐπιμέλεια τοῦ παντός.

Ἐξουσία ἐπιτροπὴ νόμου.

Νομοθέτης ποιητὴς νόμων, καθ' οὓς δεῖ πολιτεύεσθαι.

Νόμος δόγμα πλήθους πολιτικὸν οὐκ εἴς τινα χρόνον ἀφωρισμένον.

Ὑπόθεσις ἀρχὴ ἀναπόδεικτος· συγκεφαλαίωσις λόγου.

Ψήφισμα δόγμα πολιτικὸν εἴς τινα χρόνον ἀφωρισμένον.

C Πολιτικὸς ἐπιστήμων πόλεως κατασκευῆς.

Πόλις οἴκησις πλήθους ἀνθρώπων κοινοῖς δόγμασι χρωμένων· πλῆθος ἀνθρώπων ὑπὸ νόμον τὸν αὐτὸν ὄντων.

Πόλεως ἀρετὴ κατάστασις ὀρθῆς πολιτείας.

Πολεμικὴ ἐμπειρία πολέμου.

Συμμαχία κοινωνία πολέμου.

Σωτηρία περιποίησις ἀβλαβής.

Τύραννος ἄρχων πόλεως κατὰ τὴν ἑαυτοῦ διάνοιαν.

Σοφιστὴς νέων πλουσίων ἐνδόξων ἔμμισθος θηρευτής.

D Πλοῦτος κτῆσις σύμμετρος πρὸς εὐδαιμονίαν· περιουσία χρημάτων εἰς εὐδαιμονίαν συντεινόντων.

Παρακαταθήκη δόμα μετὰ πίστεως.

Κάθαρσις ἀπόκρισις χειρόνων ἀπὸ βελτιόνων.

Νικᾶν κρατεῖν διαφερόμενον.

Ἀγαθὸς ἄνθρωπος ὁ τοιοῦτος οἷος ἀνθρώπῳ τἀγαθὰ ἐπιτελεῖν.

Σώφρων ὁ μετρίας ἐπιθυμίας ἔχων.

Ἐγκρατὴς ὁ κρατῶν ἀντιτεινόντων τῶν τῆς ψυχῆς μορίων τῷ ὀρθῷ λογισμῷ.

Σπουδαῖος ὁ τελέως ἀγαθός· ὁ ἔχων τὴν αὐτοῦ ἀρετήν.

Σύννοια διάνοια μετὰ λύπης ἄνευ λόγου.

E Δυσμάθεια βραδυτὴς ἐν μαθήσει.

Δεσποτεία ἀρχὴ ἀνυπεύθυνος δικαία.

Ἀφιλοσοφία ἕξις, καθ' ἣν ὁ ἔχων μισόλογος ἐστίν.

Φόβος ἔκπληξις ψυχῆς ἐπὶ κακοῦ προσδοκίᾳ.

Θυμὸς ὁρμὴ βίαιος ἄνευ λογισμοῦ· νόσος τάξεως ψυχῆς ἀλογίστου.

Ἔκπληξις φόβος ἐπὶ προσδοκίᾳ κακοῦ.

Κολακεία ὁμιλία ἡ πρὸς ἡδονὴν ἄνευ τοῦ βελτίστου· ἕξις ὁμιλητικὴ πρὸς ἡδονὴν ὑπερβάλλουσα τὸ μέτριον.

Ὀργὴ παράκλησις τοῦ θυμικοῦ εἰς τὸ τιμωρεῖσθαι.

Ὕβρις ἀδικία πρὸς ἀτιμίαν φέρουσα. 416

Ἀκρασία ἕξις βιαστικὴ παρὰ τὸν ὀρθὸν λογισμὸν πρὸς τὰ δοκοῦντα ἡδέα εἶναι.

Ὄκνος φυγὴ πόνων ἀρχῆς· δειλία ἀντιληπτικὴ ὁρμῆς [πρώτη τοῦ εἶναι αἰτία].

Διαβολὴ διάστασις φίλων λόγῳ.

Καιρὸς ἐν ᾧ ἕκαστον ἐπιτήδειον παθεῖν ἢ ποιῆσαι.

Ἀδικία ἕξις ὑπεροπτικὴ νόμων.

Ἔνδεια ἐλάττωσις τῶν ἀγαθῶν.

Αἰσχύνη φόβος ἐπὶ προσδοκίᾳ ἀδοξίας.

Ἀλαζονεία ἕξις προσποιητικὴ ἀγαθοῦ ἢ ἀγαθῶν τῶν μὴ ὑπαρχόντων.

Ἁμαρτία πρᾶξις παρὰ τὸν ὀρθὸν λογισμόν.

Φθόνος λύπη ἐπὶ φίλων ἀγαθοῖς ἢ οὖσιν ἢ γεγενημένοις.

Ἀναισχυντία ἕξις ψυχῆς ὑπομενητικὴ ἀδοξίας ἕνεκα κέρδους.

Θρασύτης ὑπερβολὴ θράσους πρὸς φόβους οὓς μὴ δεῖ.

Φιλοτιμία ἕξις ψυχῆς προετικὴ πάσης δαπάνης ἄνευ λογισμοῦ.

Κακοφυΐα κακία ἐν φύσει καὶ ἁμαρτία τοῦ κατὰ φύσιν· νόσος τοῦ κατὰ φύσιν.

Ἐλπὶς προσδοκία ἀγαθοῦ.

Μανία ἕξις φθαρτικὴ ἀληθοῦς ὑπολήψεως.

Λαλιὰ ἀκρασία λόγου [ἄλογος].

Ἐναντιότης τῶν ὑπὸ τὸ αὐτὸ γένος κατά τινα διαφορὰν πιπτόντων ἡ πλείστη διάστασις.

Ἀκούσιον τὸ παρὰ διάνοιαν ἀποτελούμενον.

Παιδεία δύναμις θεραπευτικὴ ψυχῆς.

Παίδευσις παιδείας παράδοσις.

Νομοθετικὴ ἐπιστήμη ποιητικὴ πόλεως ἀγαθῆς.

Νουθέτησις λόγος ἐπιτιμητικὸς ἀπὸ γνώμης· λόγος ἁμαρτίας ἀποτροπῆς ἕνεκεν.

Βοήθεια κακοῦ κώλυσις ὄντος ἢ γινομένου.

Κόλασις ψυχῆς θεραπεία ἐπὶ ἁμαρτήματι γενομένῳ.

Δύναμις ὑπεροχὴ ἐν πράξει ἢ ἐν λόγῳ· ἕξις καθ' ἣν τὸ ἔχον δυνατόν ἐστιν· ἰσχὺς κατὰ φύσιν.

Σώζειν τὸ περιποιεῖν ἀβλαβῆ.

ΠΕΡΙ ΔΙΚΑΙΟΥ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΕΤΑΙΡΟΣ.

St. III. p.

I. Ἔχεις ἡμῖν εἰπεῖν, ὅ τί ἐστι τὸ δίκαιον; ἢ οὐκ ἄξιόν 372
σοι δοκεῖ εἶναι λόγον περὶ αὐτοῦ ποιεῖσθαι; Ἔμοιγε καὶ μάλα. Τί οὖν ἔστιν; Τί γὰρ ἄλλο γε ἢ τὰ νομιζόμενα δίκαια; Μή μοι οὕτως, ἀλλ' ὥσπερ ἂν εἰ σύ μ' ἤροιο, τί ἔστιν ὀφθαλμός, εἴποιμ' ἄν σοι ὅτι ᾧ ὁρῶμεν, ἐὰν δὲ καὶ δεῖξαί με κελεύῃς, δείξω σοι· καὶ ἐάν με ἔρῃ, ὅτῳ ψυχὴ ὄνομα, ἑρῶ σοι ᾧ γιγνώσκομεν, ἐὰν δὲ ἔρῃ αὖ, τί ἐστι φωνή, ἀποκρινοῦμαί σοι ᾧ διαλεγόμεθα· καὶ σὺ οὕτω φράσον, ὅτι δίκαιόν ἐστιν ᾧ τί χρώμεθα, ὥσπερ ἃ νῦν δὴ ἠρόμην. Οὐ πάνυ ἔχω σοι οὕτως ἀποκρίνασθαι. Ἀλλ' ἐπειδὴ οὐχ οὕτως ἔχεις, ἴσως τῇδέ πῃ ῥᾷον αὐτὸ εὑροιμεν ἄν. φέρε, τὰ μείζω καὶ τὰ ἐλάττω τίνι σκοποῦντες διαγιγνώσκομεν; ἆρ' οὐ μέτρῳ; Ναί. Μετὰ δὲ τοῦ μέτρου τίνι τέχνῃ; ἆρ' οὐ μετρητικῇ; Μετρητικῇ. Τί δὲ τὰ κοῦφα καὶ βαρέα, ἆρ' οὐ 373
σταθμῷ; Ναί. Μετὰ δὲ τοῦ σταθμοῦ τίνι τέχνῃ; οὐ τῇ στατικῇ; Πάνυ γε. Τί δὲ δή; τὰ δίκαια καὶ τἄδικα τίνι σκοποῦντες διαγιγνώσκομεν ὀργάνῳ, καὶ μετὰ τοῦ ὀργάνου τίνι τέχνῃ πρόσθεν; ἆρα οὐδ' οὕτω πώς σοι καταφανές ἐστιν; Οὔ.

II. Ἀλλὰ πάλιν ὧδε. ὅταν ἀμφισβητῶμεν περὶ τῶν μειζόνων καὶ τῶν ἐλαττόνων, τίνες ἡμᾶς διακρινοῦσιν; οὐχ οἱ μετρηταί; Ναί. Ὅταν δὲ περὶ τῶν πολλῶν καὶ ὀλίγων, τίνες οἱ διακρίνοντες; οὐχ οἱ ἀριθμηταί; Ἀλλὰ τί;

Ὅταν δὲ περὶ τῶν δικαίων καὶ ἀδίκων ἀμφισβητῶμεν ἀλλήλοις, ἐπὶ τίνας ἐρχόμεθα καὶ τίνες ἡμᾶς οἱ διακρίνοντές εἰσιν ἑκάστοτε; εἰπέ. Ἆρά γε δικαστὰς λέγεις, ὦ Σώκρατες; Εὖ γ' εὑρες. ἴθι δὴ καὶ τόδε πειράθητι εἰπεῖν. τί ποιοῦντες διακρινοῦσιν οἱ μετρηταὶ περὶ τῶν μεγάλων καὶ σμικρῶν; ἆρ' οὐ μετροῦντες; Ναί. Τί δὲ περὶ τῶν βαρέων καὶ κούφων; οὐχ ἱστάντες; Ἱστάντες μέντοι. Τί δὲ περὶ τῶν πολλῶν καὶ ὀλίγων; ἆρ' οὐκ ἀριθμοῦντες; Ναί.
C Τί δὲ δὴ περὶ τῶν δικαίων καὶ ἀδίκων ἄρα; ἀπόκριναι. Οὐκ ἔχω. Λέγοντες, φάθι. Ναί. Λέγοντες ἄρα ἡμᾶς διακρίνουσιν, ὅταν περὶ τῶν δικαίων καὶ ἀδίκων κρίνωσιν οἱ δικασταί; Ναί. Μετροῦντες δέ γε περὶ τῶν σμικρῶν καὶ μεγάλων οἱ μετρητικοί· μέτρον γὰρ ἦν ᾧ ταῦτ' ἐκρίνετο.
. Οὕτως. Ἱστάντες δ' αὖ περὶ τῶν βαρέων καὶ κούφων οἱ στατικοί· σταθμὸς γὰρ ἦν ᾧ ταῦτ' ἐκρίνετο. Ἦν γάρ. Ἀριθμοῦντες δ' αὖ περὶ τῶν πολλῶν καὶ ὀλίγων οἱ ἀριθμη-
D τικοί· ἀριθμὸς γὰρ ἦν ᾧ ταῦτ' ἐκρίνετο. Οὕτως.

III. Λέγοντες δέ γε; ὡς ἄρτι ὡμολογήσαμεν, περὶ τῶν δικαίων καὶ ἀδίκων κρίνουσιν ἡμᾶς οἱ δικασταί· λόγος γὰρ ἦν ᾧ ταῦτ' ἐκρίνετο. Εὖ λέγεις, ὦ Σώκρατες. Ἀληθῆ μὲν οὖν· καὶ λόγος ἐστίν, ὡς ἔοικεν, ᾧ τὰ δίκαια καὶ ἄδικα κρίνεται. Φαίνεται γοῦν. Τί ποτε ὄντα τὰ δίκαια καὶ τἄδικα; ὥσπερ ἂν ἡμᾶς εἴ τις ἤρετο, ἐπειδὴ μέτρον καὶ μετρητικὴ καὶ μετρητικὸς τὸ μεῖζον καὶ τὸ ἔλαττον διαE κρίνει, τί ὂν τὸ μεῖζον καὶ τὸ ἔλαττον; εἴποιμεν ἂν αὐτῷ, ὅτι τὸ μὲν μεῖζον ὑπερέχον, τὸ δὲ ἔλαττον ὑπερεχόμενον. ἐπειδὴ δὲ τὸ βαρὺ καὶ τὸ κοῦφον σταθμὸς καὶ στατικὴ καὶ στατικὸς διακρίνει, τί ὂν τό τε βαρὺ καὶ τὸ κοῦφον; εἴποιμεν ἂν αὐτῷ, ὅτι τὸ μὲν κάτω ῥέπον ἐν τοῖς ζυγοῖς βαρύ, τὸ δὲ ἄνω κοῦφον. οὕτω δὴ εἰ καὶ ἔροιτο ἡμᾶς, ἐπειδὴ δὲ τὸ δίκαιον καὶ τὸ ἄδικον λόγος τε καὶ δικαστικὴ καὶ δικαστής ἐστιν ἡμῖν ὁ διακρίνων, τί ποτε ὂν τὸ δίκαιον καὶ.

τἄδικον; τί ἔχομεν αὐτῷ ἀποκρίνεσθαι; ἢ οὐδέπω ἔχομεν
εἰπεῖν; Οὐκ ἔχομεν. Πότερον δὲ ἑκόντας οἴει ἔχειν τοῦτο 374
τὸ ἄδικον τοὺς ἀνθρώπους ἢ ἄκοντας; ὧδε δὲ λέγω, ἑκόν-
τας οἴει ἀδικεῖν καὶ ἀδίκους εἶναι ἢ ἄκοντας; Ἑκόντας
ἔγωγε, ὦ Σώκρατες· πονηροὶ γάρ εἰσιν. Ἑκόντας ἄρα σὺ
οἴει πονηροὺς εἶναι καὶ ἀδίκους ἀνθρώπους; Ἔγωγε· σὺ
δ' οὔ; Οὔκ, εἴ γέ τι δεῖ τῷ ποιητῇ πείθεσθαι. Ποίῳ ποιη-
τῇ; Ὅστις εἶπεν

οὐδεὶς ἑκὼν πονηρὸς οὐδ' ἄκων μάκαρ.

Ἀλλά τοι, ὦ Σώκρατες, εὖ ἡ παλαιὰ παροιμία ἔχει, ὅτι
πολλὰ ψεύδονται ἀοιδοί.

IV. Θαυμάζοιμ' ἄν, εἰ τοῦτό γε ἐψεύσατο οὗτος ἀοι- B
δός· ἐπεὶ εἴ σοι σχολή ἐστιν, ἐπισκεψώμεθα αὐτόν, εἴτε
ψευδῆ εἴτε ἀληθῆ λέγει. Ἀλλὰ σχολή. Φέρε δή, πότερον
ἡγεῖ δίκαιον εἶναι, ψεύδεσθαι ἢ ἀληθῆ λέγειν; Ἀληθῆ
ἔγωγε. Ψεύδεσθαι ἄρα ἄδικον; Ναί. Πότερον δὲ ἐξαπα-
τᾶν ἢ μὴ ἐξαπατᾶν; Μὴ ἐξαπατᾶν δή που. Ἐξαπατᾶν ἄρα
ἄδικον; Ναί. Τί δέ; βλάπτειν δίκαιον ἢ ὠφελεῖν; Ὠφε-
λεῖν. Βλάπτειν ἄρα ἄδικον; Ναί. Ἔστιν ἄρα ἀληθῆ μὲν C
λέγειν καὶ μὴ ἐξαπατᾶν καὶ ὠφελεῖν δίκαιον, ψεύδεσθαι
δὲ καὶ βλάπτειν καὶ ἐξαπατᾶν ἄδικον. Ναὶ μὰ Δία, σφό-
δρα γε.

V. Ἦ καὶ τοὺς πολεμίους; Οὐδαμῶς. Ἀλλὰ βλάπτειν
δίκαιον τοὺς πολεμίους, ὠφελεῖν δὲ ἄδικον; Ναί. Οὐκοῦν
καὶ ἐξαπατῶντας δίκαιον βλάπτειν τοὺς πολεμίους; Πῶς
γὰρ οὔ; Τί δέ; ψεύδεσθαι, ἵνα ἐξαπατῶμεν καὶ βλάπτωμεν
αὐτούς, οὐ δίκαιον; Ναί. Τί δέ; τοὺς φίλους οὐκ ὠφελεῖν
φῂς δίκαιον εἶναι; Ἔγωγε. Πότερον μὴ ἐξαπατῶντας ἢ D
ἐξαπατῶντας ἐπ' ὠφελείᾳ τῇ ἐκείνων; Καὶ ἐξαπατῶντας
νὴ Δία. Ἀλλ' ἐξαπατῶντας μὲν δίκαιον ἄρα ὠφελεῖν, οὐ
μέντοι ψευδομένους γε· ἢ καὶ ψευδομένους; Καὶ ψευδο-
μένους δίκαιον. Ἔστιν ἄρα, ὡς ἔοικε, ψεύδεσθαί τε καὶ

ἀληθῆ λέγειν δίκαιον καὶ ἄδικον. Ναί. Καὶ μὴ ἐξαπατᾶν καὶ ἐξαπατᾶν δίκαιον καὶ ἄδικον. Ἔοικεν. Καὶ βλάπτειν καὶ ὠφελεῖν δίκαιον καὶ ἄδικον; Ναί.

E VI. Ταὐτὰ δή, ὡς ἔοικε, πάντα τὰ τοιαῦτα ὄντα καὶ δίκαια καὶ ἄδικά ἐστιν. Ἔμοιγε φαίνεται. Ἄκουε δή. ὀφθαλμὸν ἐγὼ ἔχω δεξιὸν καὶ ἀριστερόν, ὥσπερ καὶ οἱ ἄλλοι ἄνθρωποι; Ναί. Μυκτῆρα δεξιὸν καὶ ἀριστερόν; Πάνυ γε. Καὶ χεῖρα δεξιὰν καὶ ἀριστεράν; Ναί. Οὐκοῦν ἐπειδὴ τὰ αὐτὰ ὀνομάζων τὰ μὲν δεξιὰ φῂς εἶναι, τὰ δὲ ἀριστερὰ τῶν ἐμῶν, εἴ σε ἐγὼ ἐροίμην ὁπότερα, ἆρ' ἂν ἔχοις εἰπεῖν, ὅτι τὰ μὲν πρὸς τοῦ δεξιά ἐστι, τὰ δὲ πρὸς τοῦ ἀριστερά; Ναί. Ἴθι δὴ καὶ ἐκεῖ, ἐπειδὴ τὰ αὐτὰ ὀνο-
375 μάζων τὰ μὲν δίκαια φῂς εἶναι, τὰ δὲ ἄδικα, ἔχεις εἰπεῖν ὁπότερα τὰ δίκαια καὶ ὁπότερα τὰ ἄδικα; Ἐμοὶ μὲν τοίνυν δοκεῖ ἐν μὲν τῷ δέοντι καὶ τῷ καιρῷ ἕκαστα τούτων γιγνόμενα δίκαια εἶναι, ἐν δὲ τῷ μὴ δέοντι ἄδικα. Καλῶς γέ σοι δοκοῦν. ὁ μὲν ἄρα ἐν τῷ δέοντι ἕκαστα τούτων ποιῶν δίκαια ποιεῖ, ὁ δὲ μὴ ἐν τῷ δέοντι ἄδικα; Ναί. Οὐκοῦν ὁ μὲν τὰ δίκαια ποιῶν δίκαιος, ὁ δὲ τἀδικα ἄδικος; Ἔστι ταῦτα.

VII. Τίς οὖν [ὁ] ἐν τῷ δέοντι *καὶ τῷ* καιρῷ οἷός τε τέμνειν καὶ καίειν καὶ ἰσχναίνειν; Ὁ ἰατρός. Ὅτι ἐπίστα-
B ται ἢ δι' ἄλλο τι; Ὅτι ἐπίσταται. Τίς δ' ἐν τῷ δέοντι σκάπτειν καὶ ἀροῦν καὶ φυτεύειν οἷός τε; Ὁ γεωργός. Ὅτι ἐπίσταται, ἢ ὅτι οὔ; Ὅτι ἐπίσταται. Οὐκοῦν καὶ τἆλλα οὕτως; ὁ μὲν ἐπιστάμενος οἷός τε τὰ δέοντα ποιεῖν ἐστὶ καὶ ἐν τῷ δέοντι καὶ ἐν τῷ καιρῷ, ὁ δὲ μὴ ἐπιστάμενος οὔ; Οὕτως. Καὶ ψεύδεσθαι ἄρα καὶ ἐξαπατᾶν καὶ ὠφελεῖν, ὁ μὲν ἐπιστάμενος οἷός τε ποιεῖν ἕκαστα τούτων ἐν τῷ δέοντι
C καὶ τῷ καιρῷ, ὁ δὲ μὴ ἐπιστάμενος οὔ; Ἀληθῆ λέγεις. Ὁ δέ γε ταῦτα ποιῶν ἐν τῷ δέοντι δίκαιος; Ναί. Δι' ἐπιστήμην ἄρα δί-

καιος ὁ δίκαιος. Ναί. Οὐκοῦν ὁ ἄδικος διὰ τὸ ἐναντίον ἄδικός ἐστι τῷ δικαίῳ; Φαίνεται. Ὁ δὲ δίκαιος διὰ σοφίαν δίκαιος. Ναί.

VIII. Δι' ἀμαθίαν ἄρα ὁ ἄδικος ἄδικος. Ἔοικεν. Κινδυνεύει ἄρα ὃ μὲν οἱ πρόγονοι ἡμῖν κατέλιπον σοφίαν, δικαιοσύνη εἶναι, ὃ δὲ ἀμαθίαν, τοῦτο δὲ ἀδικία. Ἔοικεν. D Ἑκόντες δὲ ἀμαθεῖς εἰσὶν οἱ ἄνθρωποι ἢ ἄκοντες; Ἄκοντες. Ἄκοντες ἄρα καὶ ἄδικοι; Φαίνεται. Οἱ δὲ ἄδικοι πονηροί; Ναί. Ἄκοντες ἄρα πονηροὶ καὶ ἄδικοι; Παντάπασι μὲν οὖν. Διὰ δὲ τὸ ἄδικοι εἶναι ἀδικοῦσιν; Ναί. Διὰ τὸ ἀκούσιον ἄρα; Πάνυ γε. Οὐ μὲν δὴ διὰ τὸ ἀκούσιόν γε τὸ ἑκούσιον γίγνεται. Οὐ γὰρ οὖν. Διὰ δὲ τὸ ἄδικον εἶναι τὸ ἀδικεῖν γίγνεται. Ναί. Τὸ δὲ ἄδικον ἀκούσιον. Ἀκούσιον. Ἄκοντες ἄρα ἀδικοῦσι καὶ ἄδικοί εἰσι καὶ πονηροί. Ἄκοντες, ὥς γε φαίνεται. Οὐκ ἄρα ἐψεύσατο τοῦτό γε ἀοιδός. Οὐκ ἔοικεν.

ΠΕΡΙ ΑΡΕΤΗΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΕΤΑΙΡΟΣ.

St. III. p. 376

I. Ἆρα διδακτόν ἐστιν ἡ ἀρετή; ἢ οὐ διδακτόν, ἀλλὰ φύσει οἱ ἀγαθοὶ γίγνονται ἄνδρες, ἢ ἄλλῳ τινὶ τρόπῳ; Οὐκ ἔχω εἰπεῖν ἐν τῷ παρόντι, ὦ Σώκρατες. Ἀλλὰ ὧδε σκεψώμεθα αὐτό. φέρε, εἴ τις βούλοιτο ταύτην τὴν ἀρετὴν γενέσθαι ἀγαθός, ἣν ἀγαθοί εἰσιν οἱ σοφοὶ μάγειροι, πόθεν ἂν γένοιτο; Δῆλον ὅτι εἰ παρὰ τῶν ἀγαθῶν μαγείρων μάθοι. Τί δέ; εἰ βούλοιτο ἀγαθὸς γενέσθαι ἰατρός, παρὰ τίνα ἂν ἐλθὼν γένοιτο ἀγαθὸς ἰατρός; Δῆλον δὴ ὅτι παρὰ τῶν ἀγαθῶν τινὰ ἰατρῶν. Εἰ δὲ ταύτην τὴν ἀρετὴν ἀγαθὸς βούλοιτο γενέσθαι, ἥνπερ οἱ σοφοὶ τέκτονες;
B Παρὰ τῶν τεκτόνων. Εἰ δὲ ταύτην τὴν ἀρετὴν βουληθείη ἀγαθὸς γενέσθαι, ἥνπερ οἱ ἄνδρες οἱ ἀγαθοί τε καὶ σοφοί, ποῖ χρὴ ἐλθόντα μαθεῖν; Οἶμαι μὲν καὶ ταύτην, εἴπερ μαθητός ἐστι, παρὰ τῶν ἀνδρῶν τῶν ἀγαθῶν· πόθεν γὰρ ἄλλοθεν; Φέρε δή, τίνες ἡμῖν ἄνδρες ἀγαθοὶ γεγόνασιν; ἵνα σκεψώμεθα, εἰ οὗτοί εἰσιν οἱ τοὺς ἀγαθοὺς ποιοῦντες. Θουκυδίδης καὶ Θεμιστοκλῆς καὶ Ἀριστείδης καὶ Περι-
C κλῆς. Τούτων οὖν ἑκάστου ἔχομεν διδάσκαλον εἰπεῖν; Οὐκ ἔχομεν· οὐ γὰρ λέγεται.

II. Τί δέ; μαθητὴν ἢ τῶν ξένων τινὰ ἢ τῶν πολιτῶν ἢ ἄλλον, ἐλεύθερον ἢ δοῦλον, ὅστις αἰτίαν ἔχει διὰ τὴν τούτων ὁμιλίαν σοφός τε καὶ ἀγαθὸς γεγονέναι; Οὐδὲ

τοῦτο λέγεται. Ἀλλ' ἆρα μὴ ἐφθόνουν μεταδιδόναι τῆς ἀρετῆς τοῖς ἄλλοις ἀνθρώποις; Τάχα. Ἆρα ἵνα μὴ ἀντίτεχνοι αὐτοῖς γίγνοιντο, ὥσπερ οἱ μάγειροί τε καὶ ἰατροὶ D καὶ τέκτονες φθονοῦσιν; οὐ γὰρ λυσιτελεῖ αὐτοῖς πολλοὺς ἀντιτέχνους γίγνεσθαι οὐδὲ οἰκεῖν ἐν πολλοῖς αὐτοῖς ὁμοίοις. ἆρ' οὖν οὕτω καὶ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς οὐ λυσιτελεῖ ἐν ὁμοίοις αὐτοῖς οἰκεῖν; Ἴσως. Εἰσὶ δὲ οἱ αὐτοὶ οὐχὶ ἀγαθοί τε καὶ δίκαιοι; Ναί. Ἔστιν οὖν ὅτῳ λυσιτελεῖ μὴ ἐν ἀγαθοῖς οἰκεῖν ἀνδράσιν ἀλλ' ἐν κακοῖς; Οὐκ ἔχω εἰπεῖν. Ἆρ' οὖν οὐδὲ τοῦτ' ἔχεις εἰπεῖν, πότερον ἔργον ἐστὶ τῶν μὲν ἀγαθῶν βλάπτειν, τῶν δὲ κακῶν ὠφελεῖν, ἢ τοὐναντίον; Τοὐναντίον. Οἱ μὲν ἀγαθοὶ ἄρα ὠφελοῦσιν, οἱ δὲ κακοὶ βλάπτουσιν; Ναί. Ἔστιν οὖν 377 ὅστις βούλεται βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; Οὐ πάνυ.

III. Οὐδεὶς ἄρα βούλεται ἐν πονηροῖς οἰκεῖν μᾶλλον ἢ ἐν χρηστοῖς. Οὕτως. Οὐδεὶς ἄρα φθονεῖ τῶν ἀγαθῶν ἀνδρῶν ἄλλῳ, ὥστε ἀγαθὸν καὶ ὅμοιον ἑαυτῷ ποιῆσαι. Οὔκουν φαίνεταί γε δὴ ἐκ τοῦ λόγου. Ἀκήκοας οὖν ὅτι Θεμιστοκλεῖ Κλεόφαντος υἱὸς ἐγένετο; Ἀκήκοα. Οὐκοῦν δῆλον ὅτι οὐδὲ τῷ υἱεῖ ἐφθόνει ὡς βελτίστῳ γενέσθαι ὁ B Θεμιστοκλῆς, ὅς γε ἄλλῳ οὐδενί, εἴπερ ἦν ἀγαθός; ἦν δέ, ὡς φαμέν. Ναί. Οἶσθα οὖν ὅτι Θεμιστοκλῆς τὸν υἱὸν ἱππέα μὲν ἐδιδάξατο σοφὸν εἶναι καὶ ἀγαθόν· ἐπέμενε γοῦν ἐπὶ τῶν ἵππων ὀρθὸς ἑστηκώς, καὶ ἠκόντιζεν ἀπὸ τῶν ἵππων ὀρθός, καὶ ἄλλα πολλὰ καὶ θαυμάσια εἰργάζετο· καὶ ἄλλα πολλὰ ἐδίδαξε καὶ ἐποίησε σοφόν, ὅσα διδασκάλων ἀγαθῶν εἶχετο. ἢ ταῦτα οὐκ ἀκήκοας τῶν πρεσβυτέρων; Ἀκήκοα.

IV. Οὐκ ἄρα τὴν φύσιν γέ τις τοῦ υἱοῦ αὐτοῦ αἰτιά- C σαιτ' ἂν κακὴν εἶναι. Οὐκ ἄν οὖν δικαίως γε ἐξ ὧν σὺ λέγεις. Τί δαὶ τόδε; ὡς Κλεόφαντος ὁ Θεμιστοκλέους υἱὸς

ἀνὴρ ἀγαθὸς καὶ σοφὸς ἐγένετο ἅπερ ὁ πατὴρ αὐτοῦ ἦν σοφός, ἤδη τοῦτο ἤκουσας ἢ νεωτέρου ἢ πρεσβυτέρου; Οὐκ ἤκουσα. Ἆρ' οὖν ταῦτα μὲν οἰόμεθα βούλεσθαι αὐτὸν τὸν ἑαυτοῦ υἱὸν παιδεῦσαι, ἢν δὲ αὐτὸς σοφίαν ἦν σοφός, μηδὲν βελτίω αὐτὸν ποιῆσαι τῶν γειτόνων μηδε-
D νός, εἴπερ διδακτὸν ἦν ἡ ἀρετή; Οὔκουν εἰκός γε. Οὗτος μὲν δή σοι τοιοῦτος διδάσκαλος ἀρετῆς, ὃν ὑπεῖπες· ἄλλον δὲ δὴ σκεψώμεθα, Ἀριστείδην, ὃς ἔθρεψε μὲν τὸν Λυσίμαχον, ἐπαίδευσε δὲ κάλλιστα Ἀθηναίων, ὅσα διδασκάλων εἴχετο, ἄνδρα δὲ οὐδενὸς βελτίω ἐποίησε· τοῦτον γὰρ καὶ σὺ καὶ ἐγὼ εἴδομεν καὶ συνεγενόμεθα. Ναί.

V. Οἶσθα οὖν, ὅτι Περικλῆς αὖ ἔθρεψεν υἱεῖς Πάραλον καὶ Ξάνθιππον, ὧν καὶ σύ μοι δοκεῖς τοῦ ἑτέρου �εραE σθῆναι. τούτους μέντοι, ὡς καὶ σὺ οἶσθα, ἱππέας μὲν ἐδίδαξεν οὐδενὸς χείρους Ἀθηναίων, καὶ μουσικὴν καὶ τὴν ἄλλην ἀγωνίαν καὶ τἆλλα ἐπαίδευσεν, ὅσα τέχνῃ διδάσκονται, οὐδενὸς χείρους· ἀγαθοὺς δὲ ἄρα ἄνδρας οὐκ ἐβούλετο ποιῆσαι; Ἀλλ' ἴσως ἂν ἐγένοντο, ὦ Σώκρατες, εἰ μὴ νέοι ὄντες ἐτελεύτησαν. Σὺ μὲν εἰκότως βοηθεῖς τοῖς παιδικοῖς, Περικλῆς δὲ ἐκείνους, εἴπερ διδακτὸν ἦν ἀρετὴ καὶ οἷός τ' ἦν ἀγαθοὺς ποιῆσαι, πολὺ πρότερον ἂν τὴν αὑτοῦ ἀρετὴν σοφοὺς ἐποίησεν ἢ μουσικὴν καὶ
378 ἀγωνίαν· ἀλλὰ μὴ οὐκ ᾖ διδακτόν. ἐπεὶ Θουκυδίδης αὖ δύο υἱεῖς ἔθρεψε, Μελησίαν καὶ Στέφανον, ὑπὲρ ὧν σὺ οὐκ ἂν ἔχοις εἰπεῖν, ἅπερ ὑπὲρ τῶν Περικλέους υἱῶν· τούτων γὰρ δὴ καὶ σὺ οἶσθα τόν γ' ἕτερον μέχρι γήρως βιοῦντα, τὸν δ' ἕτερον πόρρω πάνυ. καὶ μὴν καὶ τούτῳ ὁ πατὴρ ἐπαίδευσε τά τε ἄλλα εὖ καὶ ἐπάλαισαν κάλλιστα Ἀθηναίων· τὸν μὲν γὰρ Ξανθίᾳ ἔδωκε, τὸν δὲ Εὐδώρῳ, οὗτοι δέ που ἐδόκουν κάλλιστα τῶν τότε παλαίειν. Ναί.

B VI. Οὐκοῦν δῆλον ὅτι οὗτος οὐκ ἄν ποτε, οἳ μὲν ἔδει

δαπανώμενον διδάσκειν, ταῦτα μὲν ἐδίδαξε τοὺς παῖδας τοὺς ἑαυτοῦ, οἳ δ' οὐδὲν ἔδει ἀναλώσαντα ἀγαθοὺς ἄνδρας ποιῆσαι, τοῦτο δὲ οὐκ ἂν ἐδίδαξεν, εἰ διδακτὸν ἦν; Εἰκός γε. Ἀλλὰ γὰρ ἴσως ὁ Θουκυδίδης φαῦλος ἦν, καὶ οὐχὶ ἦσαν αὐτῷ πλεῖστοι φίλοι Ἀθηναίων καὶ τῶν συμμάχων; καὶ οἰκίας ἦν μεγάλης καὶ ἐδύνατο μέγα ἐν τῇ πόλει καὶ ἐν τοῖς ἄλλοις Ἕλλησιν, ὥστ' εἴπερ ἦν τοῦτο διδακτόν, ἐξεῦρεν ἂν ὅστις αὐτοῦ ἔμελλε τοὺς υἱεῖς ἀγα- C θοὺς ποιήσειν ἢ τῶν ἐπιχωρίων ἢ τῶν ξένων, εἰ αὐτὸς μὴ ἐσχόλαζε διὰ τὴν τῆς πόλεως ἐπιμέλειαν. ἀλλὰ γάρ, ὦ ἑταῖρε, μὴ οὐκ ἦ διδακτὸν ἡ ἀρετή. Οὔκ, ἴσως. Ἀλλὰ δὴ εἰ μὴ διδακτόν ἐστιν, ἆρα φύσει φύονται οἱ ἀγαθοί; καὶ τοῦτο τῇδέ πῃ σκοποῦντες ἴσως ἂν εὕροιμεν. φέρε γάρ· εἰσὶν ἡμῖν φύσεις ἵππων ἀγαθῶν; Εἰσίν.

VII. Οὐκοῦν εἰσί τινες ἄνθρωποι τέχνην ἔχοντες, ἣ τὰς τῶν ἵππων τῶν ἀγαθῶν φύσεις γιγνώσκουσι, καὶ D κατὰ τὸ σῶμα πρὸς δρόμον καὶ κατὰ τὴν ψυχὴν οἵτινές τε θυμοειδεῖς καὶ ἄθυμοι; Ναί. Τίς οὖν αὕτη ἡ τέχνη ἐστί; τί ὄνομα αὐτῇ; Ἱππική. Οὐκοῦν καὶ περὶ τοὺς κύνας ὡσαύτως ἔστι τις τέχνη, ἣ τὰς ἀγαθὰς καὶ τὰς κακὰς φύσεις τῶν κυνῶν διακρίνουσιν; Ἔστιν. Τίς αὕτη; Ἡ κυνηγετική. Ἀλλὰ μὴν καὶ περὶ τὸ χρυσίον καὶ τὸ ἀργύριον εἰσὶν ἡμῖν δοκιμασταί, οἵτινες ὁρῶντες κρίνουσι τό τε βέλτιον καὶ τὸ χεῖρον; Εἰσίν. Τίνας οὖν τούτους E καλεῖς; Ἀργυρογνώμονας. Καὶ μὴν οἱ παιδοτρίβαι γιγνώσκουσι σκοπούμενοι τὰς φύσεις τὰς τῶν σωμάτων τῶν ἀνθρώπων, ὁποῖαί τε χρηταὶ καὶ ὁποῖαι μὴ πρὸς ἑκάστους τῶν πόνων, καὶ τῶν πρεσβυτέρων καὶ νέων, ὅσα μέλλει τῶν σωμάτων ἄξια λόγου ἔσεσθαι καὶ ἐν οἷς ἐλπίς ἐστι πολλὴ τὰ ἔργα, ὅσα σώματος ἔχεται, εὖ ἀπεργάσασθαι. Ἔστι ταῦτα.

VIII. *Πότερον οὖν σπουδαιότερόν ἐστι ταῖς πόλεσιν*
ἵπποι καὶ κύνες ἀγαθοὶ καὶ τἆλλα τὰ τοιαῦτα, ἢ ἄνδρες
379 *ἀγαθοί; Ἄνδρες ἀγαθοί. Τί οὖν; οἶει ἄν, εἴπερ ἦσαν φύ-*
σεις ἀγαθαὶ πρὸς ἀρετὴν ἀνθρώπων, οὐκ ἂν πάντα με-
μηχανῆσθαι τοὺς ἀνθρώπους ὥστε διαγιγνώσκειν αὐ-
τάς; Εἰκός γε. Ἔχεις οὖν τινὰ εἰπεῖν τέχνην, ἥτις ἐστὶν
ἐπὶ ταῖς φύσεσι ταῖς τῶν ἀνδρῶν τῶν ἀγαθῶν ἀπο-
δεδειγμένη, ὥστε δύνασθαι αὐτὰς κρίνειν; Οὐκ ἔχω. Καὶ
μὲν δὴ πλείστου ἂν ἦν ἀξία καὶ οἱ ἔχοντες αὐτήν· οὗτοι
γὰρ ἂν ἡμῖν ἀπέφαινον τῶν νέων τοὺς μέλλοντας ἀγα-
B *θοὺς ἔσεσθαι ἔτι παῖδας ὄντας, οὓς ἂν ἡμεῖς παραλαβόν-*
τες ἐφυλάττομεν ἐν ἀκροπόλει δημοσίᾳ, ὥσπερ τὸ ἀργύ-
ριον, καὶ μᾶλλόν τι, ἵνα μή τι φλαῦρον ἡμῖν πάθοιεν
μήτε ἐν μάχῃ μήτε ἐν ἄλλῳ μηδενὶ κινδύνῳ, ἀλλ' ἀπέ-
κειντο τῇ πόλει σωτῆρές τε καὶ εὐεργέται, ἐπειδή γε εἰς
τὴν ἡλικίαν ἀφίκοντο. ἀλλὰ γὰρ κινδυνεύει οὔτε φύσει
οὔτε μαθήσει ἡ ἀρετὴ τοῖς ἀνθρώποις παραγίγνεσθαι.
Πῶς οὖν ἄν, ὦ Σώκρατές, σοι δοκοῦσι γίγνεσθαι, εἰ μήτε
C *φύσει μήτε μαθήσει γίγνονται; τίν' ἄλλον τρόπον γί-*
γνοιντ' ἂν οἱ ἀγαθοί;

IX. *Οἶμαι μὲν οὐκ ἂν ῥᾳδίως αὐτὸ δηλωθῆναι, το-*
πάζω μέντοι θεῖόν τι μάλιστα εἶναι τὸ κτῆμα καὶ γίγνε-
σθαι τοὺς ἀγαθοὺς ὥσπερ οἱ θεῖοι τῶν μάντεων καὶ οἱ
χρησμολόγοι. οὗτοι γὰρ οὔτε φύσει τοιοῦτοι γίγνονται
οὔτε τέχνῃ, ἀλλ' ἔμπνοοι ἐκ τῶν θεῶν γιγνόμενοι τοιοῦ-
τοί εἰσιν· οὕτω δὲ καὶ οἱ ἄνδρες οἱ ἀγαθοὶ λέγουσι ταῖς
πόλεσιν ἑκάστοτε τὰ ἀποβησόμενα καὶ τὰ μέλλοντα ἔσε-
D *σθαι ἐκ θεοῦ ἐμπνοίας πολὺ μᾶλλον καὶ ἐναργέστερον ἢ*
οἱ χρησμῳδοί. λέγουσι δέ που καὶ αἱ γυναῖκες ὅτι θεῖος
ἀνὴρ οὗτός ἐστι· καὶ Λακεδαιμόνιοι ὅταν τινὰ μεγαλο-
πρεπῶς ἐπαινῶσι, θεῖον ἄνδρα φασὶν εἶναι. πολλαχοῦ δὲ

καὶ Ὅμηρος τῷ αὐτῷ τούτῳ καταχρῆται καὶ οἱ ἄλλοι ποιηταί. καὶ ὅταν βούληται θεὸς εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθοὺς ἐνεποίησεν· ὅταν δὲ μέλλῃ κακῶς πράξειν πόλις, ἐξεῖλε τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐκ ταύτης τῆς πόλεως ὁ θεός· οὕτως ἔοικεν οὔτε διδακτὸν εἶναι οὔτε φύσει ἀρετή, ἀλλὰ θείᾳ μοίρᾳ παραγίγνεται κτωμένοις.

ΔΗΜΟΔΟΚΟΣ

[ἢ περὶ τοῦ συμβουλεύεσθαι.]

St.
III. p.
380 I. Σὺ μὲν δὴ κελεύεις με, ὦ Δημόδοκε, ξυμβουλεύειν ὑμῖν περὶ ὧν ἂν ξυνέρχησθε βουλευσόμενοι· ἐμοὶ δὲ σκοπεῖσθαι ἐπέρχεται, τί ποτε δύναται ἡ ξύνοδος ὑμῶν καὶ ἡ τῶν οἰομένων ξυμβουλεύειν ὑμῖν προθυμία καὶ ἡ ψῆφος, ἣν φέρειν ἕκαστος ὑμῶν διανοεῖται. τοῦτο μὲν γάρ, εἰ μὴ ἔστιν ὀρθῶς καὶ ἐμπείρως ξυμβουλεύειν περὶ ὧν ξυνέρχεσθε βουλευσόμενοι, πῶς οὐ γελοῖόν ἐστι ξυνέρχεσθαι
B βουλευσομένους περὶ ὧν ξυμβουλεύειν οὐκ ἔστιν ὀρθῶς; τοῦτο δέ, εἰ μέν ἐστιν ὀρθῶς ξυμβουλεύειν καὶ ἐμπείρως περὶ τῶν τοιούτων, ἐπιστήμη δ' ἀφ' ἧς ἔστιν ὀρθῶς ξυμβουλεύειν περὶ τούτων μηδεμία ἐστί, πῶς οὐκ ἄτοπον; εἰ δέ τις ἐπιστήμη, ἀφ' ἧς ἔστι τὰ τοιαῦτα ὀρθῶς ξυμβουλεύειν, οὐκ ἀνάγκη καὶ ἐπισταμένους εἶναί τινας ξυμβουλεύειν ὀρθῶς περὶ τῶν τοιούτων; ὄντων δέ τινων ἐπισταμένων ξυμβουλεύειν περὶ ὧν ξυνέρχεσθε βουλευσόμε-
C νοι, οὐκ ἀνάγκη ἐστὶ καὶ ὑμᾶς ἤτοι ἐπίστασθαι περὶ τούτων ξυμβουλεύειν ἢ μὴ ἐπίστασθαι; ἢ τοὺς μὲν ἐπίστασθαι ὑμῶν, τοὺς δὲ μὴ ἐπίστασθαι; εἰ μὲν οὖν ἐπίστασθε πάντες, τί δεῖ ἔτι ὑμᾶς συνέρχεσθαι βουλευσομένους; ξυμβουλεύειν γὰρ ἱκανὸς ἕκαστος ὑμῶν· εἰ δ' αὖ πάντες μὴ ἐπίστασθε, πῶς ἂν δύναισθε βουλεύεσθαι; ἢ τί ὑμῖν προὔργου τῆς ξυνόδου ταύτης εἴη ἂν μὴ δυναμένων γε βουλεύεσθαι; εἰ δὲ οἱ μὲν ἐπίστανται, οἱ δὲ οὐκ ἐπιστά-
D μενοί εἰσιν ὑμῶν, οὗτοι δὲ ξυμβουλῆς δέονται, εἰ ἄρα δυνατόν ἐστι ξυμβουλεύειν ἔμφρονα ἄνδρα τοῖς ἀπείροις,

ἱκανὸς δή πού ἐστι καὶ εἷς ξυμβουλεῦσαι [τοῖς ἐπισταμένοις] ὑμῖν. ἢ οὐ ταὐτὰ οἱ ἐπιστάμενοι ξυμβουλεύουσι πάντες; ὥστ' ἀκούσαντας ὑμᾶς τούτου ἀπαλλάττεσθαι προσήκει. νῦν δ' οὐ ποιεῖτε τοῦτο, ἀλλὰ βούλεσθε πολλῶν ξυμβουλευόντων ἀκούειν. οὐ γὰρ ὑπολαμβάνετε εἰδέναι τοὺς ἐπιχειροῦντας ὑμῖν ξυμβουλεύειν περὶ ὧν ξυμβουλεύουσιν. εἰ γὰρ ὑπελαμβάνετε εἰδέναι τοὺς ξυμβουλεύοντας ὑμῖν, ἑνὸς μόνου ἀκούσασιν ἐξῆρκει ἂν ὑμῖν. τὸ 381
οὖν ξυνάρχεσθαι ἀκουσομένους μὴ εἰδότων, ὡς προὔργου τι ποιοῦντας, πῶς οὐκ ἄτοπόν ἐστι; καὶ περὶ μὲν τῆς ξυνόδου ὑμῶν ἀπορῶ ταύτῃ.

II. Περὶ δὲ τῆς τῶν οἰομένων ὑμῖν ξυμβουλεύειν προθυμίας ἐκεῖνο ἄπορον. εἰ μὲν γὰρ μὴ ταὐτὰ ξυμβουλεύουσι περὶ τῶν αὐτῶν ξυμβουλεύοντες, πῶς ἂν πάντες καλῶς ξυμβουλεύοιεν, μὴ ξυμβουλεύοντες ἃ ξυμβουλεύει ὁ ὀρθῶς ξυμβουλεύων; ἢ πῶς οὐκ ἂν ἄτοπος εἴη ἡ προ- Β
θυμία τῶν προθυμουμένων ξυμβουλεύειν περὶ ὧν ἀπείρως ἔχουσιν; οὐ γὰρ δὴ ἔμπειροι ὄντες προαιρήσονται ξυμβουλεύειν μὴ ὀρθῶς. εἰ δ' αὖ ταὐτὰ ξυμβουλεύουσι, τί δεῖ πάντας αὐτοὺς ξυμβουλεύειν; εἷς γὰρ αὐτῶν τὰ αὐτὰ ξυμβουλεύων ἱκανὸς ἔσται. τὸ οὖν τοιαῦτα προθυμεῖσθαι, ἃ οὐδὲν προὔργου ἂν γένοιτο, πῶς οὐ γελοῖον; οὔτε οὖν ἡ τῶν ἀπείρων προθυμία οὐκ ἂν ἄτοπος εἴη, τοιαύτη γε οὖσα, οὔτε οἱ ἔμφρονες ἂν τοιαῦτα προθυμη- C
θεῖεν, εἰδότες ὅτι καὶ εἷς τις αὐτῶν τὸ αὐτὸ πράξει, ξυμβουλεύων γε ὡς προσήκει. ὥστε πῶς οὐ γελοία ἐστὶν ἡ προθυμία τῶν οἰομένων ὑμῖν ξυμβουλεύειν, οὐ δύναμαι εὑρεῖν.

III. Τὸ δὲ περὶ τῆς ψήφου ἧς φέρειν διανοεῖσθε, τί δύναται, ἀπορῶ μάλιστα. πότερον γὰρ τοὺς εἰδότας ξυμβουλεύειν κρινεῖτε; ἀλλ' οὐ πλείονες ἑνὸς ξυμβουλεύσουσιν, οὐδὲ ἄλλως καὶ ἄλλως περὶ τοῦ αὐτοῦ· ὥστε περὶ

D τούτων μὲν τὴν ψῆφον φέρειν ὑμᾶς οὐ δεήσει. ἀλλὰ τοὺς ἀπείρους καὶ ὡς μὴ δεῖ ξυμβουλεύοντας κρινεῖτε; ἢ τοῖς τοιούτοις ὡς μαινομένοις οὐκ ἐπιτρέπειν ξυμβουλεύειν προσήκει; εἰ δὲ μήτε τοὺς ἐμπείρους μήτε τοὺς ἀπείρους κρινεῖτε, τίνας κρινεῖτε ἀρχήν; τί δὲ δεῖ πάντως ἄλλους ξυμβουλεύειν ὑμῖν, εἴπερ κρίνειν τὰ τοιαῦτα ἱκανοί ἐστε; εἰ δ' αὖ μή ἐστε ἱκανοί, τί καὶ δύνανται ὑμῖν αἱ ψῆφοι; ἢ πῶς οὐ γελοῖόν ἐστι ξυνέρχεσθαι μὲν ὑμᾶς ξυμβουλευσο-
E μένους, ὡς δεομένους ξυμβουλίας καὶ οὐχ ἱκανοὺς ὄντας αὐτούς, ξυνελθόντας δὲ ρἴεσθαι δεῖν ψηφίζεσθαι ὡς κρίνειν ἱκανοὺς ὄντας; οὐ γὰρ δὴ καθ' ἕνα μὲν ὄντες οὐκ οἶδατε, ξυνελθόντες δὲ φρόνιμοι γίγνεσθε· οὐδ' αὖ ἰδίᾳ μὲν ἀπορεῖτε, ἐλθόντες δὲ εἰς τὸ αὐτὸ οὐκέτι ἀπορεῖτε, ἀλλ' ἱκανοὶ γίγνεσθε ξυνορᾶν ποῖα πρακτέα ἐστὶν ὑμῖν, καὶ ταῦτα παρ' οὐδενὸς μαθόντες οὐδ' αὐτοὶ εὑρόντες, ὅ ἐστι δεινότατον ἁπάντων. οὐ γὰρ δὴ μὴ δυνάμενοί γε ξυν-
382 ορᾶν, ἃ πρακτέον ἐστί, κρίνειν ἱκανοὶ ἔσεσθε τὸν ὀρθῶς ξυμβουλεύοντα περὶ τούτων ὑμῖν· οὐδ' αὖ τοῦτό γε ἐρεῖ εἷς ὧν ὁ ξυμβουλεύων ὑμῖν οὗτος, ὑμᾶς διδάξειν ἃ πρακτέον ὑμῖν ἐστί, καὶ κρινεῖν τοὺς κακῶς καὶ μὴ ξυμβουλεύοντας ὑμῖν, οὕτως ἐν ὀλίγῳ χρόνῳ καὶ ὄντας τοσούτους. τοῦτο δὲ ἐκείνου οὐδὲν ἧττον ἂν φανείη δεινὸν ὄν.

IV. *Εἰ δὲ μήθ' ἡ ξύνοδος μήθ' ὁ ξυμβουλεύων ὑμῖν ἱκανοὺς κρίνειν ποιεῖ ὑμᾶς, τίς χρεία τῶν ψήφων ἐστὶν*
B *ὑμῖν; ἢ πῶς οὐκ ἐναντιοῦται ἡ ξύνοδος ὑμῶν ταῖς ψήφοις καὶ αἱ ψῆφοι τῇ τῶν ξυμβουλευόντων ὑμῖν προθυμίᾳ; ἡ μὲν γὰρ ξύνοδός ἐστιν ὑμῶν ὡς οὐχ ἱκανῶν ἀλλὰ ξυμβούλων δεομένων, αἱ δὲ ψῆφοι φέρονται ὡς οὐ ξυμβούλων δεομένων ἀλλὰ καὶ κρίνειν καὶ ξυμβουλεύειν δυναμένων· καὶ ἡ μὲν προθυμία τῶν ξυμβουλευόντων ὑμῖν ὡς εἰδότων ἐστίν, αἱ δὲ παρ' ὑμῶν ψῆφοι ὡς οὐκ εἰδότων τῶν ξυμβουλευόντων φέρονται. καὶ εἴ τις ὑμᾶς ἔροιτο τοὺς*

ψηφισαμένους καὶ τὸν ξυμβουλεύσαντα ὑμῖν, περὶ ὧν ἂν C
ψηφίσησθε, πότερον ἴστε ὅ τι ἔσται οὗ ἕνεκα πράττειν
διανοεῖσθε ἃ ἐψηφίσασθε, οὐκ οἶομαι ἂν φῆσαι ὑμᾶς. τί
δ', εἰ γένοιτο, οὗ ἕνεκα πράττειν διανοεῖσθε, ἴστε ὅτι ξυν-
οίσει τοῦτο ὑμῖν; οὐδὲ τοῦτο ἂν φῆσαι οἶομαι ὑμᾶς οὐδὲ
τὸν ξυμβουλεύοντα ὑμῖν. τῶν ἀνθρώπων δὲ τίνα ὑπο-
λαμβάνετε εἰδέναι τι τούτων; εἴ τις προσέροιτο ὑμᾶς,
οὐδὲ τοῦτο ξυγχωρεῖν ἂν οἶομαι ὑμᾶς. ὅταν οὖν περί τε
ὧν ξυμβουλεύετε ᾖ τοιαῦτα οἷα ὑμῖν μὴ δῆλα εἶναι, οἵ τε D
ψηφιζόμενοι καὶ οἱ ξυμβουλεύοντες ἄπειροι ὦσιν, εἰκότως
καὶ ὑμεῖς φήσετε ξυμπίπτειν ἀπιστεῖν καὶ μεταμέλεσθαι
πολλάκις αὐτοῖς καὶ περὶ ὧν ἂν ξυμβουλεύσωνται καὶ
περὶ ὧν ἂν ψηφίσωνται· τοῖς ἀγαθοῖς δὲ τοιαῦτα ξυμβαί-
νειν οὐ προσήκει. ἴσασι γὰρ καὶ περὶ ὧν ξυμβουλεύουσιν,
ὁποῖά τ' ἐστί, καὶ τοῖς πεισθεῖσιν αὐτοῖς ὅτι βεβαίως
ὑπάρχει ὧν ἕνεκα ξυμβουλεύουσι, καὶ ὅτι οὔτε αὐτοῖς
οὔτε τοῖς πεισθεῖσιν αὐτοῖς πώποτε μεταμελήσει· περὶ τοι- E
ούτων οὖν ἔγωγε τοὺς νοῦν ἔχοντας ξυμβουλεύειν ἀξιοῦν
ὑπελάμβανον, ἀλλ' οὐ περὶ ὧν σὺ κελεύεις με ξυμβου-
λεύειν. ἀπὸ μὲν γὰρ τῆς ἐκείνων ξυμβουλίας τὸ τέλος εὐ-
τυχία, ἀπὸ δὲ τῆς τούτων φλυαρίας ἀτυχία ἐστίν.

V. *Παρεγενόμην δ' ἀνθρώπῳ τινὶ νουθετοῦντι ἑαυ-*
τοῦ ἑταῖρον, διότι ἐπίστευε τῷ κατηγοροῦντι οὐκ ἀκούσας
τοῦ ἀπολογουμένου, ἀλλὰ μόνου τοῦ κατηγοροῦντος. ἔλε-
γεν οὖν ὡς δεινὸν πρᾶγμα ποιοῖ καταγιγνώσκων τοῦ ἀν-
θρώπου, οὔτε αὐτὸς παραγενόμενος οὔτε τῶν φίλων 383
ἀκούσας παραγενομένων, οἷς εἰκὸς ἦν αὐτὸν λέγουσιν πι-
στεύειν, οὐδ' αὖ ἀμφοτέρων ἀκούσας οὕτω προπετῶς ἐπί-
στευσε τῷ κατηγοροῦντι· δίκαιον δὲ εἶναι καὶ τοῦ ἀπολο-

γουμένου ἀκοῦσαι πρὸ τοῦ ἐπαινεῖν ἢ μέμφεσθαι, ὥσπερ καὶ τοῦ κατηγοροῦντος. πῶς γὰρ ἄν τις ἢ δίκην καλῶς δικάσαι ἢ ἀνθρώπους κατὰ τρόπον κρῖναι δύναιτο, μὴ ἀμφοτέρων τῶν ἀντιδίκων ἀκούσας; τοὺς γὰρ λόγους παραβαλλομένους, ὥσπερ τὴν πορφύραν καὶ τὸ χρυσίον, ἄμεινον κρίνεσθαι. ἢ τίνος ἕνεκεν ἢ χρόνον ἀμφοτέροις δίδοσθαι τοῖς ἀντιδίκοις, ἢ ὀμνύειν τοὺς δικαστὰς ἀκροάσασθαι ὁμοίως ἀμφοτέρων, εἰ μὴ ὑπελάμβανεν ὁ νομοθέτης τὰς δίκας δικαιότερον ἂν καὶ βέλτιον κρίνεσθαι ὑπὸ τῶν δικαστῶν; σὺ δέ μοι δοκεῖς οὐδὲ τοῦτο τὸ ὑπὸ τῶν πολλῶν λεγόμενον ἀκηκοέναι. τὸ ποῖον; ἔφη.

μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς.

καί τοι οὐκ ἂν οὕτω τοῦτο περιεφέρετο, εἰ μὴ καλῶς ἐλέγετο καὶ ὡς προσήκει. ξυμβουλεύω οὖν σοι, ἔφη, τοῦ λοιποῦ μὴ προπετῶς οὕτως τοὺς ἀνθρώπους μήτε μέμφεσθαι μήτ' ἐπαινεῖν.

VI. Ὁ οὖν ἕτερος ἄτοπον ἔφη ἑαυτῷ καταφαίνεσθαι, εἰ ἕνα μὲν γνῶναι λέγοντα, πότερον ἀληθεύει ἢ ψεύδεται, οὐ δυνατόν, δύο δὲ λέγοντας γνῶναι δυνατὸν ἔσται· καὶ παρὰ μὲν τοῦ ἀληθῆ λέγοντος μαθεῖν οὐ δυνατόν, ὑπὸ τούτου δ' αὐτοῦ καὶ ἄλλου ψευδομένου διδαχθῆναι ταῦτα οἷόν τε· καὶ εἰ ὁ μὲν εἷς ὀρθῶς καὶ ἀληθῆ λέγων ἐμφανίσαι ἃ λέγει οὐ δυνήσεται, δύο δέ, ὧν ὁ ἕτερος ψεύσεται καὶ οὐκ ὀρθῶς ἐρεῖ, δυνήσονται ἐμφανίσαι τοῦτο, ὃ ὁ λέγων ὀρθῶς ἐμφανίσαι οὐχ οἷός τ' ἦν. ἀπορῶ δ', ἔφη, κἀκεῖνο, πῶς ποτὲ ἐμφαίνουσι. πότερον γὰρ σιωπῶντες ἢ λέγοντες; εἰ μὲν γὰρ σιωπῶντες ἐμφανιοῦσιν, οὐδετέρου ἂν δέοι, μή τί γε ἀμφοτέρων, ἀκούειν· εἰ δὲ λέγοντες ἀμφότεροι ἐμφανιοῦσιν, ἀμφότεροι δὲ κατ' οὐδένα τρόπον λέγουσιν — ἐν μέρει γὰρ λέγειν ἑκάτερον ἀξιοῦσι — πῶς ἀμφοτέρους ἐμφανίσαι ἅμα οἷόν τε; εἰ γὰρ ἐμφαίνουσιν ἅμα ἀμφότεροι, καὶ ἐροῦσι τότε ἅμα· τοῦτο δ' οὐκ ἐῶσιν·

ὥστε λοιπόν, εἴπερ λέγοντες ἐμφαίνουσιν, ἑκάτερος εἰπὼν ἐμφανιεῖ· καὶ ὁπότε γε ἐρεῖ ἑκάτερος, τότε καὶ ἐμφανιεῖ ἑκάτερος αὐτῶν. ὥστ' ἐρεῖ ὁ μὲν πρότερος, ὁ δ' ὕστερος, καὶ ἐμφανιεῖ ὁ μὲν πρότερος, ὁ δ' ὕστερος· καί τοι εἴπερ ταὐτὸ ἐν μέρει ἐμφανιοῦσιν ἑκάτεροι, τί δεῖ ἔτι τοῦ ὑστέρου ἀκούειν; ὑπὸ γὰρ τοῦ πρότερον εἰπόντος ἤδη φανερὸν ἔσται. ἐκεῖνο δ', ἔφη, εἴπερ ἀμφότεροι ἐμφανιοῦσι, 384
πῶς οὐ καὶ ὁ ἕτερος αὐτῶν ἐμφανιεῖ; ὧν γὰρ ὁ ἕτερος οὐκ ἐμφανιεῖ, οὗτοι ἀμφότεροι πῶς ἂν ἐμφανίσαι δύναιντο; εἰ δ' ἑκάτερος ἐμφανιεῖ, δῆλον ὅτι ἐρεῖ πρότερος καὶ ἐμφανιεῖ πρότερος· ὥστ' ἐκείνου μόνου ἀκούσαντα γνῶναι πῶς ἐστὶν οὐχ οἷόν τε; ἐγὼ γοῦν ἀκούων αὐτῶν ἠπόρουν καὶ κρίνειν οὐχ οἷός τ' ἦν· οἱ μὲν γὰρ ἄλλοι ἔφασαν οἱ παρόντες τὸν πρῶτον λέγειν ἀληθῆ. ἦ οὖν τι ἔχεις ξυμβαλέσθαι μοι περὶ τούτων, πότερόν ἐστιν ἑνὸς λέγοντος Β
γνῶναι τί λέγει, ἢ προσδεῖται τοῦ ἀντεροῦντος, εἴ μέλλει τις γνώσεσθαι πότερον ὀρθῶς λέγει; ἢ οὐκ ἀναγκαῖόν ἐστιν ἀμφοτέρων ἀκούειν, ἢ πῶς νομίζεις;

VII. Πρώην τις ἐνεκάλει ἀνθρώπων τινί, ὅτι αὐτῷ ἀργύριον χρῆσαι οὐκ ἠθέλησεν οὐδὲ πιστεῦσαι· κἀκεῖνος μέν, ᾧ ἐνεκάλει, ἀπελογεῖτο· ἄλλος δέ τις τῶν παρόντων ἠρώτησε τὸν ἐγκαλοῦντα, πότερον ὁ μὲν μὴ πιστεύσας αὐτῷ μηδὲ χρήσας ἥμαρτε· σὺ δ', ἔφη, οὐ πείσας σοι χρῆ- C
σαι οὐχ ἡμάρτηκας; ὁ δέ, Τί γὰρ ἥμαρτον; εἶπε. Πότερος δ', ἔφη, σοὶ δοκεῖ ἁμαρτάνειν; ὁ ἀποτυχὼν ὧν ἤθελεν ἢ ὁ μή; Ὁ ἀποτυχών, εἶπεν. Οὐκοῦν, εἶπε, σὺ μὲν ἀπέτυχες, χρήσασθαι ἐθέλων; ὁ δέ σοι μὴ προέσθαι, οὐκ ἀπέτυχε τούτου; Ναί, εἶπεν· ἀλλ' ἐγὼ τί ἥμαρτον, καὶ εἰ μὴ ἐκεῖνός μοι ἔδωκεν; Ὅτι εἰ μὲν ἐδέου αὐτοῦ, ἔφη, ὧν οὐκ ἐχρῆν, πῶς οὐκ οἴει ἁμαρτάνειν; ἐκεῖνος δὲ ὁ μὴ προέμενος

D ὀρθῶς ἔπραξεν. εἰ δὲ ὧν χρῆν ἐδέου αὐτοῦ, ἀποτυχὼν τούτου πῶς οὐχ ἥμαρτες ἐξ ἀνάγκης; Ἴσως, εἶπεν· ἀλλ' ἐκεῖνος πῶς οὐχ ἥμαρτεν, ὁ μὴ πιστεύσας μοι; Ἆρ' οὖν, ἔφη, εἰ προσωμίλησας αὐτῷ ὡς προσήκει, οὐκ ἂν ἥμαρτες οὐδέν; Οὐ γὰρ δή. Νῦν ἄρα οὐχ ὡς προσήκει αὐτῷ προσωμίλησας. Φαίνομαι, εἶπεν. Εἰ οὖν ὡς μὴ προσήκει ὁμιλοῦντός σου μὴ ἐπείσθη, πῶς ἂν δικαίως ἐγκαλοίης ἐκεί-
E νῳ; Οὐκ ἔχω εἰπεῖν. Οὐδὲ ὅτι τοῖς κακῶς χρωμένοις οὐ προσεκτέον ἐστίν, ἔχεις εἰπεῖν; Καὶ μάλ', ἔφη, τοῦτό γε. Ἀλλ' οὖν οὐχ οἱ ὡς οὐ προσήκει ὁμιλοῦντες, ἔφη, κακῶς χρῆσθαί σοι δοκοῦσιν; Ἔμοιγε, ἔφη. Τί οὖν ἥμαρτεν, εἴ σοι μὴ προσέσχε κακῶς χρωμένῳ; Οὐδὲν φαίνεται, εἶπεν. Τί οὖν ποτὲ οἱ ἄνθρωποι, ἔφη, τοιαῦτα ἐγκαλοῦσι πρὸς ἀλλήλους, καὶ τοῖς μὲν μὴ πεισθεῖσιν αὐτοῖς, ὅτι οὐκ ἐπείσθησαν, μέμφονται, αὐτοῖς δέ, ὅτι οὐκ ἔπεισαν, οὐδ' ὅτι-
385 οὖν ἐγκαλοῦσιν; καὶ ἄλλος τις παρών, Ὅταν τε γάρ τις, ἔφη, εὖ χρήσηταί τῳ καὶ βοηθήσῃ, εἶτα ἀξιῶν αὐτῷ ὁμοίως χρήσασθαι μὴ τυγχάνῃ τούτου, πῶς οὐκ εἰκότως μέμφοιτ' ἂν ὁ τοιοῦτος; Οὐκοῦν, ἔφη, ὃν ἀξιοῖ ὁμοίως αὐτῷ χρῆσθαι, ἤτοι δυνατός ἐστι χρῆσθαι αὐτῷ καλῶς ἢ οὐ δυνατός; καὶ εἰ μὲν μὴ δυνατός ἐστι, πῶς ἂν καλῶς ἀξιοίη, ἀξιῶν αὐτὸν ὃ οὐ δυνατός ἐστιν; εἰ δὲ δυνατός ἐστι, πῶς τοιοῦτον ἄνθρωπον οὐκ ἔπεισεν; ἢ πῶς τοιαῦτα λέγοντες
B καλῶς λέγουσιν; Ἀλλὰ νὴ Δί', ἔφη, τοῦτο δεῖ ἐγκαλεῖν, ὅπως οὗτός τε τοῦ λοιποῦ βέλτιον χρῆται αὐτῷ, καὶ οἱ ἄλλοι φίλοι, ἀκούσαντες αὐτοῦ ἐγκαλοῦντος. Βέλτιον δὲ χρήσεσθαι, ἔφη, οἴει τινὰς ἀκούοντας ὀρθῶς λέγοντος καὶ ἀξιοῦντος ἢ ἁμαρτάνοντος; Ὀρθῶς λέγοντος, ἔφη. Ὁ δέ γε οὐκ ὀρθῶς ἀξιοῦν ἐδόκει σοι; Ναί, ἔφη. Πῶς οὖν ἀκούοντες τοιαῦτα ἐγκαλοῦντος βέλτιον χρήσονται; Οὐ-
C δαμῶς, ἔφη. Τοῦ οὖν ἕνεκα τοιαῦτά τις ἐγκαλεῖ; Ἀνευ- ἔφη οὐκ ἂν δύνασθαι.

VIII. Ἀνθρώπου τις κατηγόρει εὐήθειαν, ὅτι ταχέως καὶ τοῖς τυχοῦσιν ἀνθρώποις λέγουσι πιστεύοι. πολίταις μὲν γὰρ καὶ οἰκείοις λέγουσι πιστεύειν εἰκός ἐστι· τοιούτοις δ' ἀνθρώποις, οὓς οὔτε εἶδεν οὔτε ἤκουσε πρότερον αὐτῶν, πιστεύειν, καὶ ταῦτα οὐκ ἀγνοοῦντα ὅτι οἱ πλεῖστοι τῶν ἀνθρώπων εἰσὶν ἀλαζόνες καὶ πονηροί, ἠλιθιότητος σημεῖον οὐ σμικρὸν εἶναι. καὶ τῶν παρόντων τις ἔφη, Ἐγὼ δὲ ᾤμην σὲ τὸν ταχὺ καὶ τοῦ τυχόντος ἂν αἰσθανόμενον πολλοῦ νομίζειν ἄξιον εἶναι μᾶλλον ἢ τὸν βραδέως. Καὶ γὰρ νομίζω, εἶπεν ἐκεῖνος. Τί οὖν, ἔφη, ἐγκαλεῖς, εἰ ταχὺ καὶ τοῖς τυχοῦσι πιστεύει τἀληθῆ λέγουσιν; Ἀλλ' οὐ τοῦτο ἐγκαλῶ, εἶπεν, ἀλλ' ὅτι πιστεύει ταχέως ψευδῆ λέγουσιν. Εἰ δ' ἐν πλείονι χρόνῳ καὶ οὐ τοῖς τυχοῦσιν ἐπίστευε καὶ ἠπατᾶτο, οὐκ ἂν ἐνεκάλεσας αὐτῷ μᾶλλον; Ἔγωγ' ἄν, εἶπεν. Ἆρα διότι γε βραδέως καὶ οὐ τοῖς τυχοῦσιν ἐπίστευεν; Μὰ Δί', εἶπεν. Οὐ γὰρ οἶμαί γ', ἔφη, διὰ τοῦτ' ἐγκαλεῖν ἀνθρώπῳ ἄξιον εἶναι ὑπολαμβάνεις, ἀλλὰ διότι πιστεύει λέγουσιν ἄπιστα. Ἔγωγ', εἶπεν. Πότερον οὖν, ἔφη, διὰ μὲν τὸ βραδέως καὶ μὴ τοῖς τυχοῦσιν πιστεύειν οὐκ οἴει ἄξιον εἶναι ἐγκαλεῖν αὐτῷ, διὰ δὲ τὸ ταχέως καὶ τοῖς τυχοῦσι πιστεύειν ἄξιον; Οὐκ ἔγωγ', εἶπεν. Τί οὖν, ἔφη, ἐγκαλεῖς αὐτῷ; Ὅτι ἁμαρτάνει, πρὸ τοῦ σκέψασθαι ταχέως πιστεύων τοῖς τυχοῦσιν. Ἀλλ' εἰ βραδέως ἐπίστευσε πρὸ τοῦ σκέψασθαι, οὐκ ἂν ἡμάρτανεν; Μὰ Δί', εἶπεν, ἀλλὰ καὶ οὕτως ἡμάρτανεν ἂν οὐδὲν ἧττον. ἀλλ' οὐ τοῖς τυχοῦσιν οἶμαι δεῖν πιστεύειν. Εἰ δὲ μὴ πιστεύειν τοῖς τυχοῦσιν, ἔφη, οἴει δεῖν, ἀλλὰ τοῖς ἀγνῶσι πῶς προσήκει ταχέως πιστεύειν; ἀλλὰ πρότερον οἴει δεῖν σκέψασθαι εἰ ἀληθῆ λέγουσιν. Ἔγωγ', εἶπεν. Ἐπεὶ οἰκείων καὶ συνήθων, ἔφη, ὄντων οὐ δεῖ σκοπεῖσθαι, εἰ λέγουσιν ἀληθῆ. Ἐγὼ μὲν φαίην ἄν, εἶπεν. Ἴσως γὰρ καὶ τούτων τινές, ἔφη, λέγουσιν ἄπιστα. Καὶ μάλα,

B εἶπεν. Τί οὖν μᾶλλον, ἔφη, τοῖς οἰκείοις καὶ συνήθεσιν εἰκὸς πιστεύειν ἢ τοῖς τυχοῦσιν ἐστίν; Οὐκ ἔχω, ἔφη, εἰπεῖν. Τί δ'; εἰ μᾶλλον τοῖς οἰκείοις πιστεύειν δεῖ ἢ τοῖς τυχοῦσιν, οὐ καὶ πιστοὺς αὐτοὺς δεῖ νομίζειν μᾶλλον ἢ τοὺς τυχόντας; Πῶς γὰρ οὔκ; ἔφη. Ἐὰν οὖν τοῖς μὲν οἰκεῖοι ὦσι, τοῖς δ' ἀγνῶτες, πῶς οὐ δεήσει τοὺς αὐτοὺς μᾶλλον αὐτῶν πιστοὺς νομίζειν; οὐ γὰρ ὁμοίως πιστοὺς αὐτοὺς δεῖ νομίζειν τοὺς οἰκείους καὶ τοὺς ἀγνῶτας, ὡς
C φῄς. Οὐκ ἀρέσκει μοι, εἶπεν. Ὁμοίως δ', ἔφη, καὶ τὰ λεγόμενα ὑπ' αὐτῶν οἱ μὲν πιστεύουσιν, οἱ δ' οὐ πιστὰ ἡγήσονται, καὶ οὐδέτεροι ἁμαρτήσονται αὐτῶν. Ἄτοπον καὶ τοῦτ', εἶπεν. Ἔπειτα, ἔφη, εἰ ταὐτὰ λέγουσιν οἱ οἰκεῖοι καὶ οἱ τυχόντες, πῶς οὐχ ὁμοίως τὰ λεγόμενα πιστὰ εἴη ἂν ἢ ἄπιστα; Ἀνάγκη, εἶπεν. Οὐκοῦν καὶ τοῖς λέγουσιν αὐτὰ ὁμοίως πιστευτέον λέγουσιν αὐτά; Πιθανόν, εἶπεν. ταῦτ
D οὖν λεγόντων αὐτῶν ἠπόρουν, τίσι ποτὲ δεῖ πιστεύειν καὶ τίσιν οὔ, καὶ πότερον τοῖς πιστοῖς καὶ τοῖς εἰδόσι περὶ ὧν λέγουσιν ἢ τοῖς οἰκείοις καὶ τοῖς γνωρίμοις. περὶ τούτων οὖν πῶς σὺ νομίζεις;

ΣΙΣΥΦΟΣ

[ἢ περὶ τοῦ βουλεύεσθαι.]

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΣΙΣΥΦΟΣ.

St. III. p. 387

I. Ἡμεῖς δὲ καὶ χθές σε πολὺν χρόνον ἀνεμείναμεν, ὦ Σίσυφε, ἐπὶ τῇ Στρατονίκου ἐπιδείξει, ὅπως ἂν ξυνηκροῶ ἡμῖν ἀνδρὸς σοφοῦ, πολλά τε καὶ καλὰ ἐπιδεικνυμένου πράγματα καὶ λόγῳ καὶ ἔργῳ· καὶ ἐπεὶ σὲ οὐκέτι ᾠόμεθα παρέσεσθαι, αὐτοὶ ἤδη ἠκροώμεθα τἀνδρός.

ΣΙ. Ναὶ μὰ τὸν Δία· ἀσχολία γάρ μοί τις ἐγένετο ἀναγκαιοτέρα, ὥστε με παραμελῆσαι αὐτῆς. οἱ γὰρ ἄρχοντες ἡμῶν ἐβουλεύοντο χθές· ξυμβουλεύειν οὖν αὐτοῖς B ἠνάγκαζόν με. ἡμῖν δὲ τοῖς Φαρσαλίοις καὶ νόμος ἐστὶ τοῖς ἄρχουσι πείθεσθαι, ἂν κελεύωσι ξυμβουλεύειν τινὰ ἡμῶν αὐτοῖς.

ΣΩ. Ἀλλὰ καλὸν τό τε τῷ νόμῳ πείθεσθαι, τό τε ὑπὸ τῶν πολιτῶν δεδοξάσθαι εὔβουλον εἶναι, ὥσπερ καὶ σὺ δεδόξασαι εὔβουλος εἶναι εἷς τῶν Φαρσαλίων. ἀτάρ, ὦ Σίσυφε, ἐγὼ γὰρ οὔπω περὶ τοῦ εὖ βουλεύεσθαι τοὺς λόγους ἂν δυναίμην ποιήσασθαι πρὸς σέ, ἡγούμενος καὶ σχολῆς εἶναι πολλῆς καὶ λόγου μακροῦ, ἀλλὰ περὶ αὐτοῦ C τοῦ βουλεύεσθαι πρῶτον, ὅ τι ἔστιν, ἐγχειρήσαιμ' ἂν διαλεχθῆναί σοι. ἆρ' οὖν ἔχοις ἄν μοι εἰπεῖν αὐτὸ τὸ βουλεύεσθαι ὅ τί ποτ' ἔστι; μή μοι ἢ τὸ εὖ ἢ κακῶς ἢ τὸ ἄλ-

λως πως, ἀλλ' αὐτὸ μόνον τὸ βουλεύεσθαι, ὁποῖόν τι ἐστίν. ἢ καὶ πάνυ ῥᾳδίως, αὐτός γε οὕτως εὔβουλος ὤν; ἀλλὰ μὴ ἐμὴ περιεργία ᾖ καὶ τὸ ἐρωτῆσαί σε περὶ τούτου;

ΣΙ. Ἦ σοι γὰρ ἄγνωστόν ἐστιν ὅ τι τὸ βουλεύεσθαι ἐστίν;

D ΣΩ. Ἔμοιγε, ὦ Σίσυφε, εἴ γέ τι ἄλλο ἐστὶν ἢ ὅπερ τὸ μὴ ἐπιστάμενόν τινα περὶ ὧν ἂν δέῃ τι πράττειν, διαμαντευόμενον καὶ σχεδιάζοντα λέγειν ὅ τι ἂν τύχῃ, εἰκάζοντα καὶ κατὰ ταὐτὰ αὑτῷ, ὥσπερ καὶ οἱ ἀρτιάζοντες τῶν ἀνθρώπων, οὐδὲν ἐπιστάμενοι δή που περὶ τῶν ἀρτίων τε καὶ περιττῶν, ὧν ἂν ἐν ταῖς χερσὶ ταῖς αὑτῶν ἔχωσιν,
388 ὅμως ἐπιτυγχάνουσι λέγοντες περὶ τῶν αὐτῶν τἀληθῆ. πολλάκις μὲν οὖν τοιοῦτόν τι καὶ τὸ βουλεύεσθαί ἐστιν, οἷον μηδὲν ἐπιστάμενον περὶ ὧν ἂν βουλεύηταί τις, ἀπὸ τύχης εἰπόντα ἐπιτυγχάνειν τἀληθῆ. εἰ μὲν οὖν τοιοῦτόν ἐστι, γιγνώσκω δὴ οἷον τὸ βουλεύεσθαι ἐστίν· εἰ μέντοι γε μὴ τοιοῦτόν ἐστιν, οὐκ ἄν πω ἐπισταίμην αὐτό.

ΣΙ. Οὐ τοίνυν τοιοῦτόν ἐστιν οἷόνπερ μὴ ἐπίστασθαι κομιδῇ μηδέν, ἀλλ' οἷον τὸ μὲν εἰδέναι τι τοῦ πράγματος ἤδη, τὸ δὲ μηδέπω ἐπίστασθαι.

B II. ΣΩ. Ἆρα τοιόνδε τι λέγεις τὸ βουλεύεσθαι πρὸς τοῦ Διός; ὥσπερ γὰρ ἂν καὶ αὐτὸς ὑπομαντεύεσθαί μοι δοκῶ τὴν διάνοιάν σου περὶ τοῦ εὖ βουλεύεσθαι· οἷον τὸ ζητεῖν τὰ βέλτιστα ἑξευρεῖν τινὰ ἑαυτῷ διαπράξασθαι, μηδέπω δὲ ἐπίστασθαι σαφῶς, ἀλλ' ὥσπερ ἐν νοήσει τινὶ εἶναι τοῦτο. [οὐχ] οὕτω πως λέγεις;

ΣΙ. Ἔγωγε.

ΣΩ. Ζητοῦσι δ' οἱ ἄνθρωποι πότερον ἃ ἂν ἐπιστῶνται τῶν πραγμάτων, ἢ καὶ ἃ ἂν μὴ ἐπιστῶνται;

C ΣΙ. Ἀμφότερα.

ΣΩ. Ἆρ' οὖν καὶ τοῦθ' οὕτω πως λέγεις, τὸ ζητεῖν ἀμφότερα τοὺς ἀνθρώπους, ἃ ἄν τε ἐπιστῶνται καὶ ἃ ἂν

μὴ ἐπιστῶνται, ὁμοιον ὥσπερ εἴ τις Καλλίστρατον γιγνώσκοι μέν, ὅστις ὁ Καλλίστρατος, μὴ μέντοι ἐπίσταιτο ὅπου εἴη ἐξευρεῖν, οὐχ ὅστις εἴη ὁ Καλλίστρατος. ἆρ' οὕτω πως λέγεις τὸ ζητεῖν εἶναι ἀμφότερα;

ΣΙ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν ἐκεῖνο μὲν οὐκ ἂν ζητοίη, τὸν Καλλίστρατον εἰδέναι, ὅ γε εἰδώς;

ΣΙ. Οὐ γάρ. D

ΣΩ. Ὅπου δέ γε εἴη, ζητοίη ἂν αὐτόν;

ΣΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν οὐδὲ τοῦτο ἐζήτει, ὅπου ἦν ἐξευρεῖν αὐτόν, εἰ ᾔδει, ἀλλ' ἐξεῦρεν ἂν εὐθέως;

ΣΙ. Ναί.

ΣΩ. Οὐκ ἄρα ταῦτά γε δὴ ζητοῦσιν, ἅττ' ἂν ἐπιστῶνται οἱ ἄνθρωποι, ἀλλὰ ἃ ἂν μὴ ἐπιστῶνται, ὡς ἔοικεν.

ΙΙΙ. Εἰ δέ σοι οὗτος ὁ λόγος ἐριστικὸς εἶναι δοκεῖ, ὦ Σίσυφε, καὶ μὴ τοῦ πράγματος ἕνεκα λέγεσθαι, ἀλλ' αὐτοῦ τοῦ διαλέγεσθαι μόνον, σκόπει δὲ καὶ ὧδε, ἐὰν δοκῇ E σοι οὕτως ἔχειν, ὥσπερ καὶ νῦν λέγεται. ἆρα γὰρ οὐκ ἐν τῇ γεωμετρίᾳ οἶσθα τοῦτο γιγνόμενον· ἀγνοουμένην τὴν διάμετρον τοῖς γεωμέτραις, οὐκ εἰ διάμετρός ἐστιν ἢ μή, οὐδὲ γὰρ οὐδὲ ζητεῖται τοῦτο ὑπ' αὐτῶν εὑρεθῆναι, ἀλλ' ὁπόση τίς ἐστι μέτρῳ πρὸς τὰς πλευρὰς τῶν χωρίων ὧν ἂν διατέμνῃ; ἆρ' οὐ τοῦτό ἐστιν αὐτὸ τὸ ζητούμενον περὶ αὐτῆς;

ΣΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ὅπερ καὶ ἀγνοεῖται· ἦ γάρ;

ΣΙ. Πάνυ γε.

ΣΩ. Τί δαί; ὁ τοῦ κύβου διπλασιασμὸς οὐκ οἶσθ' ὅτι ζητεῖται τοῖς γεωμέτραις ὁπόσος τίς ἐστιν εὑρεθῆναι

λόγῳ; αὐτὸς δὲ ο κύβος οὐ ζητεῖται αὐτοῖς εἰ κύβος ἐστὶν ἢ μή, ἀλλ' ἐπίστανται τοῦτό γε· ἦ γάρ;

ΣΙ. Ναί.

389 ΣΩ. Οὐκοῦν καὶ περὶ τοῦ ἀέρος Ἀναξαγόραν τε καὶ Ἐμπεδοκλέα καὶ τοὺς ἄλλους τοὺς μεταρσιολέσχας ἅπαντας οἶσθα ζητοῦντας, πότερον ἄπειρός ἐστιν ἢ πέρας ἔχων;

ΣΙ. Ναί.

ΣΩ. Ἀλλ' οὐκ ἐκεῖνο, εἰ ἀήρ ἐστιν· ἦ γάρ;

ΣΙ. Οὐ δῆτα.

ΣΩ. Συγχωρήσαις ἂν οὖν μοι καὶ κατὰ τῶν ἄλλων πάντων οὕτως ἔχειν ἤδη, μηδὲν μηδενὶ εἶναι ζητεῖν τῶν ἀνθρώπων, ὧν ἂν ἐπίστηταί τις, ἀλλὰ μᾶλλον ὧν ἂν μὴ ἐπίστηται;

ΣΙ. Ἔγωγε.

B IV. ΣΩ. Οὐκοῦν καὶ τὸ βουλεύεσθαι τοῦτο ἐδόκει ἡμῖν εἶναι αὐτό, τὸ ζητεῖν τὰ βέλτιστά τινα ἐξευρεῖν περὶ ὧν ἂν δέοιτο διαπράττεσθαι αὐτῷ;

ΣΙ. Ναί.

ΣΩ. Τὸ δὲ ζητεῖν γε ὅπερ τὸ βουλεύεσθαι ἦν περὶ τῶν πραγμάτων· ἦ γάρ;

ΣΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν σκεπτέον ἡμῖν ἐστὶ νῦν ἤδη, τί ἐστιν ἐμποδὼν τοῖς ζητοῦσι περὶ ὧν ἂν τὴν ζήτησιν ποιῶνται εἰς τὸ ἐξευρεῖν.

ΣΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ἆρ' οὖν ἄλλο τι φαίημεν ἂν αὐτοῖς ἐμποδὼν C εἶναι ἢ τὴν ἀνεπιστημοσύνην;

ΣΙ. Σκοπῶμεν νὴ Δία.

ΣΩ. Ὑπερφυῶς μὲν οὖν, τὸ λεγόμενόν γε πάντα κάλων ἐξιέντες καὶ πᾶσαν φωνὴν ἀφιέντες. ἄθρει δὲ δὴ μετ' ἐμοῦ τόδε· ἆρά γε νομίζεις οἷόν τέ τι εἶναι ἀνθρώπῳ

περὶ μουσικῆς βουλεύεσθαι μή [τε] ἐπισταμένῳ περὶ μουσικῆς μηδέν, ὅπως ἢ κιθαριστέον εἴη αὐτῷ ἢ ἄλλο τι τῶν κατὰ μουσικὴν ποιητέον;

ΣΙ. Οὐκ ἔγωγε.

ΣΩ. Τί δαὶ περὶ στρατηγίας ἢ κυβερνητικῆς; τὸν μὴ ἐπισταμένον μηδέτερα τούτων οἴει ἔχειν ἄν τι βουλεύεσθαι περὶ τούτων τοῦ ἑτέρου, ὅ τι ποιητέον εἴη αὐτῷ, ὅπως ἢ στρατηγητέον ἢ κυβερνητέον ἐκείνῳ αὐτῷ τῷ μὴ ἐπισταμένῳ μήτε στρατηγεῖν μήτε κυβερνᾶν;

ΣΙ. Οὐχί.

ΣΩ. Ἦ καὶ περὶ τῶν ἄλλων οὖν ἁπάντων οὕτως ἀξιοῖς ἔχειν, περὶ ὧν ἂν μὴ ἐπίστηταί τις, μὴ εἰδέναι μηδὲ βουλεύεσθαί πω δυνατὸν τῷ μὴ ἐπισταμένῳ περὶ αὐτῶν;

ΣΙ. Ἔγωγε.

V. ΣΩ. Ἀλλὰ ζητεῖν περὶ ὧν ἄν τις μὴ ἐπιστήμων ᾖ· ἦ γάρ;

ΣΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Τὸ μὲν αὐτὸ ἄρα οὐκ ἂν ἔτι εἴη τὸ ζητεῖν τῷ βουλεύεσθαι.

ΣΙ. Πῶς δή;

ΣΩ. Ὅτι τὸ μὲν ζητεῖν ἐστὶ δή που ἐπὶ τούτοις οἷς ἂν μὴ ἐπίστηταί τις, τὸ δὲ βουλεύεσθαι οὐχ οἷόν τ' εἶναι δοκεῖ περὶ ταῦτα ἀνθρώπῳ, περὶ ἃ ἂν τις μὴ ἐπιστήμων ᾖ· ἢ οὐχ οὕτως ἐλέχθη;

ΣΙ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ὑμεῖς χθὲς ἐζητεῖτε τὰ βέλτιστα ἐξευρεῖν τῇ πόλει, οὐκ ἠπίστασθε δὲ αὐτά. εἰ γὰρ ἠπίστασθε, οὐκ ἂν ἔτι δή που ἐζητεῖτε αὐτά, ὥσπερ οὐδὲ ἄλλο οὐδὲν ὧν ἂν ἐπιστώμεθα ζητοῦμεν. ἦ γάρ;

ΣΙ. Οὐ γὰρ οὖν.

ΣΩ. Πότερον οὖν σοι δοκεῖ χρῆναι, ὦ Σίσυφε, ἂν μὴ ἐπίστηταί τις, ζητεῖν ἢ μανθάνειν;

ΣΙ. Μανθάνειν ἔμοιγε νὴ Δία.

390 ΣΩ. Ὀρθῶς γέ σοι δοκεῖ. ἀλλ' ἆρά γε καὶ διὰ τοῦτό σοι δοκεῖ χρῆναι μανθάνειν μᾶλλον ἢ ζητεῖν, διότι θᾶττον ἂν καὶ ῥᾷον ἐξεύροι τις, εἰ παρὰ τῶν ἐπισταμένων μανθάνοι, ἢ εἰ αὐτὸς ὁ μὴ εἰδὼς ζητοίη, ἢ δι' ἄλλο τι;

ΣΙ. Οὐκ, ἀλλὰ διὰ τοῦτο.

ΣΩ. Τί οὖν οὐκ ἀμελήσαντες χθὲς ὑμεῖς τοῦ βουλεύεσθαι περὶ ὧν ἂν μὴ ἐπίσταισθε, καὶ τοῦ ζητεῖν τὰ βέλτιστα διαπράττεσθαι ἐν τῇ πόλει, ἐμανθάνετε παρὰ
B τῶν ἐπισταμένων τινός, ὅπως ἂν ἐδύνασθε τὰ βέλτιστα διαπράττεσθαι τῇ πόλει; ἀλλ' ἐδοκεῖτέ μοι τὴν ἡμέραν ὅλην τὴν χθὲς αὐτοσχεδιάζοντες καὶ διαμαντευόμενοι καθῆσθαι περὶ ὧν οὐκ ἠπίστασθε, ἀμελήσαντες μανθάνειν, οἵ τε ἄρχοντες τῆς πόλεως καὶ σὺ μετὰ τούτων.

VI. Ἴσως δ' ἂν φαίης ταῦτα ἐμοί τε εἶναι πεπαιγμένα πρὸς σέ, τοῦ διαλεχθῆναι μόνον εἵνεκα, σοί τε οὐκ ἐσπου-
C δασμένως ἀποδεδεῖχθαι· ἀλλὰ τοῦτό γε πρὸς Διός, ὦ Σίσυφε, σκόπει νῦν σπουδῇ· εἰ δοθείη τὸ βουλεύσασθαί τι εἶναι, καὶ μὴ ὥσπερ νῦν οὐδὲν ἐξευρίσκεται ἄλλο ὃν ἢ ὅπερ ἐπιστήμη τε καὶ εἰκασία καὶ σχεδιασμός, ὀνόματι σεμνοτέρῳ μόνον κεχρημένον τούτῳ, ἄλλῳ δ' οὐδενί· ἆρ' ἂν οἴει αὐτῷ διευγκεῖν τι ἑτέρους ἑτέρων πρὸς τὸ εὖ βουλεύεσθαί τε καὶ εὐβούλους εἶναι, ὥσπερ καὶ ἐν ταῖς ἄλλαις ἐπιστήμαις ἁπάσαις διαφέρουσιν ἕτεροι ἑτέρων,
D τέκτονες τεκτόνων ἰατροί τε ἰατρῶν αὐληταί τε αὐλητῶν οἵ τε ἄλλοι δημιουργοὶ ἅπαντες, αὐτοί τε αὐτῶν διαφέρουσιν· ὥσπερ καὶ οὗτοι οἱ ἐν ταύταις ταῖς τέχναις, ἢ οὕτω καὶ ἐν τῷ βουλεύεσθαι οἴει ἄν τι διευγκεῖν ἑτέρους ἑτέρων;

ΣΙ. Ἔγωγε.

ΣΩ. Εἰπὲ δή μοι· οὐχ ἅπαντες οἵ τε εὖ βουλευόμενοι καὶ οἱ κακῶς περὶ μελλόντων τινῶν ἔσεσθαι βουλεύονται;

ΣΙ. Πάνυ γε.

ΣΩ. Ἄλλο τι οὖν ἢ τὰ μέλλοντα οὔπω ἔστιν;

ΣΙ. Οὐ γὰρ δή.

ΣΩ. Εἰ γὰρ εἴη, οὐκ ἂν ἔτι δή που μέλλοι ἔσεσθαι, Ε ἀλλ' εἴη ἂν ἤδη· ἢ γάρ;

ΣΙ. Ναί.

ΣΩ. Οὐκοῦν εἰ μήπω ἔστιν, οὕτως οὐδὲ γέγονε τὰ μὴ ὄντα;

ΣΙ. Οὐ γάρ.

ΣΩ. Οὐκοῦν εἰ μήπω μηδὲ γέγονεν, οὔπω οὐδὲ φύσιν ἔχει οὐδεμίαν αὐτῶν;

ΣΙ. Οὐ γὰρ οὖν.

ΣΩ. Ἄλλο τι οὖν ἢ οἵ τε εὖ βουλευόμενοι καὶ οἱ κακῶς ἅπαντες βουλεύονται περὶ πραγμάτων οὔτε ὄντων οὔτε γεγενημένων οὔτε φύσιν οὐδεμίαν ἐχόντων, ὅταν περὶ τῶν μελλόντων βουλεύωνται;

ΣΙ. Φαίνονταί γε.

VII. ΣΩ. Δοκεῖ οὖν σοι δυνατὸν εἶναι τοῦ μὴ ὄντος τυχεῖν τινὶ ἢ εὖ ἢ κακῶς;

ΣΙ. Πῶς τοῦτο λέγεις;

ΣΩ. Ἐγώ σοι φράσω, ὅ γε βούλομαι εἰπεῖν. σκόπει γάρ. πῶς ἂν τοξοτῶν πολλῶν διαγνοίης τόν τε χρηστὸν 391 καὶ τὸν πονηρὸν ὅστις εἴη αὐτῶν; ἢ τοῦτο μὲν οὐ χαλεπὸν εἰδέναι; ἴσως γὰρ ἂν κελεύοις αὐτοὺς ἐπὶ σκοποῦ τινὸς τοξεύειν. ἢ γάρ;

ΣΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν καὶ τὸν πλειστάκις βάλλοντα τοῦ σκοποῦ κατ' ὀρθὸν κρίνοις ἂν νικᾶν;

ΣΙ. Ἔγωγε.

ΣΩ. Εἰ δὲ σκοπὸς μηδεὶς εἴη κείμενος αὐτοῖς τοῦ τοξεύειν, ἀλλ' ἕκαστος βάλλοι ὅπως βούλοιτο, πῶς ἂν διαγνοίης τὸν εὖ ἢ κακῶς τοξεύοντα αὐτῶν;

B ΣΙ. Οὐδαμῶς.

ΣΩ. Οὐκοῦν καὶ τοὺς βουλευομένους ἢ εὖ ἢ κακῶς, εἰ μὴ ἐπίσταιντο περὶ ὅτου βουλεύοιντο, ἀπορήσειας ἂν διαγνῶναι;

ΣΙ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν εἰ περὶ μελλόντων πραγμάτων βουλεύονται οἱ βουλευόμενοι, περὶ τῶν οὐκ ὄντων βουλεύονται;

ΣΙ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν τοῦ γε μὴ ὄντος οὐχ οἷόν τ' οὐδενὶ τυχεῖν ἐστί; πῶς γὰρ ἄν τίς σοι δοκεῖ τοῦ μὴ ὄντος δύνα-

C σθαι τυχεῖν;

ΣΙ. Οὐδαμῶς.

ΣΩ. Οὐκοῦν ἐπειδὴ οὐκ ἔστι τοῦ μὴ ὄντος τυγχάνειν οἷόν τε, οὐδεὶς ἂν ἔτι περὶ τῶν μὴ ὄντων βουλευόμενος τυγχάνοι· τὰ γὰρ μέλλοντα τῶν οὐκ ὄντων ἐστίν· ἢ γάρ;

ΣΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν οὐδ' ὁ μὴ τυγχάνων τῶν μελλόντων οὐδεὶς ἂν οὔτ' εὔβουλος οὔτε κακόβουλος εἴη ἀνθρώπων ἔτι.

ΣΙ. Οὐ φαίνεται.

ΣΩ. Οὐδέ γε εὐβουλότερος οὐδὲ κακοβουλότερος

D ἕτερος ἑτέρου εἶναι, εἰ μὴ καὶ ἐπιτυχέστερος καὶ ἀποτυχέστερος εἴη τοῦ μὴ ὄντος;

ΣΙ. Οὐ γὰρ οὖν.

ΣΩ. Πρὸς τί οὖν ποτὲ ἀποβλέποντες ἄνθρωποι πρᾶγμα ἀποκαλοῦσιν ἀνθρώπους εὐβούλους τε καὶ κακοβούλους εἶναί τινας; ἆρά γε ἄξιόν ἐστι καὶ αὖθίς ποτε περὶ αὐτοῦ ἐνθυμηθῆναι, ὦ Σίσυφε;

ΑΛΚΥΩΝ

[ἢ περὶ μεταμορφώσεως.]

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΧΑΙΡΕΦΩΝ, ΣΩΚΡΑΤΗΣ.

Ι. *Τίς ἡ φωνὴ προσέβαλεν ἡμῖν, ὦ Σώκρατες, πόρρωθεν ἀπὸ τῶν αἰγιαλῶν καὶ τῆς ἄκρας ἐκείνης; ὡς ἡδεῖα ταῖς ἀκοαῖς· τί ποτ' ἄρ' ἐστὶ τὸ φθεγγόμενον ζῶον; ἄφωνα γὰρ δὴ τά γε καθ' ὕδατος διαιτώμενα.*

ΣΩ. Θαλαττία τις, ὦ Χαιρεφῶν, ὄρνις, ἀλκυὼν ὀνομαζομένη, πολύθρηνος καὶ πολύδακρυς, περὶ ἧς δὴ παλαιὸς ἀνθρώποις μεμύθευται λόγος· φασὶ γυναῖκά ποτε οὖσαν Αἰόλου τοῦ Ἕλληνος θυγατέρα κουρίδιον ἄνδρα τὸν αὐτῆς τεθνεῶτα θρηνεῖν πόθῳ φιλίας, Κήϋκα τὸν Τραχίνιον τὸν Ἑωσφόρου τοῦ ἀστέρος, καλοῦ πατρὸς καλὸν υἱόν· εἶτα δὴ πτερωθεῖσαν διά τινα δαιμονίαν βούλησιν εἰς ὄρνιθος τρόπον περιπέτεσθαι τὰ πελάγη ζητοῦσαν ἐκεῖνον, ἐπειδὴ πλαζομένη γῆν πέρι πᾶσαν οὐχ οἵα τ' ἦν εὑρεῖν.

ΙΙ. *ΧΑΙΡ. Ἀλκυὼν τοῦτ' ἔστιν, ὃ σὺ φῄς; οὐ πώποτε πρόσθεν ἠκηκόειν τῆς φωνῆς, ἀλλά μοι ξένη τις τῷ ὄντι προσέπεσε· γοώδη γοῦν ὡς ἀληθῶς τὸν ἦχον ἀφίησι τὸ ζῶον. πηλίκον δέ τι καὶ ἔστιν, ὦ Σώκρατες;*

ΣΩ. Οὐ μέγα· μεγάλην μέντοι διὰ τὴν φιλανθρίαν εἴληφε παρὰ θεῶν τιμήν· ἐπὶ γὰρ τῇ τούτων νεοττείᾳ καὶ τὰς ἀλκυόνων προσαγορευομένας ἡμέρας ὁ κόσμος ἄγει κατὰ χειμῶνα μέσον διαφερούσας ταῖς εὐδίαις, ὧν ἐστι

καὶ ἡ τήμερον παντὸς μᾶλλον. οὐχ ὁρᾷς, ὡς αἴθρια μὲν τὰ ἄνωθεν, ἀκύμαντον δὲ καὶ γαλήνιον ἅπαν τὸ πέλαγος, ὅμοιον ὡς εἰπεῖν κατόπτρῳ;

ΧΑΙΡ. Λέγεις ὀρθῶς· φαίνεται γὰρ ἀλκυονὶς ἡ τήμερον ὑπάρχειν ἡμέρα, καὶ χθὲς δὲ τοιαύτη τις ἦν. ἀλλὰ πρὸς θεῶν, πῶς ποτὲ χρὴ πεισθῆναι τοῖς ἐξ ἀρχῆς, ὦ Σώκρατες, ὡς ἐξ ὀρνίθων γυναῖκές ποτε ἐγένοντο ἢ ὄρνιθες ἐκ γυναικῶν; παντὸς γὰρ μᾶλλον ἀδύνατον φαίνεται πᾶν τὸ τοιοῦτον.

ΙΙΙ. ΣΩ. Ὦ φίλε Χαιρεφῶν, ἐοίκαμεν ἡμεῖς τῶν δυνατῶν τε καὶ ἀδυνάτων ἀμβλυωποί τινες εἶναι κριταὶ παντελῶς· δοκιμάζομεν γὰρ δὴ κατὰ δύναμιν ἀνθρωπίνην ἄγνωστον οὖσαν καὶ ἄπιστον καὶ ἀόρατον· πολλὰ οὖν φαίνεται ἡμῖν καὶ τῶν εὐπόρων ἄπορα καὶ τῶν ἐφικτῶν ἀνέφικτα, συχνὰ μὲν καὶ δι' ἀπειρίαν, συχνὰ δὲ καὶ διὰ νηπιότητα φρενῶν· τῷ ὄντι γὰρ νήπιος ἔοικεν εἶναι πᾶς ἄνθρωπος, καὶ ὁ πάνυ γέρων, ἐπεί τοι μικρὸς πάνυ καὶ νεογιλλὸς ὁ τοῦ βίου χρόνος πρὸς τὸν πάντα αἰῶνα. τί δ' ἄν, ὦ 'γαθέ, οἱ ἀγνοοῦντες τὰς τῶν θεῶν καὶ δαιμονίων δυνάμεις ἢ τὰς τῆς ὅλης φύσεως ἔχοιεν ἂν εἰπεῖν, πότερον δυνατὸν ἢ ἀδύνατόν τι τῶν τοιούτων; ἑώρας, Χαιρεφῶν, τρίτην ἡμέραν ὅσος ἦν ὁ χειμών· καὶ ἐνθυμηθέντι γάρ τῳ δέος ἐπέλθοι καὶ τὰς ἀστραπὰς ἐκείνας καὶ βροντὰς ἀνέμων τε ἐξαίσια μεγέθη· ὑπέλαβεν ἄν τις τὴν οἰκουμένην ἅπασαν καὶ δὴ συμπεσεῖσθαι.

ΙV. Μετὰ μικρὸν δὲ θαυμαστή τις κατάστασις εὐδίας ἐγένετο καὶ διέμεινεν αὖτη γε ἕως τοῦ νῦν· πότερον οὖν οἴει μεῖζόν τε καὶ ἐργωδέστερον εἶναι, τοιαύτην αἰθρίαν ἐξ ἐκείνης τῆς ἀνυποστάτου λαίλαπος καὶ ταραχῆς μεταθεῖναι καὶ εἰς γαλήνην ἀγαγεῖν τὸν ἅπαντα κόσμον, ἢ γυναικὸς εἶδος μεταπλασθὲν εἰς ὄρνιθός τινος ποιῆσαι; τὸ μὲν γὰρ τοιοῦτον καὶ τὰ παιδάρια τὰ παρ' ἡμῖν τὸ

πλάττειν ἐπιστάμενα, πηλὸν ἢ κηρὸν ὅταν λάβῃ, ῥᾳδίως ἐκ τοῦ αὐτοῦ πολλάκις ὄγκου μετασχηματίζει πολλὰς ἰδεῶν φύσεις, τῷ δαιμονίῳ δὲ μεγάλην καὶ οὐδὲ συμβλητὴν ὑπεροχὴν ἔχοντι πρὸς τὰς ἡμετέρας εὐχερῆ τυχὸν ἴσως ἅπαντα τὰ τοιαῦτα καὶ λίαν ἐπεὶ τὸν ὅλον οὐρανὸν πόσῳ τινὶ σαυτοῦ δοκεῖς εἶναι μείζω; φράσαις ἄν;

V. ΧΑΙΡ. Τίς δ' ἀνθρώπων, ὦ Σώκρατες, νοῆσαι δύναιτ' ἂν ἢ ὀνομάσαι τι τῶν τοιούτων; οὐδὲ γὰρ εἰπεῖν ἐφικτόν.

ΣΩ. Οὐκοῦν δὴ θεωροῦμεν καὶ ἀνθρώπων πρὸς ἀλλήλους συμβαλλομένων μεγάλας τινὰς ὑπεροχὰς ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἀδυναμίαις ὑπαρχούσας; ἡ γὰρ τῶν ἀνδρῶν ἡλικία πρὸς τὰ νήπια παντελῶς βρέφη, τὰ πεμπταῖα ἐκ γενετῆς ἢ δεκαταῖα, θαυμαστὴν ὅσην ἔχει τὴν διαφορὰν δυνάμεώς τε καὶ ἀδυναμίας ἐν πάσαις σχεδὸν ταῖς κατὰ τὸν βίον πράξεσι, καὶ ὅσα διὰ τῶν τεχνῶν τούτων οὕτως πολυμηχάνων καὶ ὅσα διὰ τοῦ σώματος καὶ τῆς ψυχῆς ἐργάζονται· ταῦτα γὰρ τοῖς νέοις, ὥσπερ εἶπον, παιδίοις οὐδ' εἰς νοῦν ἐλθεῖν δυνατὰ φαίνεται.

VI. Καὶ τῆς ἰσχύος δὲ τῆς ἑνὸς ἀνδρὸς τελείου τὸ μέγεθος ἀμέτρητον ὅσην ἔχει τὴν ὑπεροχὴν πρὸς ἐκεῖνα· μυριάδας γὰρ τῶν τοιούτων εἷς ἀνὴρ πάνυ πολλὰς χειρώσαιτ' ἂν ῥᾳδίως· ἡ γὰρ ἡλικία παντελῶς ἄπορος δήπου πάντων καὶ ἀμήχανος ἐξ ἀρχῆς παρακολουθεῖ τοῖς ἀνθρώποις κατὰ φύσιν. ὁπηνίκ' οὖν ἄνθρωπος, ὡς ἔοικεν, ἀνθρώπου τοσοῦτον διαφέρει, τί νομίσομεν τὸν σύμπαντα οὐρανὸν πρὸς τὰς ἡμετέρας δυνάμεις φανῆναι αὖ τοῖς τὰ τοιαῦτα θεώρειν ἐφικνουμένοις; πιθανὸν οὖν ἴσως δόξει πολλοῖς, ὅσην ἔχει τὸ μέγεθος τοῦ κόσμου τὴν ὑπεροχὴν πρὸς τὸ Σωκράτους ἢ Χαιρεφῶντος εἶδος, τηλικοῦτον καὶ τὴν δύναμιν αὐτοῦ καὶ τὴν φρόνησιν καὶ διάνοιαν ἀνὰ λόγον διαφέρειν τῆς περὶ ἡμᾶς διαθέσεως.

VII. Σοὶ μὲν οὖν καὶ ἐμοὶ καὶ ἄλλοις πολλοῖς τοιούτοις οὖσι πόλλ' ἄττ' ἀδύνατα τῶν ἑτέροις πάνυ ῥᾳδίων· ἐπεὶ καὶ αὐλῆσαι τοῖς ἀναύλοις καὶ ἀναγνῶναι ἢ γράψαι τοῖς ἀγραμμάτοις γραμματικὸν τρόπον ἀδυνατώτερόν ἐστι, τέως ἂν ὦσιν ἀνεπιστήμονες, τοῦ ποιῆσαι γυναῖκας ἐξ ὀρνίθων ἢ ὄρνιθας ἐκ γυναικῶν. ἡ δὲ φύσις ἐν κηρίῳ σχεδὸν παραβάλλουσα ζῶον ἄπουν καὶ ἄπτερον, πόδας ὑποθεῖσα καὶ πτερώσασα ποικιλίᾳ τε φαιδρύνασα πολλῇ καὶ καλῇ καὶ παντοδαπῇ χρωμάτων, μέλιτταν ἀπέδειξε σοφὴν θείου μέλιτος ἐργάτιν, ἔκ τε ὠῶν ἀφώνων καὶ ἀψύχων πολλὰ γένη πλάττει πτηνῶν τε καὶ πεζῶν καὶ ἐνύδρων ζώων, τέχναις, ὡς λόγος τινῶν, ἱεραῖς αἰθέρος μεγάλου προσχρωμένη.

VIII. Τὰς οὖν ἀθανάτων δυνάμεις μεγάλας οὔσας θνητοὶ καὶ σμικροὶ παντελῶς ὄντες καὶ οὔτε τὰ μεγάλα δυνάμενοι καθορᾶν οὔτ' αὖ τὰ σμικρά, τὰ πλείω δ' ἀποροῦντες καὶ τῶν περὶ ἡμᾶς συμβαινόντων παθῶν, οὐκ ἂν ἔχοιμεν εἰπεῖν βεβαίως οὔτ' ἀλκυόνων πέρι οὔτ' ἀηδόνων· κλεὸς δὲ μύθων, οἷον παρέδοσαν πατέρες, τοιοῦτον καὶ παισὶν ἐμοῖς, ὦ ὄρνι θρήνων μελῳδέ, παραδώσω τῶν σῶν ὕμνων πέρι, καί σου τὸν εὐσεβῆ καὶ φίλανδρον ἔρωτα πολλάκις ὑμνήσω γυναιξὶ ταῖς ἐμαῖς Ξανθίππῃ τε καὶ Μυρτοῖ, λέγων τά τε ἄλλα, πρὸς δὲ καὶ τιμῆς οἵας ἔτυχες παρὰ θεῶν. ἆρα γε καὶ σὺ ποιήσεις τι τοιοῦτον, ὦ Χαιρεφῶν;

ΧΑΙΡ. Πρέπει γοῦν, ὦ Σώκρατες, καὶ τὰ ὑπὸ σου ῥηθέντα διπλασίαν ἔχει τὴν παράκλησιν πρὸς γυναικῶν τε καὶ ἀνδρῶν ὁμιλίαν.

ΣΩ. Οὐκοῦν ἀσπασαμένοις τὴν ἀλκυόνα προάγειν ἤδη πρὸς ἄστυ καιρὸς ἐκ τοῦ Φαληρικοῦ;

ΧΑΙΡ. Πάνυ μὲν οὖν ποιῶμεν οὕτω.

οὐδὲ *εἰ* ἰατρὸς σοφὸς τὴν τέχνην, ἢ τιν' ἄλλην τῶν τοιουτοτρόπων τεχνῶν εὖ καὶ καλῶς δύναιτο μεταχειρίζεσθαι, οὐδενὸς ὅτου οὐκ ἂν ἐντιμότερος εἴη τῶν κατὰ τὰς οὐσίας μεγίστων κτημάτων· ὁ δὲ δυνάμενος εὖ βουλεύεσθαι καὶ αὐτὸς αὑτοῦ πέρι καὶ ἑτέρου, ὅπως ἂν ἄριστα πράττοι, οὐκ ἂν ἄρα δύναιτο διατίθεσθαι, εἴπερ βούλοιτό γε τοῦτο πράττειν;

VII. Ὑπολαβὼν δὲ καὶ ὑποβλέψας ὁ Ἐρυξίας, ὥσπερ τι ἀδικούμενος, Σὺ γὰρ ἄν, ἔφη, ὦ Σώκρατες, εἰ δέοι σε τἀληθῆ λέγειν, φαίης ἂν εἶναι Καλλίου τοῦ Ἱππονίκου πλουσιώτερος; καί τοι οὐκ ἂν ἀμαθέστερός γε ὁμολογήσαις ἂν εἶναι περὶ οὐδενὸς τῶν μεγίστων, ἀλλὰ σοφώτερος· καὶ οὐδὲν μᾶλλον διὰ τοῦτο πλουσιώτερος εἶ. Ἴσως γάρ, ἦν δ' ἐγώ, σὺ οἴει, ὦ Ἐρυξία, τουτουσὶ μὲν τοὺς λόγους, οὓς νυνὶ διαλεγόμεθα, εἶναι παιδιάν, ἐπεὶ οὐκ ἀληθῶς γε οὕτως ἔχειν, ἀλλ' ὥσπερ ἐν τῇ πεττείᾳ εἶναι πεττούς, οὓς εἴ τις φέροιτο, δύναιτ' ἂν τοὺς ἀντιπαίζοντας ποιεῖν ἡττᾶσθαι οὕτως, ὥστε μὴ ἔχειν ὅ τι πρὸς ταῦτα ἀντιφέρωσιν. ἴσως οὖν καὶ περὶ τῶν πλουσίων οἷει μὲν οὐδέν τι μᾶλλον οὕτως ἔχειν, λόγους δέ τινας εἶναι τοιούτους, οὐδέν τι μᾶλλον ἀληθεῖς ἢ ψευδεῖς, οὓς λέγων ἄνθρωπος περιγίγνοιτ' ἂν τῶν ἀντιλεγόντων, ὡς οἱ σοφώτατοι καὶ πλουσιώτατοι ἡμῖν εἰσί, καὶ ταῦτα μέντοι αὐτὸς ψευδῆ λέγων ἀληθῆ λεγόντων. καὶ οὐδὲν μὲν ἴσως θαυμαστόν, ὁμοίως ὥσπερ, εἰ δύ' ἀνθρώπω περὶ γραμμάτων λεγοίτην, ὁ μὲν φάσκων τοῦ Σωκράτους ἄρχειν σῖγμα, ὁ δ' ἕτερος ἄλφα, οὗτος ἂν εἴη κρείττων ὁ λόγος ὁ τοῦ λέγοντος ἄλφα ἢ τοῦ φάσκοντος σῖγμα ἀρχήν.

VIII. Περιβλέψας δὲ πρὸς τοὺς παρόντας ὁ Ἐρυξίας, ἅμα γελῶν τε καὶ ἐρυθριῶν, ὥσπερ οὐ παρὼν τοῖς ἔμπροσθεν λελεγμένοις, Ἐγὼ μέν, ἔφη, ὦ Σώκρατες, οὐ τοιούτους ᾤμην δεῖν τοὺς λόγους εἶναι, οἷς μήτ' ἂν παῖδα δύ-

395

B

C

D

σμικρῶν τούτων ἂν μᾶλλον ὀργίζοιντο οὕτως, ὡς ἂν μάλιστα χαλεπώτατοι εἶησαν. πεπόμφασι δὲ καὶ νῦν ὡς ἡμᾶς
D πρέσβεις, ὡς μὲν ἐμοὶ δοκεῖ, βουλόμενοί τι ἐξαπατῆσαι τὴν πόλιν.

II. Μεταξὺ δὲ ἡμῶν διαλεγομένων ἐτυχέτην οἱ Συρακόσιοι πρέσβεις παριόντες. εἶπεν οὖν ὁ Ἐρασίστρατος, δείξας εἰς τὸν ἕνα τῶν πρέσβεων, Οὑτοσὶ μέντοι, ἔφη, ὦ Σώκρατες, πλουσιώτατός ἐστι τῶν Σικελιωτῶν καὶ Ἰταλιωτῶν. πῶς δ' οὐχί, ἔφη, ᾧ γε ὑπάρχει γῆ τε ἄφθονος οὕτως, ὥστε εὐπορίαν εἶναι, εἴ τις βούλοιτο, πάνυ πολλὴν γεωργεῖν; καὶ αὕτη μὲν τοιαύτη, οἷα οὐχ ἑτέρα ἄλλη ἔν γε τοῖς Ἕλλησιν· ἔτι δὲ τἆλλα τὰ εἰς πλοῦτον ἥκοντα ἅπαντα, ἀνδράποδα καὶ ἵπποι καὶ χρυσὸς καὶ ἄργυρος. ὁρῶν δ' ἐγὼ αὐτὸν ἀναγόμενον, ὡς ἀδολεσχήσοντα περὶ
393 τῆς οὐσίας τῆς τοῦ ἀνθρώπου, ἠρόμην, Τί δαί, ὦ Ἐρασίστρατε; ἀνὴρ ποῖός τις εἶναι δοκεῖ ἐν τῇ Σικελίᾳ; Οὗτος, ἔφη, Σικελιωτῶν καὶ Ἰταλιωτῶν καὶ δοκεῖ καὶ ἔστι πλέον πάντων πονηρότατος ἢ ὅσῳ πλουσιώτατος, οὕτως, ὥστ' εἴ τινα βούλει Σικελιωτῶν ἐρωτᾶν, ὄντινα πονηρότατον νομίζει εἶναι καὶ πλουσιώτατον, οὐδεὶς ἂν φήσειεν ἄλλον ἢ τοῦτον.

III. Οἰηθεὶς δ' αὐτὸν ἐγὼ οὐ περὶ σμικρῶν τὸν λόγον ποιεῖσθαι, ἀλλὰ περὶ τῶν μεγίστων δοκούντων εἶναι,
B ἀρετῆς τε πέρι καὶ πλούτου, ἠρόμην, πότερον ἂν φαίη πλουσιώτερον εἶναι ἄνθρωπον, ὅτῳ ὂν τυγχάνει τάλαντον ἀργυρίου, ἢ ὅτῳ ἀγρὸς ἄξιος δυοῖν ταλάντοιν. Οἶμαι μὲν ἐγώ, ἔφη, ὅτῳ ἀγρός. Οὐκοῦν, ἔφην ἐγώ, κατὰ τὸν αὐτὸν λόγον, καὶ εἰ τυγχάνοι τῳ ἱμάτια ὄντα ἢ στρώματα ἢ τἆλλα ἔτι πλέονος ἄξια ἢ ὅσου τῷ ξένῳ, οὗτος εἴη ἂν πλουσιώτερος. Συνέφη καὶ ταῦτα. Εἰ δέ τίς σοι
C διδοίη αἵρεσιν τούτοιν, πότερον ἂν βούλοιο; Ἐγὼ μὲν ἄν, ἔφη, τὸ πλείστου ἄξιον. Ποτέρως ἂν οἰόμενος πλου-

σιώτερος εἶναι; Οὕτως. Νυνὶ μὲν ἄρα φαίνεται οὗτος ἡμῖν ὢν πλουσιώτατος, ὅστις πλείστου ἄξια κέκτηται; Ναί, ἔφη.

IV. Οὐκοῦν, ἦν δ' ἐγώ, οἱ ὑγιαίνοντες τῶν καμνόντων πλουσιώτεροι ἂν εἶησαν, εἴπερ ἡ ὑγίεια πλείονος ἄξιον κτῆμα ἦ τὰ τοῦ κάμνοντος χρήματα. οὐδείς γ' ἂν οὖν ὅστις οὐχὶ προτιμήσειεν ὑγιαίνειν ὀλίγου κεκτημένος ἀργύριον μᾶλλον, ἢ τὰ βασιλέως τοῦ μεγάλου χρήματα κε- D κτημένος νοσεῖν, δῆλον ὅτι πλείονος ἄξιον οἰόμενος εἶναι τὴν ὑγίειαν. οὐ γὰρ ἄν ποτε προηρεῖτο, εἰ μὴ προτιμότερον ἡγεῖτο εἶναι τῶν χρημάτων. Οὐ γάρ. Οὐκοῦν καὶ εἴ τι ἄλλο φαίνοιτο πλείονος ἄξιον τῆς ὑγιείας, ὁ τοῦτο κεκτημένος, οὗτος ἂν πλουσιώτατος εἴη. Ναί. Εἰ δὲ δή τις ἡμᾶς νυνὶ προσελθὼν ἔροιτο, ὦ Σώκρατες καὶ Ἐρυξία καὶ Ἐρασίστρατε, ἴσχοιτ' ἂν εἰπεῖν μοι, τί ἐστιν ἀνθρώπῳ πλεί- E στου ἄξιον κτῆμα; ἆρά γε τοῦτο, ὃ κτησάμενος ἄνθρωπος ἄριστα βουλεύοιτο περὶ τούτου, ὅπως ἂν βέλτιστα διαπράττοιτο τά τε αὑτὸς αὑτοῦ πράγματα καὶ τὰ τῶν φίλων; τί ἂν εἶναι τοῦτο φήσαιμεν; Ἐμοὶ μὲν δοκεῖ, ὦ Σώκρατες, εὐδαιμονία πλείστου ἄξιον ἀνθρώπῳ εἶναι. Καὶ οὐ κακῶς γ', ἔφην ἐγώ· ἀλλ' ἆρά γε τούτους ἂν τῶν ἀνθρώπων εὐδαιμονεστάτους ἡγησαίμεθα εἶναι, οἵτινες μάλιστα εὖ πράττοιεν; Ἐμοὶ γοῦν δοκοῦσιν.

V. Οὐκοῦν ἂν οὗτοι ἄριστα πράττοιεν, ὅσοιπερ καὶ ἐλάχιστα ἐξαμαρτάνοιεν περὶ σφᾶς αὐτοὺς καὶ περὶ τοὺς ἄλλους ἀνθρώπους, τὰ δὲ πλεῖστα κατορθοῖεν; Πάνυ γε. Οὐκοῦν οἱ ἐπιστάμενοι τὰ κακὰ καὶ τὰ ἀγαθά, καὶ ὅσα πρακτέα καὶ ὅσα μή, οὗτοί ἂν ὀρθότατα πράττοιεν καὶ 394
ἐλάχιστα ἐξαμαρτάνοιεν; Συνεδόκει καὶ ταῦτα. Νῦν ἄρα ἡμῖν φαίνονται οἱ αὐτοὶ ἄνδρες σοφώτατοί τε καὶ ἄριστα πράττοντες καὶ εὐδαιμονέστατοι καὶ πλουσιώτατοι, εἴπερ ἄρα ἡ σοφία τὸ πλείστου ἄξιον κτῆμα φαίνεται.

'Αλλ', ἔφη ὑπολαβὼν ὁ 'Ερασίστρατος, ὦ Σώκρατες, τί ἂν ὄφελος εἴη τῷ ἀνθρώπῳ, εἰ σοφώτερος μὲν εἴη τοῦ Νέ-
B στορος, τὰ δ' ἐπιτήδεια τὰ πρὸς τὴν δίαιταν μὴ τυγχάνοι ἔχων, σιτία καὶ ποτὰ καὶ ἱμάτια καὶ εἴ τι ἄλλο τῶν τοιούτων ἐστί; τί ἂν ἡ σοφία ὠφελοίη; ἢ πῶς ἂν οὗτος πλουσιώτατος εἴη, ὅν γε οὐδὲν κωλύει πτωχεύειν, μηδενός γ' εὐποροῦντα τῶν ἐπιτηδείων; σφόδρα οὖν ἐδόκει καὶ οὗ-
τος λέγειν τί· ἀλλά, Πότερον, ἦν δ' ἐγώ, ὁ μὲν τὴν σοφίαν κεκτημένος πάθοι ἂν τοῦτο, εἰ ἐνδεὴς γένοιτο τούτων·
C εἰ δέ τις τὴν Πουλυτίωνος οἰκίαν κεκτημένος εἴη καὶ πλήρης εἴη χρυσίου καὶ ἀργυρίου ἡ οἰκία, οὐκ ἂν δεηθείη οὐδενός; 'Αλλ', ἔφη, τοῦτον μὲν οὐδὲν κωλύει αὐτίκα νῦν διαθέμενον τὰ κτήματα ἔχειν ἀντ' αὐτῶν τούτων, ὥνπερ καὶ τυγχάνει δεόμενος εἰς τὴν δίαιταν, ἢ καὶ νόμισμα ἀνθ' ὅτου ταῦτα δυνήσεται πορίζεσθαι, καὶ ἁπάντων εὐπορεῖν παραχρῆμα.

VI. Εἰ γε τυγχάνοιεν, ἔφην ἐγώ, οἱ ὄντες ἄνθρωποι
D δεόμενοι τοιαύτην σφίσιν οἰκίαν γενέσθαι μᾶλλον, ἥπερ τὴν ἐκείνου σοφίαν· ἐπεὶ εἴ γε τοιοῦτοι εἰσὶν, οἷοι τὴν τοῦ ἀνθρώπου σοφίαν περὶ πλείονος ἡγεῖσθαι καὶ τὰ ἀπὸ ταύτης γιγνόμενα, πολὺ μᾶλλον *ἂν* οὗτος ἔχοι διατίθεσθαι, εἴπερ τυγχάνοι τι δεόμενος καὶ βούλοιτο καὶ αὐτὴν καὶ τὰ ἔργα τὰ ἀπὸ ταύτης διατίθεσθαι. ἢ τῆς μὲν οἰκίας ἥ τε χρῆσις πολλὴ τυγχάνει οὖσα καὶ ἀναγκαία, καὶ μεγάλα τῷ ἀνθρώπῳ τὰ διαφέροντα τὰ πρὸς τὸν βίον, ἐν τῇ τοιαύτῃ οἰκίᾳ οἰκεῖν μᾶλλον ἢ ἐν σμικρῷ καὶ φαύλῳ
E οἰκιδίῳ· τῆς δὲ σοφίας ἥ τε χρεία ὀλίγου ἀξία καὶ τὰ διαφέροντα σμικρά, ἢ σοφῷ ἢ ἀμαθεῖ εἶναι περὶ τῶν μεγίστων; ἢ τούτου μὲν καταφρονεῖν τοὺς ἀνθρώπους καὶ μὴ εἶναι ὠνητάς, τῆς δὲ κυπαρίττου τῆς ἐν τῇ οἰκίᾳ καὶ Πεντελικῶν λίθων πολλοὺς τοὺς δεομένους τε καὶ βουλομένους πρίασθαι; οὔκουν ἂν εἴ γε σοφὸς εἴη κυβερνήτης,

οὐδὲ *εἰ* ἰατρὸς σοφὸς τὴν τέχνην, ἤ τιν' ἄλλην τῶν τοιουτοτρόπων τεχνῶν εὖ καὶ καλῶς δύναιτο μεταχειρίζεσθαι, οὐδενὸς ὅτου οὐκ ἂν ἐντιμότερος εἴη τῶν κατὰ τὰς οὐσίας μεγίστων κτημάτων· ὁ δὲ δυνάμενος εὖ βουλεύεσθαι καὶ αὐτὸς αὑτοῦ πέρι καὶ ἑτέρου, ὅπως ἂν ἄριστα πράττοι, οὐκ ἂν ἄρα δύναιτο διατίθεσθαι, εἴπερ βούλοιτό γε τοῦτο πράττειν;

VII. Ὑπολαβὼν δὲ καὶ ὑποβλέψας ὁ Ἐρυξίας, ὥσπερ 395
τι ἀδικούμενος, Σὺ γὰρ ἄν, ἔφη, ὦ Σώκρατες, εἰ δέοι σε τἀληθῆ λέγειν, φαίης ἂν εἶναι Καλλίου τοῦ Ἱππονίκου πλουσιώτερος; καί τοι οὐκ ἂν ἀμαθέστερός γε ὁμολογήσαις ἂν εἶναι περὶ οὐδενὸς τῶν μεγίστων, ἀλλὰ σοφώτερος· καὶ οὐδὲν μᾶλλον διὰ τοῦτο πλουσιώτερος εἶ. Ἴσως γάρ, ἦν δ' ἐγώ, σὺ οἴει, ὦ Ἐρυξία, τουτουσὶ μὲν τοὺς λόγους, οὓς νυνὶ διαλεγόμεθα, εἶναι παιδιάν, ἐπεὶ οὐκ ἀληθῶς γε οὕτως ἔχειν, ἀλλ' ὥσπερ ἐν τῇ πεττείᾳ εἶναι πετ- B
τούς, οὓς εἴ τις φέροιτο, δύναιτ' ἂν τοὺς ἀντιπαίζοντας ποιεῖν ἠττᾶσθαι οὕτως, ὥστε μὴ ἔχειν ὅ τι πρὸς ταῦτα ἀντιφέρωσιν. ἴσως οὖν καὶ περὶ τῶν πλουσίων οἴει μὲν οὐδέν τι μᾶλλον οὕτως ἔχειν, λόγους δέ τινας εἶναι τοιούτους, οὐδέν τι μᾶλλον ἀληθεῖς ἢ ψευδεῖς, οὓς λέγων ἄνθρωπος περιγίγνοιτ' ἂν τῶν ἀντιλεγόντων, ὡς οἱ σοφώτατοι καὶ πλουσιώτατοι ἡμῖν εἰσί, καὶ ταῦτα μέντοι αὐτὸς ψευδῆ λέ- C
γων ἀληθῆ λεγόντων. καὶ οὐδὲν μὲν ἴσως θαυμαστόν, ὁμοίως ὥσπερ, εἰ δύ' ἀνθρώπω περὶ γραμμάτων λεγοίτην, ὁ μὲν φάσκων τοῦ Σωκράτους ἄρχειν σῖγμα, ὁ δ' ἕτερος ἄλφα, οὗτος ἂν εἴη κρείττων ὁ λόγος ὁ τοῦ λέγοντος ἄλφα ἢ τοῦ φάσκοντος σῖγμα ἀρχήν.

VIII. Περιβλέψας δὲ πρὸς τοὺς παρόντας ὁ Ἐρυξίας, ἅμα γελῶν τε καὶ ἐρυθριῶν, ὥσπερ οὐ παρὼν τοῖς ἔμπροσθεν λελεγμένοις, Ἐγὼ μέν, ἔφη, ὦ Σώκρατες, οὐ τοιού- D
τους ᾤμην δεῖν τοὺς λόγους εἶναι, οἷς μήτ' ἂν πεῖσαι δύ-

ναικό τις μηδένα τῶν παρόντων, μήτ' ἂν ὠφεληθείη μηδὲν ἀπ' αὐτῶν· τίς γὰρ ἂν ἀνθρώπων ποτὲ πεισθείη νοῦν ἔχων, ὡς οἱ σοφώτατοι ἡμῖν πλουσιώτατοι; ἀλλὰ μᾶλλον, ἐπειδὴ περὶ τοῦ πλουτεῖν διαλέγεσθαι δεῖν, ὁπόθεν καλόν ἐστι πλουτεῖν καὶ ὁπόθεν αἰσχρόν, καὶ αὐτὸ τὸ πλούσιον εἶναι ὁποῖόν τί ἐστι, πότερον ἀγαθὸν ἢ κακόν. Εἶεν, ἔφην ἐγώ· τοιγαροῦν τὸ λοιπὸν δὴ φυλαξόμεθα· καλῶς δὲ καὶ σὺ ποιεῖς παραινῶν. ἀλλὰ τί οὐκ αὐτός, ἐπείπερ εἰσηγεῖ τὸν λόγον, ἐπεχείρησας εἰπεῖν, πότερον σοὶ δοκεῖ ἀγαθὸν εἶναι τὸ πλουτεῖν ἢ κακόν; ἐπειδήπερ οἵ γ' ἔμπροσθεν λόγοι οὐ περὶ τούτου δοκοῦσί σοι εἰρῆσθαι. Ἐμοὶ μὲν τοίνυν δοκεῖ ἀγαθὸν εἶναι, ἔφη, τὸ πλουτεῖν.

IX. Ἔτι δ' αὐτοῦ τι βουλομένου λέγειν, ὑποκρούσας ὁ Κριτίας, Σὺ γὰρ εἰπέ μοι, ὦ Ἐρυξία, ἀγαθὸν ἡγεῖ τὸ πλουτεῖν; Ἔγωγε νὴ Δία· ἢ γὰρ ἂν μαινοίμην· καὶ οὐδένα γε οἶμαι εἶναι, ὅστις ἂν οὐχ ὁμολογήσειε ταῦτα. Καὶ μήν, ἔφη ὁ ἕτερος, καὶ ἐγὼ οἶμαι οὐδένα ὄντινα οὐκ ἂν 396 ποιῆσαι ὁμολογεῖν ἐμοί, ἐνίοις ἀνθρώποις κακὸν εἶναι τὸ πλουτεῖν· οὐκ ἂν οὖν, εἴπερ ἀγαθὸν ἦν, κακὸν ἡμῶν ἐνίοις ἐφαίνετο. εἶπον οὖν αὐτοῖν ὅτι Ἐγώ τοι ὑμᾶς, εἰ μὲν ἐτυγχάνετε περὶ τούτου διαφερόμενοι, ὁπότερος ὑμῶν ἀληθέστερα λέγει περὶ ἱππασίας, ὅπως ἄν τις ἄριστα �ιπ- Β πεύοι, εἰ μὲν αὐτὸς ἐτύγχανον ἱππικὸς ὤν, αὐτὸς ἂν ὑμᾶς ἐπειρώμην παύειν τῆς διαφορᾶς· ἠσχυνόμην γὰρ ἄν, εἰ παρὼν μὴ καθ' ὅσον οἷός τ' ἦν ἐκώλυον διαφερομένους· ἢ εἰ περὶ ἑτέρου οὑτινοσοῦν διαφερόμενοι μηδέν τι μᾶλλον ἐμέλλετε, εἰ μὴ ὁμολογοῖτε τουτί, μᾶλλον ἐχθρὼ ἀντὶ φίλων ἀπαλλαγῆναι·

X. νῦν δέ, ἐπειδὴ τετυχήκατε περὶ τοιούτου πράγματος διαφερομένω, ᾧ ἀνάγκη προσχρῆσθαι παρ' ὅλον τὸν βίον, καὶ μεγάλα διαφέρει πότερον ἐπιμελητέον ἐστὶ τούτου ὡς ὠφελίμου ὄντος ἢ οὔ, καὶ ταῦτα οὐ τῶν φαύ-

λων, ἀλλὰ τῶν μεγίστων δοκούντων εἶναι τοῖς Ἕλλησιν· οἱ γοῦν πατέρες τουτὶ πρῶτον τοῖς σφετέροις υἱέσι παραινοῦσιν, ἐπειδὰν εἰς τὴν ἡλικίαν τάχιστα ἀφίκωνται τοῦ ἤδη φρονεῖν, ὡς δοκοῦσι, σκοπεῖν ὁπόθεν πλούσιοι ἔσονται, ὡς, ἂν μέν τι ἔχῃς, ἄξιός του εἶ, ἐὰν δὲ μή, οὐδενός· εἰ οὖν σπουδάζεται μὲν οὕτωσὶ σφόδρα, ὑμεῖς δὲ τἆλλα συμφερομένω περὶ τούτου οὕτωσὶ μεγάλου πράγματος διαφέρεσθε, ἔτι δ' αὖ πρὸς τούτοις περὶ τοῦ πλουτεῖν διαφέρεσθε οὐχ ὁπότερον μέλαν ἢ λευκὸν οὐδὲ ὁπάτερον κοῦφον ἢ βαρύ, ἀλλ' ὁπότερον κακὸν ἢ ἀγαθόν, ὡς ἂν μάλιστα καὶ εἰς ἔχθραν καταστῆναι, εἰ τῶν κακῶν τε καὶ ἀγαθῶν πέρι διαφέρεσθε, καὶ ταῦτα μέντοι τὰ μάλιστα φίλω τε ὄντε καὶ συγγενέε· ἐγὼ οὖν, ὅσον ἂν ἐπ' ἐμοὶ ᾖ, οὐ περιόψομαι ὑμᾶς αὐτοὺς αὐτοῖς διαφερομένους, ἀλλ' εἰ μὲν αὐτὸς οἷός τ' ἦν, φράσας ἂν ὑμῖν ὅπως ἔχει ἔπαυσα τῆς διαφορᾶς· νυνὶ δ' ἐπειδὴ αὐτὸς μὲν οὐ τυγχάνω οἷός τ' ὤν, ὑμῶν δ' ἑκάτερος οἴεται οἷός τ' εἶναι ὁμολογεῖν ποιῆσαι τὸν ἕτερον, ἕτοιμός εἰμι συλλαμβάνειν καθ' ὅσον ἂν δύνωμαι, ἵνα διομολογηθῇ ὑμῖν, ὅπως ἔχει τοῦτο. σὺ οὖν, ἔφην, ὦ Κριτία, ἐπιχείρει ποιῆσαι ἡμᾶς ὁμολογεῖν, ὥσπερ ὑπεδέξω.

XI. Ἀλλ', ἔφη, ἐγὼ μέν, ὥσπερ ἠρξάμην, Ἐρυξίαν τοῦτον ἡδέως ἐροίμην ἄν, εἰ δοκοῦσιν αὐτῷ εἶναι ἄνθρωποι ἄδικοι καὶ δίκαιοι. Νὴ Δία, ἔφη ἐκεῖνος, καὶ σφόδρα μέντοι. Τί δέ; τὸ ἀδικεῖν πότερον κακόν σοι δοκεῖ εἶναι ἢ ἀγαθόν; Κακὸν ἔμοιγε. Δοκεῖ δ' ἄν σοι ἄνθρωπος, εἰ μοιχεύοι τὰς τῶν πέλας γυναῖκας ἐπ' ἀργυρίῳ, ἀδικεῖν ἂν ἢ οὔ; καὶ ταῦτα μέντοι καὶ τῆς πόλεως καὶ τῶν νόμων κωλυόντων; Ἀδικεῖν ἄν ἔμοιγε δοκεῖ. Οὐκοῦν, ἔφη, εἰ μὲν πλούσιος τυγχάνοι ὢν καὶ ἀργύριον δυνατὸς ἀναλῶσαι ὁ ἄδικός τε ἄνθρωπος καὶ ὁ βουλόμενος, ἐξαμαρτάνοι ἄν· εἰ δέ γε μὴ ὑπάρχοι πλουσίῳ εἶναι τῷ ἀνθρώπῳ,

οὐκ ἔχων ὁπόθεν ἀναλίσκοι, οὐδ' ἂν διαπράττεσθαι δύναιτο ἃ βούλεται, ὥστ' οὐκ ἂν οὐδὲ ἐξαμαρτάνοι. διὸ καὶ λυσιτελοῖ ἂν τῷ ἀνθρώπῳ μᾶλλον μὴ εἶναι πλουσίῳ, εἴπερ ἧττον διαπράξεται ἃ βούλεται· βούλεται δὲ μοχθηρά. καὶ πάλιν αὖ τὸ νοσεῖν πότερον ἂν φαίης κακὸν ἢ ἀγαθὸν εἶναι; Κακὸν ἔγωγε. Τί δέ; δοκοῦσί τινές σοι
B ἀκρατεῖς εἶναι ἄνθρωποι; Ἔμοιγε. Οὐκοῦν εἰ βέλτιον εἴη πρὸς ὑγίειαν τούτῳ τῷ ἀνθρώπῳ, ἀπέχεσθαι σίτων καὶ ποτῶν καὶ τῶν ἄλλων τῶν ἡδέων δοκούντων εἶναι, ὁ δὲ μὴ οἷός τ' εἴη δι' ἀκράτειαν, βέλτιον ἂν εἴη τούτῳ τῷ ἀνθρώπῳ μὴ ὑπάρχειν ὁπόθεν ἐκποριεῖται ταῦτα μᾶλλον, ἢ πολλὴν περιουσίαν εἶναι τῶν ἐπιτηδείων; οὕτω γὰρ ἂν αὐτῷ οὐκ ἐξουσία εἴη ἐξαμαρτάνειν, οὐδ' εἰ σφόδρα βούλοιτο.

XII. Ἐδόκει οὖν εὖ καὶ καλῶς διειλέχθαι ὁ Κριτίας
C οὕτως, ὥστ' εἰ μὴ ἠσχύνετο τοὺς παρόντας ὁ Ἐρυξίας, οὐδὲν αὐτὸν ἐκώλυεν ἀναστάντα τύπτειν τὸν Κριτίαν· οὕτως ᾤετο μεγάλου τινὸς ἐστερῆσθαι, ἐπεὶ αὐτῷ φανερὸν ἐγένετο, ὅτι οὐκ ὀρθῶς τὸ πρότερον ἐδόξαζε περὶ τοῦ πλουτεῖν. καταμαθὼν δ' ἐγὼ οὕτως ἔχοντα τὸν Ἐρυξίαν καὶ εὐλαβούμενος, μὴ πορρωτέρω τις λοιδορία καὶ ἐναντίωσις γένοιτο, Τουτονὶ μὲν τὸν λόγον, ἔφην ἐγώ, πρώην
D ἐν Λυκείῳ ἀνὴρ σοφὸς λέγων Πρόδικος ὁ Κεῖος ἐδόκει τοῖς παροῦσι φλυαρεῖν οὕτως, ὥστε μηδένα δύνασθαι πεῖσαι τῶν παρόντων, ὡς ἀληθῆ λέγει· καὶ δῆτα καὶ μειράκιόν τι σφόδρα νέον προσελθὸν καὶ στωμύλον προσκαθιζόμενον κατεγέλα τε καὶ ἐχλεύαζε καὶ ἔσειεν αὐτόν, βουλόμενον λόγου λαμβάνειν ὧν ἔλεγε· καὶ μέντοι καὶ πολὺ μᾶλλον εὐδοκίμησε παρὰ τοῖς ἀκροωμένοις ἢπερ ὁ Πρόδικος. Ἆρ' οὖν, ἔφη ὁ Ἐρασίστρατος, ἔχοις ἂν ἡμῖν ἀπαγγεῖλαι
E τὸν λόγον; Πάνυ μὲν οὖν, ἐὰν ἄρα ἀναμνησθῶ· ὠδὶ γάρ πως, ὡς ἐγῷμαι, εἶχεν.

XIII. Ἠρώτα γὰρ αὐτὸν τὸ μειράκιον, πῶς οἴεται κακὸν εἶναι τὸ πλουτεῖν, καὶ ὅπως ἀγαθόν· ὁ δ' ὑπολαβών, ὥσπερ καὶ σὺ νῦν δή, ἔφη, Τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων ἀγαθόν, καὶ τοῖς ἐπισταμένοις, ὅπου δεῖ χρῆσθαι τοῖς χρήμασι, τούτοις μὲν ἀγαθόν, τοῖς δὲ μοχθηροῖς καὶ ἀνεπιστήμοσι κακόν. ἔχει δ', ἔφη, καὶ τἆλλα πράγματα οὕτω πάντα· ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ χρώμενοι, τοιαῦτα καὶ τὰ πράγματα αὐτοῖς ἀνάγκη εἶναι. καλῶς δ', ἔφη, δοκεῖ μοι καὶ τὸ τοῦ Ἀρχιλόχου πεποιῆσθαι,

καὶ φρονεῦσι τοῖ' ὁκοίοις ἐγκυρέωσιν ἔργμασιν.

Νῦν ἄρ', ἔφη τὸ μειράκιον, εἴ τις ἐμὲ σοφὸν ποιοῖ ταύτην 398
τὴν σοφίαν, ἣν οἱ ἀγαθοὶ ἄνδρες σοφοί εἰσιν, ἅμα ἀνάγκη καὶ τὰ ἄλλα πράγματ' αὐτὸν ἀγαθὰ ἐμοὶ ποιεῖν, πρὸς μὲν αὐτὰ ἐκεῖνα μηδὲν πραγματευσάμενον, ὅτι δ' ἐμὲ ἀντ' ἀμαθοῦς σοφὸν πεποίηκεν ἄρα· ὥσπερ εἴ τις ἐμὲ νυνὶ γραμματικὸν ποιήσειεν, ἀνάγκη αὐτὸν καὶ τἆλλα πράγματα γραμματικὰ ἐμοὶ ποιεῖν, καὶ εἰ μουσικόν, μουσικά· ὥστε ὅταν ἀγαθὸν ἐμὲ ποιήσῃ, ἅμα ἀγαθὰ καὶ τὰ πράγ- Β
ματα πεποιηκέναι μοι.

XIV. Οὐ μέντοι ταῦτά γε ξυνέφη [ὁ Πρόδικος], ἀλλ' ἐκεῖνα μὲν ὡμολόγει, πότερον δέ σοι δοκεῖ, ἔφη, ὥσπερ οἰκίαν ποιεῖν ἀνθρώπου ἔργον εἶναι, οὕτω καὶ πράγματα ἀγαθὰ ποιεῖν; ἢ ἀνάγκη, ὁποῖ' ἄττ' ἂν τὴν ἀρχὴν γένωνται, εἴτε κακὰ εἴτε ἀγαθά, τοιαῦτα διατελεῖν ὄντα αὐτά; ὑποπτεύσας δέ μοι δοκεῖ ὁ Πρόδικος, ᾗ ἔμελλεν ὁ λόγος χωρήσεσθαι αὐτῷ, σφόδρα πανούργως — ἵνα μὴ πάντων C
τῶν παρόντων ἐναντίον φαίνοιτο ἐξελεγχόμενος ὑπὸ τοῦ μειρακίου· μόνῳ μὲν γὰρ αὐτῷ τοῦτό παθεῖν οὐδὲν ᾤετο διαφέρειν — ἔφη ἀνθρώπου ἔργον εἶναι. Πότερον δέ σοι, ἔφη, δοκεῖ εἶναι διδακτὸν ἡ ἀρετὴ ἢ ἔμφυτον; Διδακτόν, ἔφη, ἔμοιγε. Οὐκοῦν, ἔφη, ἂν δοκεῖ σοι ἠλίθιος

οὐκ ἔχων ὁπόθεν ἀναλίσκοι, οὐδ' ἂν διαπράττεσθαι δύναιτο ἃ βούλεται, ὥστ' οὐκ ἂν οὐδὲ ἁμαρτάνοι. διὸ καὶ λυσιτελοῖ ἂν τῷ ἀνθρώπῳ μᾶλλον μὴ εἶναι πλουσίῳ, εἴπερ ἧττον διαπράξεται ἃ βούλεται· βούλεται δὲ μοχθηρά. καὶ πάλιν αὖ τὸ νοσεῖν πότερον ἂν φαίης κακὸν ἢ ἀγαθὸν εἶναι; Κακὸν ἔγωγε. Τί δέ; δοκοῦσί τινές σοι
B ἀκρατεῖς εἶναι ἄνθρωποι; Ἔμοιγε. Οὐκοῦν εἰ βέλτιον εἴη πρὸς ὑγίειαν τούτῳ τῷ ἀνθρώπῳ, ἀπέχεσθαι σίτων καὶ ποτῶν καὶ τῶν ἄλλων τῶν ἡδέων δοκούντων εἶναι, ὁ δὲ μὴ οἷός τ' εἴη δι' ἀκράτειαν, βέλτιον ἂν εἴη τούτῳ τῷ ἀνθρώπῳ μὴ ὑπάρχειν ὁπόθεν ἐκποριεῖται ταῦτα μᾶλλον, ἢ πολλὴν περιουσίαν εἶναι τῶν ἐπιτηδείων; οὕτω γὰρ ἂν αὐτῷ οὐκ ἐξουσία εἴη ἐξαμαρτάνειν, οὐδ' εἰ σφόδρα βούλοιτο.

XII. Ἐδόκει οὖν εὖ καὶ καλῶς διειλέχθαι ὁ Κριτίας
C οὕτως, ὥστ' εἰ μὴ ἠσχύνετο τοὺς παρόντας ὁ Ἐρυξίας, οὐδὲν αὐτὸν ἐκώλυεν ἀναστάντα τύπτειν τὸν Κριτίαν· οὕτως ᾤετο μεγάλου τινὸς ἐστερῆσθαι, ἐπεὶ αὐτῷ φανερὸν ἐγένετο, ὅτι οὐκ ὀρθῶς τὸ πρότερον ἐδόξαζε περὶ τοῦ πλουτεῖν. καταμαθὼν δ' ἐγὼ οὕτως ἔχοντα τὸν Ἐρυξίαν καὶ εὐλαβούμενος, μὴ πορρωτέρω τις λοιδορία καὶ ἐναντίωσις γένοιτο, Τουτονὶ μὲν τὸν λόγον, ἔφην ἐγώ, πρώην
D ἐν Λυκείῳ ἀνὴρ σοφὸς λέγων Πρόδικος ὁ Κεῖος ἐδόκει τοῖς παροῦσι φλυαρεῖν οὕτως, ὥστε μηδένα δύνασθαι πεῖσαι τῶν παρόντων, ὡς ἀληθῆ λέγει· καὶ δῆτα καὶ μειράκιόν τι σφόδρα νέον προσελθὸν καὶ στωμύλον προσκαθιζόμενον κατεγέλα τε καὶ ἐχλεύαζε καὶ ἔσειεν αὐτόν, βουλόμενον λόγον λαμβάνειν ὧν ἔλεγε· καὶ μέντοι καὶ πολὺ μᾶλλον εὐδοκίμησε παρὰ τοῖς ἀκροωμένοις ἢπερ ὁ Πρόδικος. Ἆρ' οὖν, ἔφη ὁ Ἐρασίστρατος, ἔχοις ἂν ἡμῖν ἀπαγγεῖ-
E τὸν λόγον; Πάνυ μὲν οὖν, ἐὰν ἄρα ἀναμνησθῶ· ὡδί γ πως, ὡς ἐγῷμαι, εἶχεν.

XIII. Ἠρώτα γὰρ αὐτὸν τὸ μειράκιον, πῶς οἴεται κακὸν εἶναι τὸ πλουτεῖν, καὶ ὅπως ἀγαθόν· ὁ δ' ὑπολαβών, ὥσπερ καὶ σὺ νῦν δή, ἔφη, Τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων ἀγαθόν, καὶ τοῖς ἐπισταμένοις, ὅπου δεῖ χρῆσθαι τοῖς χρήμασι, τούτοις μὲν ἀγαθόν, τοῖς δὲ μοχθηροῖς καὶ ἀνεπιστήμοσι κακόν. ἔχει δ', ἔφη, καὶ τἆλλα πράγματα οὕτω πάντα· ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ χρώμενοι, τοιαῦτα καὶ τὰ πράγματα αὐτοῖς ἀνάγκη εἶναι. καλῶς δ', ἔφη, δοκεῖ μοι καὶ τὸ τοῦ Ἀρχιλόχου πεποιῆσθαι,

καὶ φρονεῦσι τοῖ' ὁκοίοις ἐγκυρέωσιν ἔργμασιν.

Νῦν ἄρ', ἔφη τὸ μειράκιον, εἴ τις ἐμὲ σοφὸν ποιοῖ ταύτην 398
τὴν σοφίαν, ἣν οἱ ἀγαθοὶ ἄνδρες σοφοί εἰσιν, ἅμα ἀνάγκη καὶ τὰ ἄλλα πράγματ' αὐτὸν ἀγαθὰ ἐμοὶ ποιεῖν, πρὸς μὲν αὐτὰ ἐκεῖνα μηδὲν πραγματευσάμενον, ὅτι δ' ἐμὲ ἀντ' ἀμαθοῦς σοφὸν πεποίηκεν ἄρα· ὥσπερ εἴ τις ἐμὲ νυνὶ γραμματικὸν ποιήσειεν, ἀνάγκη αὐτὸν καὶ τἆλλα πράγματα γραμματικὰ ἐμοὶ ποιεῖν, καὶ εἰ μουσικόν, μουσικά· ὥστε ὅταν ἀγαθὸν ἐμὲ ποιήσῃ, ἅμα ἀγαθὰ καὶ τὰ πράγ- B
ματα πεποιηκέναι μοι.

XIV. Οὐ μέντοι ταῦτά γε ξυνέφη [ὁ Πρόδικος], ἀλλ' ἐκεῖνα μὲν ὡμολόγει, πότερον δέ σοι δοκεῖ, ἔφη, ὥσπερ οἰκίαν ποιεῖν ἀνθρώπου ἔργον εἶναι, οὕτω καὶ πράγματα ἀγαθὰ ποιεῖν; ἢ ἀνάγκη, ὁποῖ' ἄττ' ἂν τὴν ἀρχὴν γένωνται, εἴτε κακὰ εἴτε ἀγαθά, τοιαῦτα διατελεῖν ὄντα αὐτά; ὑποπτεύσας δέ μοι δοκεῖ ὁ Πρόδικος, ἢ ἔμελλεν ὁ λόγος χωρήσεσθαι αὐτῷ, σφόδρα πανούργως — ἵνα μὴ πάντων C
τῶν παρόντων ἐναντίον φαίνοιτο ἐξελεγχόμενος ὑπὸ τοῦ μειρακίου· μόνῳ μὲν γὰρ αὐτῷ τοῦτο παθεῖν οὐδὲν ἔφετο διαφέρειν — ἔφη ἀνθρώπου ἔργον εἶναι. Πότερον δέ σοι, ἔφη, δοκεῖ εἶναι διδακτὸν ἡ ἀρετὴ ἢ ἔμφυτον; Διδακτόν, ἔφη, ἔμοιγε. Οὐκοῦν, ἔφη, ἂν δοκεῖ σοι ἡλίθιος

εἶναι, εἴ τις οἷοιτο τοῖς θεοῖς εὐχόμενος γραμματικὸς ἂν γενέσθαι ἢ μουσικὸς ἢ ἑτέραν τινὰ ἐπιστήμην λαβεῖν, ἣν ἀνάγκη μαθόντα παρ' ἑτέρου ἢ αὐτὸν ἐξευρόντα κτήσασθαι; Συνέφη καὶ ταῦτα. Οὐκοῦν, ἔφη τὸ μειράκιον, σύ, ὦ Πρόδικε, ὅταν εὔχῃ τοῖς θεοῖς εὖ πράττειν καὶ ἀγαθά σοι εἶναι, τότε οὐδὲν ἕτερον εὔχει ἢ καλὸς κἀγαθὸς γενέσθαι, εἴπερ γε τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων καὶ τὰ πράγματα τυγχάνει ἀγαθὰ ὄντα, τοῖς δὲ φαύλοις μοχθηρά. εἴπερ οὖν τυγχάνει ἡ ἀρετὴ διδακτὸς οὖσα, οὐδὲν ἕτερον φαίνοιο ἂν εὐχόμενος, ἢ διδαχθῆναι ἃ οὐκ ἐπίστασαι.

XV. Εἶπον οὖν ἐγὼ πρὸς τὸν Πρόδικον, ὅτι μοι δοκεῖ οὐχὶ φαῦλον πρᾶγμα πεπονθέναι, εἰ τυγχάνει τούτου διημαρτηκώς, εἰ οἴεται ἡμῖν παρὰ τῶν θεῶν, ἃ εὐχόμεθα, γενέσθαι ἂν καὶ ἅμα· εἰ καὶ σὺ ἑκάστοτε σπουδῇ βαδίζων εἰς πόλιν προσευχόμενος αἰτεῖς παρὰ τῶν θεῶν δοῦναί σοι ἀγαθά, οὐ μέντοι οἶσθα εἰ οἷοί τέ σοι ἐκεῖνοι ταῦτα δοῦναι, ἃ σὺ τυγχάνεις αἰτούμενος, ὥσπερ ἂν εἰ πρὸς τὰς τοῦ γραμματιστοῦ φοιτῶν θύρας ἀντιβολοίης σοι δοῦναι γραμματικὴν ἐπιστήμην μηδὲν ἄλλο πραγματευσαμένῳ, ἀλλὰ ἤντινα λαβὼν παραχρῆμα καὶ δυνήσει πράττειν τὰ τοῦ γραμματιστοῦ ἔργα. ταῦτα ἐμοῦ λέγοντος, ὁ Πρόδικος ἀντανήγετο πρὸς τὸ μειράκιον ὡς ἀμυνούμενος καὶ ἐπιδείξων ταῦτα, ἅπερ σὺ νῦν δή, ἀγανακτῶν εἰ φαίνοιτο μάτην τοῖς θεοῖς εὐχόμενος· εἶτα προσελθὼν ὁ γυμνασίαρχος ἀπαλλάττεσθαι αὐτὸν ἐκ τοῦ γυμνασίου ἐκέλευεν, ὡς οὐκ ἐπιτήδεια τοῖς νέοις διαλεγόμενον, εἰ δὲ μὴ ἐπιτήδεια, δῆλον ὅτι μοχθηρά.

XVI. Τούτου δή σοι ἕνεκα ταῦτα διῆλθον, ἵνα θεάσαιο, ὡς ἔχουσιν οἱ ἄνθρωποι πρὸς τὴν φιλοσοφίαν, εἰ μέν γε Πρόδικος πρώην λέγων ταῦτα μαίνεσθαι τοῖς παροῦσιν ἐδόκει [ἂν] οὕτως, ὥστε καὶ ἐκβληθῆναι ἐκ τοῦ γυ-

μνασίου, σὺ δὲ νυνὶ οὕτω σφόδρα δοκεῖς σὺ διειλέχθαι, B
ὥστε οὐ μόνον τοὺς παρόντας πεῖσαι, ἀλλὰ καὶ τὸν ἀντι-
λέγοντα ποιῆσαι ὁμολογεῖν σοι· θῆλον ὅτι ὥσπερ ἐν τοῖς
δικαστηρίοις, εἰ δύ' ἄνθρωποι τύχοιεν τὴν αὐτὴν μαρτυ-
ρίαν μαρτυροῦντες, ὁ μὲν καλὸς κἀγαθὸς δοκῶν εἶναι, ὁ
δὲ μοχθηρός, διὰ τὴν τοῦ μοχθηροῦ μαρτυρίαν οὐδὲν ἄν
τι μᾶλλον οἱ δικασταὶ πεισθείησαν, ἀλλὰ τυχὸν καὶ τἀ-
ναντία ποιήσειαν, εἰ δ' ὁ καλὸς κἀγαθὸς δοκῶν ταῦτα
φήσειε, καὶ σφόδρ' ἂν δοκοῖ ταῦτα ἀληθῆ εἶναι. ἴσως οὖν C
καὶ οἱ παρόντες τοιοῦτόν τι πεπόνθασι πρὸς σὲ καὶ Πρό-
δικον· τὸν μὲν σοφιστὴν καὶ ἀλαζόνα ἡγοῦντο εἶναι, σὲ
δὲ πολιτικόν τε [καὶ] ἄνδρα καὶ πολλοῦ ἄξιον· εἶτα οἴον-
ται δεῖν μὴ αὐτὸν τὸν λόγον θεωρεῖν, ἀλλὰ τοὺς λέγοντας,
ὁποῖοί τινες ἂν ὦσιν. Ἀλλὰ μέντοι, ἔφη ὁ Ἐρασίστρατος,
ὦ Σώκρατες, εἰ καὶ σκώπτων λέγεις, φαίνεσθαι ἔμοιγε
δοκεῖ ὁ Κριτίας λέγων τί. Ἀλλὰ μὰ Δί', ἦν δ' ἐγώ, οὐδ' D
ὑπωστιοῦν· ἀλλὰ τί οὐκ, ἐπεὶ ταῦτα εὖ καὶ καλῶς διείλε-
χθον, [οὐ] καὶ τὰ λοιπὰ τοῦ λόγου ἐπετελεσάτην; δοκεῖ δέ
μοι ὑμῖν ἐπίλοιπόν τι εἶναι τῆς σκέψεως, ἐπειδὴ τοῦτό γε
ἐδόκει ὁμολογεῖσθαι, τοῖς μὲν ἀγαθὸν εἶναι, τοῖς δὲ κακόν·
λοιπὸν δὴ σκέψασθαι, τί ἐστιν αὐτὸ τὸ πλουτεῖν. εἰ γὰρ
μὴ τοῦτο πρῶτον εἴσεσθε, οὐδ' ἂν ὁπότερον κακόν ἐστιν
ἢ ἀγαθόν, δύναισθε συνομολογῆσαι. ἕτοιμος δ' ὑμῖν καὶ E
ἐγώ, καθ' ὅσον οἷός τ' ἂν ὦ, συνδιασκοπεῖσθαι. φρασάτω
οὖν ἡμῖν ὁ φάσκων τὸ πλουτεῖν ἀγαθὸν εἶναι τούτου
πέρι ὅπως τυγχάνει ἔχων.

XVII. Ἀλλ' ἐγὼ μέν, ἔφη, ὦ Σώκρατες, οὐδέν τι πε-
ριττότερον τῶν ἄλλων ἀνθρώπων τὸ πλουτεῖν λέγω εἶναι·
τὸ γὰρ χρήματα πολλὰ κεκτῆσθαι, τοῦτο εἶναι τὸ πλου-
τεῖν· οἶμαι δὲ καὶ Κριτίαν τοῦτον οὐχ ἕτερόν τι τὸ πλου-
τεῖν οἴεσθαι εἶναι. Ἔτι μὲν ἄρα, ἦν δ' ἐγώ, κἂν οὕτως
ὑπόλοιπον εἴη σκέψασθαι, ὁποῖά ἐστι χρήματα, ἵνα μὴ

ὀλίγον ὕστερον περὶ τούτου αὖ πάλιν φανοῖσθον διαφερομένω. αὐτίκα γὰρ οὖν οἱ Καρχηδόνιοι νομίσματι χρῶνται τοιῷδε· ἐν δερματίῳ σμικρῷ ἀποδέδεται ὅσον γε στατῆρος τὸ μέγεθος μάλιστα· ὅ τι δέ ἐστι τὸ ἐναποδεδεμένον, οὐδεὶς γιγνώσκει, εἰ μὴ οἱ ποιοῦντες· εἶτα κατεσφραγισμένῳ τούτῳ νομίζουσι, καὶ ὁ πλεῖστα τοιαῦτα κεκτημένος, οὗτος πλεῖστα δοκεῖ χρήματα κεκτῆσθαι καὶ πλουσιώτατος εἶναι· εἰ δέ τις παρ' ἡμῖν πλεῖστα τοιαῦτα κεκτημένος εἴη, οὐδὲν ἂν μᾶλλον πλούσιος εἴη, ἢ εἰ ψήφους πολλὰς τῶν ἐκ τοῦ ὄρους ἔχοι. ἐν δὲ Λακεδαίμονι σιδηρῷ σταθμῷ νομίζουσι, καὶ ταῦτα μέντοι τῷ ἀχρείῳ τοῦ σιδήρου· καὶ ὁ πολὺν σταθμὸν σιδήρου τοῦ τοιούτου κεκτημένος πλούσιος δοκεῖ εἶναι, ἑτέρωθι δ' οὐδενὸς ἄξιον τὸ κτῆμα. ἐν δὲ τῇ Αἰθιοπίᾳ λίθοις ἐγγεγλυμμένοις χρῶνται, οἷς οὐδὲν ἂν ἔχοι χρήσασθαι Λακωνικὸς ἀνήρ· ἐν δὲ Σκύθαις τοῖς νομάδιν εἴ τις τὴν Πουλυτίωνος οἰκίαν κεκτημένος εἴη, οὐδὲν ἂν πλουσιώτερος δοκοῖ εἶναι ἢ εἰ παρ' ἡμῖν τὸν Λυκαβηττόν.

XVIII. Δῆλον οὖν ὅτι οὐκ ἂν εἴη ἕκαστά γε τούτων κτήματα, εἴπερ ἔνιοι τῶν κεκτημένων μηδὲν διὰ τοῦτο πλουσιώτεροι φαίνονται· ἀλλ' ἔστιν, ἔφην, ἕκαστα τούτων ὄντα τοῖς μὲν χρήματά τε καὶ πλούσιοι οἱ ταῦτα κεκτημένοι, τοῖς δὲ οὔτε χρήματα οὔτε πλουσιώτεροι διὰ τοῦτο, ὥσπερ γε οὔτε καλά τε καὶ αἰσχρὰ πᾶσι τὰ αὐτά, ἀλλ' ἕτερα ἑτέροις. εἰ δὲ βουλοίμεθα ἐπισκέψασθαι, τί δή ποτε τοῖς μὲν Σκύθαις αἱ οἰκίαι οὐ χρήματά εἰσιν, ἡμῖν δέ, ἢ τοῖς Καρχηδονίοις μὲν τὰ δέρματα, ἡμῖν δ' οὔ, ἢ τοῖς Λακεδαιμονίοις ὁ σίδηρος χρήματα, ἡμῖν δ' οὔ, ἆρ' ἂν οὕτωσὶ μάλιστα ἐξεύροιμεν; αὐτίκα εἴ τις Ἀθήνησι τούτων τῶν λίθων τῶν ἐν τῇ ἀγορᾷ, οἷς οὐδὲν χρώμεθα, κεκτημένος εἴη χίλια τάλαντα σταθμόν, ἔστιν ὅ τι ἂν πλουσιώτερος νομίζοιτο εἶναι διὰ τοῦτο; Οὐκ ἔμοιγε φαίνεται. Ἀλλ'

εἰ τοῦ λυχνίτου λίθου κεκτημένος εἴη τὰ χίλια τάλαντα, καὶ σφόδρα πλούσιον φαίημεν εἶναι ἄν; Πάνυ γε.

XIX. Ἆρά γε, ἔφην, διὰ τοῦτο, ὅτι τὸ μὲν χρήσιμον, τὸ δ' ἀχρεῖον ἡμῖν ἐστίν; Ναί. Ἐπεὶ καὶ ἐν τοῖς Σκύθαις τούτου ἕνεκα αὐτοῖς οἰκίαι οὐ χρήματά ἐστιν, ὅτι οὐδεμία αὐτοῖς χρεία οἰκίας ἐστίν· οὐδ' ἂν προτιμήσειε Σκύθης ἀνὴρ οἰκίαν αὐτῷ τὴν καλλίστην εἶναι μᾶλλον ἢπερ σίσυραν δερματίνην· ὅτι τὸ μὲν χρήσιμον, τὸ δ' ἀχρεῖον αὐτῷ ἐστίν. αὖθις αὖ ἡμῖν τὸ Καρχηδόνιον νόμισμα οὐκ οἰόμεθα χρήματα εἶναι· οὐ γὰρ ἔστιν ὅ τι ἂν αὐτῷ ἐκπορισαίμεθα ὅσων δεόμεθα, ὥσπερ τῷ ἀργυρίῳ, ὥστ' ἀχρεῖον ἂν ἡμῖν εἴη. Εἰκός γε. Ὅσα μὲν ἄρα τυγχάνει χρήσιμα ὄντα ἡμῖν, ταῦτα χρήματα· [καὶ] ὅσα δ' ἀχρεῖα, ταῦτα δ' οὐ χρήματα. Πῶς οὖν, ἔφη ὁ Ἐρυξίας ὑπολαβών, ὦ Σώκρατες; ἢ ἔστιν ὅ τι χρώμεθα πρὸς ἀλλήλους τῷ διαλέγεσθαι καὶ τῷ βλάπτειν καὶ ἑτέροις πολλοῖς; ἆρα ἡμῖν ταῦτ' ἂν εἴη χρήματα; καὶ μὴν χρήσιμά γε φαίνεται ὄντα. οὐκ αὖ οὐδ' οὕτως ἐφαίνετο ἡμῖν ὅ τί ποτ' ἔστι τὰ χρήματα. ὅτι μὲν γὰρ ἀνάγκη χρήσιμα εἶναι, ἐάνπερ μέλλῃ χρήματα ἔσεσθαι, τοῦτο μὲν ἐκ πάντων ὡμολογεῖτο σχεδόν τι· ἀλλὰ ποῖα δὴ τῶν χρησίμων, ἐπειδή γε οὐ πάντα; 401

XX. Φέρε δή, εἰ πάλιν ὧδε μετίοιμεν, ἆρα μᾶλλόν τι εὑρεθείη ὃ ζητοῦμεν, τί ποτ' ἐστὶν ὃ χρώμεθα χρήμασι, καὶ πρὸς τί εὕρηται ἡ τῶν χρημάτων κτῆσις, ὥσπερ τὰ φάρμακα πρὸς τὸ τὰς νόσους ἀπαλλάττειν; ἴσως γὰρ ἂν ἡμῖν οὕτω μᾶλλον φανερὸν γένοιτο. ἐπειδὴ ἀναγκαῖον μὲν φαίνεται, ὅσαπερ τυγχάνει χρήματα ὄντα, ταῦτα καὶ χρήσιμα εἶναι, τῶν δὲ χρησίμων γένος τι ὃ καλοῦμεν χρήματα, λοιπὸν ἂν εἴη σκέψασθαι, τὰ πρὸς τίνα χρείαν χρήσιμα χρῆσθαι χρήματά ἐστι. πάντα μὲν γὰρ ἴσως χρήσιμα, ὅσοις γε πρὸς τὴν ἐργασίαν χρώμεθα, ὥσπερ γε πάντα μὲν τὰ ψυχὴν ἔχοντα ζῶα, τῶν δὲ ζώων γένος τι καλοῦμεν ἄν-

εἶναι, εἴ τις οἴοιτο τοῖς θεοῖς εὐχόμενος γραμματικὸς ἂν γενέσθαι ἢ μουσικὸς ἢ ἑτέραν τινὰ ἐπιστήμην λαβεῖν, ἢν ἀνάγκη μαθόντα παρ᾽ ἑτέρου ἢ αὐτὸν ἐξευρόντα κτήσα-
D σθαι; Συνέφη καὶ ταῦτα. Οὐκοῦν, ἔφη τὸ μειράκιον, σύ, ὦ Πρόδικε, ὅταν εὔχῃ τοῖς θεοῖς εὖ πράττειν καὶ ἀγαθά σοι εἶναι, τότε οὐδὲν ἕτερον εὔχει ἢ καλὸς κἀγαθὸς γενέσθαι, εἴπερ γε τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων καὶ τὰ πράγματα τυγχάνει ἀγαθὰ ὄντα, τοῖς δὲ φαύλοις μοχθηρά. εἴπερ οὖν τυγχάνει ἡ ἀρετὴ διδακτὸς οὖσα, οὐδὲν ἕτερον φαίνοιο ἂν εὐχόμενος, ἢ διδαχθῆναι ἃ οὐκ ἐπίστασαι.

E XV. Εἶπον οὖν ἐγὼ πρὸς τὸν Πρόδικον, ὅτι μοι δοκεῖ οὐχὶ φαῦλον πρᾶγμα πεπονθέναι, εἰ τυγχάνει τούτου διημαρτηκώς, εἰ οἴεται ἡμῖν παρὰ τῶν θεῶν, ἃ εὐχόμεθα, γενέσθαι ἂν καὶ ἅμα· εἰ καὶ σὺ ἑκάστοτε σπουδῇ βαδίζων εἰς πόλιν προσευχόμενος αἰτεῖς παρὰ τῶν θεῶν δοῦναί σοι ἀγαθά, οὐ μέντοι οἶσθα εἰ οἷοί τέ σοι ἐκεῖνοι ταῦτα δοῦναι, ἃ σὺ τυγχάνεις αἰτούμενος, ὥσπερ ἂν εἰ πρὸς τὰς τοῦ γραμματιστοῦ φοιτῶν θύρας ἀντιβολοίης σοι δοῦναι γραμματικὴν ἐπιστήμην μηδὲν ἄλλο πραγματευσαμένῳ, ἀλλὰ ἥντινα λαβὼν παραχρῆμα καὶ δυνήσει πράττειν τὰ τοῦ γραμματιστοῦ ἔργα. ταῦτα ἐμοῦ λέγοντος, ὁ Πρόδικος ἀντανήγετο πρὸς τὸ μειράκιον ὡς ἀμυνούμενος καὶ
399 ἐπιδείξων ταῦτα, ἅπερ σὺ νῦν δή, ἀγανακτῶν εἰ φαίνοιτο μάτην τοῖς θεοῖς εὐχόμενος· εἶτα προσελθὼν ὁ γυμνασίαρχος ἀπαλλάττεσθαι αὐτὸν ἐκ τοῦ γυμνασίου ἐκέλευεν, ὡς οὐκ ἐπιτήδεια τοῖς νέοις διαλεγόμενον, εἰ δὲ μὴ ἐπιτήδεια, δῆλον ὅτι μοχθηρά.

XVI. Τούτου δή σοι ἕνεκα ταῦτα διῆλθον, ἵνα θεάσαιο, ὡς ἔχουσιν οἱ ἄνθρωποι πρὸς τὴν φιλοσοφίαν, εἰ μέν γε Πρόδικος πρώην λέγων ταῦτα μαίνεσθαι τοῖς παροῦσιν ἐδόκει [ἂν] οὕτως, ὥστε καὶ ἐκβληθῆναι ἐκ τοῦ γυ-

μνασίου, σὺ δὲ νυνὶ οὕτω σφόδρα δοκεῖς εὖ διειλέχθαι, B
ὥστε οὐ μόνον τοὺς παρόντας πεῖσαι, ἀλλὰ καὶ τὸν ἀντι-
λέγοντα ποιῆσαι ὁμολογεῖν σοι· δῆλον ὅτι ὥσπερ ἐν τοῖς
δικαστηρίοις, εἰ δύ' ἄνθρωποι τύχοιεν τὴν αὐτὴν μαρτυ-
ρίαν μαρτυροῦντες, ὁ μὲν καλὸς κἀγαθὸς δοκῶν εἶναι, ὁ
δὲ μοχθηρός, διὰ τὴν τοῦ μοχθηροῦ μαρτυρίαν οὐδὲν ἄν
τι μᾶλλον οἱ δικασταὶ πεισθείησαν, ἀλλὰ τυχὸν καὶ τἀ-
ναντία ποιήσειαν, εἰ δ' ὁ καλὸς κἀγαθὸς δοκῶν ταῦτα
φήσειε, καὶ σφόδρ' ἂν δοκοῖ ταῦτα ἀληθῆ εἶναι. ἴσως οὖν C
καὶ οἱ παρόντες τοιοῦτόν τι πεπόνθασι πρὸς σὲ καὶ Πρό-
δικον· τὸν μὲν σοφιστὴν καὶ ἀλαζόνα ἡγοῦντο εἶναι, σὲ
δὲ πολιτικόν τε [καὶ] ἄνδρα καὶ πολλοῦ ἄξιον· εἶτα οἴον-
ται δεῖν μὴ αὐτὸν τὸν λόγον θεωρεῖν, ἀλλὰ τοὺς λέγοντας,
ὁποῖοί τινες ἂν ὦσιν. Ἀλλὰ μέντοι, ἔφη ὁ Ἐρασίστρατος,
ὦ Σώκρατες, εἰ καὶ σκώπτων λέγεις, φαίνεσθαι ἔμοιγε
δοκεῖ ὁ Κριτίας λέγων τί. Ἀλλὰ μὰ Δί', ἦν δ' ἐγώ, οὐδ'
ὀκωστιοῦν· ἀλλὰ τί οὐκ, ἐπεὶ ταῦτα εὖ καὶ καλῶς διείλε- D
χθον, [οὐ] καὶ τὰ λοιπὰ τοῦ λόγου ἐπιτελεσάτην; δοκεῖ δέ
μοι ὑμῖν ἐπίλοιπόν τι εἶναι τῆς σκέψεως, ἐπειδὴ τοῦτό γε
ἐδόκει ὁμολογεῖσθαι, τοῖς μὲν ἀγαθὸν εἶναι, τοῖς δὲ κακόν·
λοιπὸν δὴ σκέψασθαι, τί ἐστιν αὐτὸ τὸ πλουτεῖν. εἰ γὰρ
μὴ τοῦτο πρῶτον εἴσεσθε, οὐδ' ἂν ὁπότερον κακόν ἐστιν
ἢ ἀγαθόν, δύναισθε συνομολογῆσαι. ἕτοιμος δ' ὑμῖν καὶ E
ἐγώ, καθ' ὅσον οἷός τ' ἂν ὦ, συνδιασκοπεῖσθαι. φρασάτω
οὖν ἡμῖν ὁ φάσκων τὸ πλουτεῖν ἀγαθὸν εἶναι τούτου
πέρι ὅπως τυγχάνει ἔχων.

XVII. Ἀλλ' ἐγὼ μέν, ἔφη, ὦ Σώκρατες, οὐδέν τι πε-
ριττότερον τῶν ἄλλων ἀνθρώπων τὸ πλουτεῖν λέγω εἶναι·
τὸ γὰρ χρήματα πολλὰ κεκτῆσθαι, τοῦτο εἶναι τὸ πλου-
τεῖν· οἶμαι δὲ καὶ Κριτίαν τοῦτον οὐχ ἕτερόν τι τὸ πλου-
τεῖν οἴεσθαι εἶναι. Ἔτι μὲν ἄρα, ἦν δ' ἐγώ, κἂν οὕτως
ὑπόλοιπον εἴη σκέψασθαι, ὁποῖά ἐστι χρήματα, ἵνα μὴ

ὀλίγον ὕστερον περὶ τούτου αὖ πάλιν φανοῖσθον διαφερομένω. αὐτίκα γὰρ οὖν οἱ Καρχηδόνιοι νομίσματι χρῶνται τοιῷδε· ἐν δερματίῳ σμικρῷ ἀποδέδεται ὅσον γε στατῆρος τὸ μέγεθος μάλιστα· ὅ τι δέ ἐστι τὸ ἐναποδεδεμένον, οὐδεὶς γιγνώσκει, εἰ μὴ οἱ ποιοῦντες· εἶτα κατεσφραγισμένῳ τούτῳ νομίζουσι, καὶ ὁ πλεῖστα τοιαῦτα κεκτημένος, οὗτος πλεῖστα δοκεῖ χρήματα κεκτῆσθαι καὶ πλουσιώτατος εἶναι· εἰ δέ τις παρ' ἡμῖν πλεῖστα τοιαῦτα κεκτημένος εἴη, οὐδὲν ἂν μᾶλλον πλούσιος εἴη, ἢ εἰ ψήφους πολλὰς τῶν ἐκ τοῦ ὄρους ἔχοι. ἐν δὲ Λακεδαίμονι σιδηρῷ σταθμῷ νομίζουσι, καὶ ταῦτα μέντοι τῷ ἀχρείῳ τοῦ σιδήρου· καὶ ὁ πολὺν σταθμὸν σιδήρου τοῦ τοιούτου κεκτημένος πλούσιος δοκεῖ εἶναι, ἑτέρωθι δ' οὐδενὸς ἄξιον τὸ κτῆμα. ἐν δὲ τῇ Αἰθιοπίᾳ λίθοις ἐγγεγλυμμένοις χρῶνται, οἷς οὐδὲν ἂν ἔχοι χρήσασθαι Λακωνικὸς ἀνήρ· ἐν δὲ Σκύθαις τοῖς νομάδιν εἴ τις τὴν Πουλυτίωνος οἰκίαν κεκτημένος εἴη, οὐδὲν ἂν πλουσιώτερος δοκοῖ εἶναι ἢ εἰ παρ' ἡμῖν τὸν Λυκαβηττόν.

XVIII. Δῆλον οὖν ὅτι οὐκ ἂν εἴη ἕκαστά γε τούτων κτήματα, εἴπερ ἔνιοι τῶν κεκτημένων μηδὲν διὰ τοῦτο πλουσιώτεροι φαίνονται· ἀλλ' ἔστιν, ἔφην, ἕκαστα τούτων ὄντα τοῖς μὲν χρήματά τε καὶ πλούσιοι οἱ ταῦτα κεκτημένοι, τοῖς δὲ οὔτε χρήματα οὔτε πλουσιώτεροι διὰ τοῦτο, ὥσπερ γε οὔτε καλά τε καὶ αἰσχρὰ πᾶσι τὰ αὐτά, ἀλλ' ἕτερα ἑτέροις. εἰ δὲ βουλοίμεθα ἐπισκέψασθαι, τί δή ποτε τοῖς μὲν Σκύθαις αἱ οἰκίαι οὐ χρήματά εἰσιν, ἡμῖν δέ, ἢ τοῖς Καρχηδονίοις μὲν τὰ δέρματα, ἡμῖν δ' οὔ, ἢ τοῖς Λακεδαιμονίοις ὁ σίδηρος χρήματα, ἡμῖν δ' οὔ, ἆρ' ἂν οὕτωσὶ μάλιστα ἐξεύροιμεν; αὐτίκα εἴ τις Ἀθήνησι τούτων τῶν λίθων τῶν ἐν τῇ ἀγορᾷ, οἷς οὐδὲν χρώμεθα, κεκτημένος εἴη χίλια τάλαντα σταθμόν, ἔστιν ὅ τι ἂν πλουσιώτερος νομίζοιτο εἶναι διὰ τοῦτο; Οὐκ ἔμοιγε φαίνεται. Ἀλλ'

εἰ τοῦ λυχνίτου λίθου κεκτημένος εἴη τὰ χίλια τάλαντα, καὶ σφόδρα πλούσιον φαίημεν εἶναι ἄν; Πάνυ γε.

XIX. Ἆρά γε, ἔφην, διὰ τοῦτο, ὅτι τὸ μὲν χρήσιμον, τὸ δ' ἀχρεῖον ἡμῖν ἐστίν; Ναί. Ἐπεὶ καὶ ἐν τοῖς Σκύθαις τούτου ἕνεκα αὐτοῖς οἰκίαι οὐ χρήματά ἐστιν, ὅτι οὐδεμία αὐτοῖς χρεία οἰκίας ἐστίν· οὐδ' ἂν προτιμήσειε Σκύθης ἀνὴρ οἰκίαν αὐτῷ τὴν καλλίστην εἶναι μᾶλλον ἢπερ σίσυραν δερματίνην· ὅτι τὸ μὲν χρήσιμον, τὸ δ' ἀχρεῖον αὐτῷ ἐστίν. αὖθις αὖ ἡμῖν τὸ Καρχηδόνιον νόμισμα οὐκ οἰόμεθα χρήματα εἶναι· οὐ γὰρ ἔστιν ὅ τι ἂν αὐτῷ ἐκπορισαίμεθα ὅσων δεόμεθα, ὥσπερ τῷ ἀργυρίῳ, ὥστ' ἀχρεῖον ἂν ἡμῖν εἴη. Εἰκός γε. Ὅσα μὲν ἄρα τυγχάνει χρήσιμα ὄντα ἡμῖν, ταῦτα χρήματα· [καὶ] ὅσα δ' ἀχρεῖα, ταῦτα δ' οὐ χρήματα. Πῶς οὖν, ἔφη ὁ Ἐρυξίας ὑπολαβών, ὦ Σώκρατες; ἦ ἔστιν ὅ τι χρώμεθα πρὸς ἀλλήλους τῷ διαλέγεσθαι καὶ τῷ βλάπτειν καὶ ἑτέροις πολλοῖς; ἆρα ἡμῖν ταῦτ' ἂν εἴη χρήματα; καὶ μὴν χρήσιμά γε φαίνεται ὄντα. οὐκ αὖ οὐδ' οὕτως ἐφαίνετο ἡμῖν ὅ τί ποτ' ἔστι τὰ χρήματα. ὅτι μὲν γὰρ ἀνάγκη χρήσιμα εἶναι, ἐάνπερ μέλλῃ χρήματα ἔσεσθαι, τοῦτο μὲν ἐκ πάντων ὡμολογεῖτο σχεδόν τι· ἀλλὰ ποῖα δὴ τῶν χρησίμων, ἐπειδή γε οὐ πάντα; 401

XX. Φέρε δή, εἰ πάλιν ὧδε μετίοιμεν, ἆρα μᾶλλόν τι εὑρεθείη ὃ ζητοῦμεν, τί ποτ' ἐστὶν ὃ χρώμεθα χρήμασι, καὶ πρὸς τί εὕρηται ἡ τῶν χρημάτων κτῆσις, ὥσπερ τὰ φάρμακα πρὸς τὸ τὰς νόσους ἀπαλλάττειν; ἴσως γὰρ ἂν ἡμῖν οὕτω μᾶλλον φανερὸν γένοιτο. ἐπειδὴ ἀναγκαῖον μὲν φαίνεται, ὅσαπερ τυγχάνει χρήματα ὄντα, ταῦτα καὶ χρήσιμα εἶναι, τῶν δὲ χρησίμων γένος τι ὃ καλοῦμεν χρήματα, λοιπὸν ἂν εἴη σκέψασθαι, τὰ πρὸς τίνα χρείαν χρήσιμα χρῆσθαι χρήματά ἐστι. πάντα μὲν γὰρ ἴσως χρήσιμα, ὅσοις γε πρὸς τὴν ἐργασίαν χρώμεθα, ὥσπερ γε πάντα μὲν τὰ ψυχὴν ἔχοντα ζῶα, τῶν δὲ ζώων γένος τι καλοῦμεν ἄν-

πρὸς τὸν βίον χρῶνται, κἂν αὐτὸ χρήσιμον εἴη πρὸς τὸν βίον. καὶ γὰρ τἀργύριον τούτου ἕνεκα χρήσιμον ἔφαμεν εἶναι, ὅτι οἱοί τ' ἦμεν αὐτῷ τἀναγκαῖα πρὸς τὸ σῶμα ἐκπορίζεσθαι. Οὕτως, ἔφη.

XXIV. Οὐκοῦν εἴπερ αὗται αἱ ἐπιστῆμαι τῶν χρησίμων πρὸς τοῦτο, φαίνονται ἡμῖν αἱ ἐπιστῆμαι χρήματα οὖσαι διὰ τὴν αὐτὴν αἰτίαν δι' ἣνπερ τὸ χρυσίον τε καὶ τὸ ἀργύριον. δῆλον δὲ ὅτι καὶ οἱ ταύτας κεκτημένοι πλουσιώτεροι. ὀλίγον δὲ πρότερον οὕτω χαλεπῶς ἀπεδεχόμεθα τὸν λόγον, εἰ οὗτοι πλουσιώτατοι. ἀναγκαῖον δ' ἂν εἴη
103 καὶ ἐκ τοῦ νῦν ὡμολογημένου τοῦτο ξυμβαίνειν, ἐνίοτε τοὺς ἐπιστημονεστέρους πλουσιωτέρους εἶναι. εἰ γάρ τις ἡμᾶς ἔροιτο, ἆρα παντὶ ἀνθρώπῳ οἰόμεθα χρήσιμον εἶναι ἵππον, ἆρα φαίης ἄν; ἢ τοῖς μὲν ἐπιστήμοσιν ὅπως δεῖ ἵππῳ χρῆσθαι χρήσιμος ἂν εἴη, τοῖς ἀνεπιστήμοσι δ' οὔ; Φαίην ἄν. Οὐκοῦν, ἔφην, κατὰ τὸν αὐτὸν λόγον οὐδὲ φάρμακον παντὶ ἀνθρώπῳ χρήσιμον εἶναι, ἀλλὰ τούτῳ ὅστις τυγχάνει εἰδὼς ὡς δεῖ χρήσασθαι αὐτῷ; Φημί. Οὐκοῦν καὶ τἆλλα πάντα ὁμοίως; Ἔοικεν. Χρυσίον ἄρα καὶ
B ἀργύριον καὶ τἆλλα τὰ δοκοῦντα χρήματα εἶναι τούτῳ ἂν μόνῳ χρήσιμα εἴη, ὅστις τυγχάνοι ἐπιστάμενος ὡς χρηστέον αὐτοῖς. Οὕτως. Οὐκοῦν πρότερον ἐδόκει τοῦ καλοῦ κἀγαθοῦ ἀνθρώπου εἶναι εἰδέναι, ὅπου τε καὶ ὅπως τούτων ἑκάστοις χρηστέον ἐστίν; Φημί.

XXV. Τοῖς ἄρα καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων, τούτοις ἂν μόνοις καὶ χρήσιμα ταῦτ' εἴη, εἴπερ γε οὗτοι ἐπιστήμονες ὡς χρηστέον· εἰ δὲ τούτοις μόνοις χρήσιμον, τούτοις ἂν μόνοις καὶ χρήματα εἶναι ταῦτα φαίνοιτο. ἀτάρ,
C ὡς ἔοικε, καὶ τὸν ἀνεπιστήμονα ἱππικῆς, κεκτημένον δὲ ἵππους, οἳ τυγχάνουσιν αὐτῷ ἀχρεῖοι ὄντες, εἴ τις τοῦτον ἱππικὸν ποιήσειεν, ἆρ' ἂν ἅμα καὶ πλουσιώτερον πεποιηκὼς εἴη, εἴπερ γε αὐτῷ, ἃ ἐτύγχανε πρόσθεν ἀχρεῖα ὄντα,

χρήσιμα πεποίηκεν· ἐπιστήμην γάρ τινα παραδιδοὺς τῷ ἀνθρώπῳ ἅμα καὶ πλούσιον αὐτὸν πεποίηκεν. Φαίνεταί γε. Ὅμως δέ μοι κἂν διομόσασθαι δοκῶ ὑπὲρ Κριτίου, ὑπὸ μηδενὸς τούτων τῶν λόγων πεπεῖσθαι. Νὴ Δία· καὶ γάρ, ἔφη, μαινοίμην ἄν, εἰ ταῦτα πειθοίμην. ἀλλὰ τί οὐκ D ἐκεῖνον τὸν λόγον διετέλεσας, ὡς τὰ δοκοῦντα οὐκ ἔστι χρήματα, χρυσίον καὶ ἀργύριον καὶ τἆλλα τὰ τοιαῦτα; ὡς ἐγὼ πάνυ σφόδρα τούτους τοὺς λόγους ἀκροώμενος, οὓς καὶ σὺ νῦν τυγχάνεις δὴ διεξιών, ἄγαμαι. Εἶπον οὖν ἐγὼ ὅτι μοι δοκεῖς σύ, ὦ Κριτία, οὕτως ἐμοῦ χαίρειν ἀκροώμενος, ὥσπερ τῶν ῥαψῳδῶν οἳ τὰ Ὁμήρου ἔπη ᾄδουσιν, ἐπεὶ οὐδείς γέ σοι δοκεῖ τούτων τῶν λόγων ἀληθὴς εἶναι.

XXVI. Ὅμως δὲ φέρε, πῶς ἂν τὰ τοιαῦτα φήσαιμεν; ἆρά γε τοῖς γε οἰκοδομικοῖς τῶν ἀνθρώπων φαίης ἂν ἄττα E εἶναι χρήσιμα πρὸς τὸ οἰκίαν ἐργάσασθαι; Ἔμοιγε δοκεῖ. Πότερον οὖν ταῦτα φήσαιμεν ἂν χρήσιμα εἶναι, οἷς αὐτῶν κατεχρῶντο εἰς τὴν οἰκοδομίαν, λίθους καὶ πλίνθους καὶ ξύλα καὶ εἴ τι ἕτερον τοιοῦτον; ἢ καὶ τὰ ἐργαλεῖα, οἷς αὐτοὶ τὴν οἰκίαν ἐργάζοιντο, καὶ οἷς ταῦτα ἐκπορίζοιντο, τὰ ξύλα καὶ τοὺς λίθους, καὶ πάλιν τὰ τούτων ἐργαλεῖα; Ἔμοιγ', ἔφη, δοκεῖ πάντα ταῦτα χρήσιμα εἶναι πρὸς ἐκεῖνα. Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ ἐπὶ τῶν ἄλλων ἐργασιῶν οὐ μόνον αὐτοῖς οἷς καταχρώμεθα πρὸς ἕκαστον τῶν ἔργων, ἀλλὰ καὶ οἷς ταῦτα ἐκποριζόμεθα καὶ ὧν ἄνευ οὐκ ἂν γένοιτο; Πάνυ γε οὕτως. Οὐκοῦν πάλιν καὶ οἷς ταῦτα καὶ εἴ τι ἀνωτέρω τούτων, καὶ οἷς πάλιν ἐκεῖνα καὶ ἔτι μάλα τὰ 404 ἄνω, ὥστε καὶ εἰς ἄπειρόν τι πλῆθος τελευτῶντα ἀνάγκη πάντα ταῦτα πρὸς τὴν αὐτῶν ἐργασίαν χρήσιμα φαίνεσθαι; Καὶ οὐδέν γε, ἔφη, ταῦτα οὕτω κωλύει ἔχειν.

XXVII. Τί δ' εἰ ὑπάρχοι τῷ ἀνθρώπῳ σιτία καὶ ποτὰ καὶ ἱμάτια καὶ τἆλλα, οἷς αὐτὸς πρὸς τὸ σῶμα μέλλοι χρῆσθαι, ἆρ' ἄν τι προσδέοιτο χρυσίου ἢ ἀργυρίου ἢ ἄλλου

του, οἷς ταῦτα ποριεῖται, ἅ γε δὴ ὑπάρχοι; Οὐκ ἔμοιγε
B δοκεῖ. Οὐκοῦν φαίνοιτο ἂν ἡμῖν ἔστιν ὅτε ἄνθρωπος οὐ-
δενὸς τούτων δεόμενος πρὸς τὴν τοῦ σώματος χρείαν; Οὐ
γάρ. Οὐκοῦν εἰ ταῦτα ἀχρεῖα φαίνοιτο πρὸς ταύτην τὴν
ἐργασίαν, οὐκ ἄν ποτε πάλιν δέοι χρήσιμα φανῆναι; ὑπέ-
κειτο γὰρ μὴ οἷόν τε εἶναι πρὸς τὴν αὐτὴν ἐργασίαν τοτὲ
μὲν χρήσιμα, τοτὲ δὲ ἀχρεῖα εἶναι. Ἀλλ' οὕτω γ' ἄν, ἔφη,
ὁ αὐτὸς λόγος σοὶ καὶ ἐμοὶ γίγνοιτο· εἰ γάρ ποτε ταῦτα
χρήσιμα γίγνοιτο πρὸς τοῦτο, οὐκ ἄν ποτε συμβαίνοι πά-
λιν ἀχρεῖα εἶναι· νῦν δὲ πρός τινας ἐργασίας πραγμάτων
C μοχθηρῶν, τὰς δὲ χρηστῶν ἔγωγ' ἄν φαίην. Ἆρ' οὖν οἷόν
τε μοχθηρόν τι πρᾶγμα πρὸς ἀγαθοῦ τινὸς ἐργασίαν χρή-
σιμον εἶναι; Οὐκ ἔμοιγε φαίνεται. Ἀγαθὰ δὲ πράγματα
ἆρ' ἂν ταῦτα φαίημεν εἶναι, ἃ δι' ἀρετὴν ἄνθρωπος πράτ-
τει; Φημί. Ἆρ' οὖν οἷόν τε ἄνθρωπον μαθεῖν τι τούτων,
ὅσα διὰ λόγου διδάσκεται, εἰ παντάπασιν ἀπεστερημένος
εἴη τοῦ ἀκούειν [ἢ] ἑτέρου τινός; Μὰ Δί' οὐκ ἔμοιγε δο-
D κεῖ. Οὐκοῦν τῶν χρησίμων φαίνοιτο ἂν ἡμῖν πρὸς ἀρετὴν
τὸ ἀκούειν, εἴπερ διδακτός γε ἡ ἀρετὴ τῷ ἀκούειν καὶ αὐ-
τῷ καταχρώμεθα πρὸς τὰς μαθήσεις; Φαίνεται.

XXVIII. Οὐκοῦν εἴπερ ἡ ἰατρικὴ οἷα τ' ἐστὶ τὸν νο-
σοῦντα παύειν, φαίνοιτο ἂν ἡμῖν ἐνίοτε καὶ ἡ ἰατρικὴ τῶν
χρησίμων οὖσα πρὸς τὴν ἀρετήν, εἴπερ διὰ τῆς ἰατρικῆς
τὸ ἀκούειν πορισθείη; Καὶ οὐδέν γε κωλύει. Ἆρ' οὖν
πάλιν καὶ εἰ τὴν ἰατρικὴν ἀντὶ χρημάτων πορισαίμεθα,
φαίνοιτο ἂν ἡμῖν καὶ τὰ χρήματα χρήσιμα ὄντα πρὸς ἀρε-
E τήν; Καὶ γὰρ ἔστιν, ἔφη, τοῦτό γε. Οὐκοῦν πάλιν ὁμοίως
καὶ δι' οὗ τὰ χρήματα πορισαίμεθα; Παντάπασι μὲν οὖν
πάντα. Ἆρ' οὖν ἄν σοι δοκεῖ ἄνθρωπος ἀπὸ μοχθηρῶν τε
καὶ αἰσχρῶν πραγμάτων ἀργύριον αὑτῷ πορίσασθαι, ἀνθ'
ὅτου τὴν ἰατρικὴν ἐπιστήμην κτήσαιτο, ᾗ δύναιτο ἀκού-
ειν ἐκ τοῦ μὴ οἷου τε, τῷ δ' αὐτῷ ἐκείνῳ καταχρῆσθαι

πρὸς ἀρετὴν ἢ ἕτερ' ἄττα τῶν τοιούτων; Πάνυ μὲν οὖν ἔμοιγε δοκεῖ. Οὐκοῦν οὐκ ἂν τό γε μοχθηρὸν χρήσιμον ἂν εἴη πρὸς ἀρετήν; Οὐ γάρ. Οὐκ ἄρα ἀναγκαῖόν ἐστι, δι' ὧν ἂν ἐκπορισαίμεθα τὰ πρὸς ἕκαστα χρήσιμα, καὶ ταῦτα πρὸς τὰ αὐτὰ χρήσιμα εἶναι· φαίνοιτο γὰρ ἂν ἐνίοτε μοχθηρὰ πράγματα πρὸς ἀγαθόν τι χρήσιμον εἶναι· ἔτι δὲ μᾶλλον καὶ ἐπὶ τούτου ἂν φανερὰ γένοιτο. εἴπερ 405
γὰρ ταῦτα χρήσιμά ἐστι πρὸς ἕκαστα, ὧν ἄνευ οὐκ ἂν γένοιτο, εἰ μὴ ταῦτα προϋπάρχοι, φέρε, πῶς ἂν τὰ τοιαῦτα φήσαις· ἆρ' οἷόν τε ἀμαθίαν πρὸς ἐπιστήμην χρήσιμον εἶναι, ἢ νόσον πρὸς ὑγίειαν, ἢ κακίαν πρὸς ἀρετήν; Οὐκ ἂν ἔγωγε φαίην.

XXIX. Καὶ μὴν τόδε γ' ἂν ὁμολογήσαιμεν ἀδύνατον εἶναι, ἐπιστήμην ἐγγενέσθαι ὅτῳ μὴ ἀμαθία πρότερον ὑπάρξαι, καὶ ὑγίειαν, ὅτῳ μὴ νόσος, οὐδὲ ἀρετήν, ὅτῳ μὴ κακία. Ἔφη γὰρ οὕτως, ὡς ἐμοὶ δοκεῖ. Οὐκ ἂν ἄρα φαί- B
νοιτο ἀναγκαῖον εἶναι, ὅσων ἄνευ μὴ οἷόν τε γίγνεσθαι, ταῦτα καὶ χρήσιμα εἶναι πρὸς τοῦτο· φαίνοιτο γὰρ ἂν ἡμῖν ἡ ἀμαθία πρὸς ἐπιστήμην χρήσιμος οὖσα, καὶ ἡ νόσος πρὸς ὑγίειαν, καὶ ἡ κακία πρὸς ἀρετήν. Σφόδρα δυσπίστως εἶχε καὶ πρὸς τούτους τοὺς λόγους, εἰ μὴ πάντα ταῦτα χρήματα ἔσται· καταμαθὼν δ' αὐτὸν ἐγὼ ὅτι ἴσον εἴη πεῖσαι, ὅπερ ἂν τὸ λεγόμενον λίθον ἐψῆσαι, Ἀλλὰ τούτους μὲν τοὺς λόγους, ἦν δ' ἐγώ, ἐάσωμεν χαίρειν, ἐπει- C
δήπερ οὐ δυνατοί ἐσμεν ὁμολογῆσαι, ὁπότερον ταὐτὰ χρήσιμά τ' ἐστὶ καὶ χρήματα ἢ οὔ· ἐκείνου δὲ πέρι πῶς ἂν φαίημεν· πότερον ἂν εὐδαιμονέστερόν τε καὶ βελτίω ἡγησαίμεθα εἶναι ἄνθρωπον, εἰ ὡς πλείστων δέοιτο πρὸς τὸ σῶμά τε καὶ τὴν δίαιταν ἐπιτηδείων, ἢ εἰ ὡς ἐλαχίστων τε καὶ φαυλοτάτων; μάλιστα δ' ἂν ἴσως καὶ τοῦτο ὧδε θεωρηθείη, εἴ τις αὐτὸν πρὸς αὑτὸν τὸν ἄνθρωπον παραβάλλων σκοποῖτο, ὁποτέρα τῶν ἕξεων βελτίων, πότερον D

ὅταν τύχῃ νοσῶν ἢ ὅταν ὑγιαίνων. Ἀλλὰ τοῦτό γ', ἔφη, οὐ πολλῆς τινὸς τῆς σκέψεως δεῖται. Ἴσως γάρ, ἦν δ' ἐγώ, παντὶ ἀνθρώπῳ εὔπορον γνῶναι, ὅτι ἡ τοῦ ὑγιαίνοντος ἕξις κρείττων ἐστὶ τῆς τοῦ κάμνοντος· τί δαί; ποτέρως τυγχάνομεν πλειόνων τε καὶ μᾶλλον παντοδαπῶν δεόμενοι, ὅταν κάμνωμεν ἢ ὅταν ὑγιαίνωμεν; Ὅταν κάμνωμεν. Ε Ὅταν ἄρα αὐτοὶ αὑτῶν τυγχάνωμεν φαυλότατα διακείμενοι, τότε σφόδρα τε καὶ πλείστων, τὰ πρὸς ἡδονὰς τὰς διὰ τοῦ σώματος, ἐν ἐπιθυμίαις τε καὶ δεήσεσίν ἐσμεν; Οὕτως.

XXX. Οὐκοῦν κατὰ τὸν αὐτὸν λόγον, ὥσπερ αὐτὸς αὑτοῦ τότε φαίνεται βέλτιστα ἔχων, ὅταν ἐλαχίστων τῶν τοιούτων δέηται, οὕτω πάλιν καὶ δυοῖν ὄντοιν, εἰ ὁ μὲν τυγχάνοι σφόδρα τε καὶ πολλῶν ἐν ἐπιθυμίᾳ τε καὶ δεήσει ὤν, ὁ δὲ ὀλίγων τε καὶ ἡσύχως; οἷον τὰ τοιάδε· ὅσοι τῶν ἀνθρώπων τυγχάνουσι κυβευταὶ ὄντες, οἱ δὲ οἰνόφλυγες, ἕτεροι δὲ γαστρίμαργοι — ἅπαντα γὰρ ταῦτα οὐδὲν ἕτερον τυγχάνει ὄντα ἢ ἐπιθυμίαι. Σφόδρα γε. Αἱ δ' ἐπιθυμίαι πᾶσαι οὐδὲν ἕτερον ἢ ἔνδειαί τινων· οἱ οὖν πλεῖστα τούτων πεπονθότες ἄνθρωποι ἐν μοχθηροτέρᾳ ἕξει εἰσὶ τῶν 406 μηδὲν ἢ ὡς ἐλάχιστα τοιαῦτα πεπονθότων; Πάνυ μὲν οὖν ἔγωγε καὶ σφόδρα μοχθηροὺς τοὺς τοιούτους ὑπολαμβάνω εἶναι· καὶ ὅσῳ ἂν μᾶλλον τοιούτους, τοσούτῳ καὶ μοχθηροτέρους. Οὐκοῦν δοκεῖ ἡμῖν οὐχ οἷόν τε, χρήσιμα εἶναι ταῦτα πρὸς τοῦτο, εἰ μὴ τυγχάνοιμεν καὶ δεόμενοι τούτων πρὸς τοῦτο; Φημί. Ἀναγκαῖον ἄρα, εἴπερ μέλλει ἡμῖν χρήσιμα εἶναι ταῦτα πρὸς τὰς τοῦ σώματος θεραπείας τῶν ἐνδειῶν, ἅμα καὶ δεῖσθαι ἡμᾶς τούτων πρὸς τοῦτο; Ἔμοιγε δοκεῖ. Οὐκοῦν ὅτῳ τυγχάνει πλεῖστα χρήσιμα ὄντα πρὸς Β τοῦτο, οὗτος ἂν φαίνοιτο καὶ πλείστων δεόμενος πρὸς τοῦτο, εἴπερ ἀνάγκη τῶν χρησίμων πάντων προσδεῖσθαι. Ἔμοιγε δοκεῖ οὕτω φαίνεσθαι. Ἀναγκαῖον ἄρα φαίνεται κατά γε τοῦτον τὸν λόγον, οἷς τυγχάνει πολλὰ χρήματα

ὄντα, τούτους καὶ πολλῶν δεῖσθαι τῶν πρὸς τὴν τοῦ σώματος θεραπείαν ἐπιτηδείων· τὰ γὰρ πρὸς τοῦτο χρήσιμα ὄντα χρήματα ἐφαίνετο· ὥστε ἐξ ἀνάγκης ἂν ἡμῖν φαίνοιντο οἱ πλουσιώτατοι μοχθηρότατα διακείμενοι, εἴπερ γε καὶ πλείστων τοιούτων ἐνδεεῖς ὄντες.

ΑΞΙΟΧΟΣ

[ἢ περὶ θανάτου.]

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΚΛΕΙΝΙΑΣ, ΑΞΙΟΧΟΣ.

St. III. p. 364

I. Ἐξιόντι μοι ἐς Κυνόσαργες καὶ γενομένῳ [μοι] κατὰ τὸν Ἰλισσὸν διῆξε φωνὴ βοῶντός του, Σώκρατες, Σώκρατες. ὡς δὲ ἐπιστραφεὶς περιεσκόπουν ὁπόθεν εἴη, Κλεινίαν ὁρῶ τὸν Ἀξιόχου θέοντα ἐπὶ Καλλιρρόην μετα Δάμωνος τοῦ μουσικοῦ καὶ Χαρμίδου τοῦ Γλαύκωνος· ἦστην δὲ αὐτῷ ὁ μὲν διδάσκαλος τῶν κατὰ μουσικήν, ὁ δ' ἐξ ἑταιρείας ἐραστὴς ἅμα καὶ ἐρώμενος. ἐδόκει οὖν μοι ἀφεμένῳ τῆς εὐθὺ ὁδοῦ ἀπαντᾶν αὐτοῖς, ὅπως ῥᾷστα ὁμοῦ γενοίμεθα. δεδακρυμένος δὲ ὁ Κλεινίας, Σώκρατες, ἔφη, νῦν ὁ καιρὸς ἐνδείξασθαι τὴν ἀεὶ θρυλουμένην πρὸς σοῦ σοφίαν· ὁ γὰρ πατὴρ ἔκ τινος ὡρακίας αἰφνιδίου ἀδυνάτως ἔχει καὶ πρὸς τῷ τέλει τοῦ βίου ἐστίν, ἀνιαρῶς τε φέρει τὴν τελευτήν, καίτοι γε τὸν πρόσθεν χρόνον διαχλευάζων τοὺς μορμολυττομένους τὸν θάνατον καὶ
C [πράως] ἐπιτωθάζων. ἀφικόμενος οὖν παρηγόρησον αὐτὸν ὡς εἴωθας, ὅπως ἀστενακτὶ ἐς τὸ χρεὼν ἴῃ, καί μοι σὺν τοῖς λοιποῖς ἵνα καὶ τοῦτο εὐσεβηθῇ. Ἀλλ' οὐκ ἀτυχήσεις μου, ὦ Κλεινία, οὐδενὸς τῶν μετρίων καὶ ταῦτα

ἐφ' ὅσια παρακαλῶν. ἐπειγώμεθα δ' οὖν· εἰ γὰρ οὕτως ἔχει, ὠκύτητος δεῖ.

ΚΛ. Ὀφθέντος σου μόνον, ὦ Σώκρατες, ῥαΐσει· καὶ γὰρ ἤδη πολλάκις αὐτῷ γέγονε συμπτώματος ἀνασφῆλαι. D

ΣΩ. Ὡς δὲ θᾶττον τὴν παρὰ τὸ τεῖχος ἤειμεν, ταῖς Ἰτωνίαις — πλησίον γὰρ ὦπει τῶν πυλῶν, πρὸς τῇ Ἀμαξονίδι στήλῃ — καταλαμβάνομεν αὐτὸν ἤδη μὲν συνειλεγμένον τὰς ἀφὰς καὶ τῷ σώματι ῥωμαλέον, ἀσθενῇ δὲ τὴν ψυχήν, πάνυ ἐνδεᾶ παραμυθίας, πολλάκις δ' ἀναφερόμενον καὶ στεναγμοὺς ἱέντα σὺν δακρύοις καὶ κροτήσεσι χειρῶν. κατιδὼν δὲ αὐτόν, Ἀξίοχε, τί ταῦτα; ἔφην· ποῦ τὰ πρόσθεν αὐχήματα καὶ αἱ συνεχεῖς εὐλογίαι τῶν ἀρετῶν καὶ τὸ ἄῤῥατον ἐν σοὶ θάρσος; ὡς γὰρ ἀγωνιστὴς δειλός, ἐν τοῖς γυμνασίοις γενναῖος φαινόμενος, ὑπολέλοιπας ἐν τοῖς ἄθλοις. οὐκ ἐπιλογιεῖ τὴν φύσιν περιεσκεμμένως, ἀνὴρ τοσόσδε τῷ χρόνῳ καὶ κατήκοος λόγων καί, εἰ μηδὲν ἕτερον, Ἀθηναῖος, ὅτι, τὸ κοινὸν δὴ τοῦτο καὶ πρὸς πάντων θρυλούμενον, παρεπιδημία τίς ἐστιν ὁ βίος, καὶ ὅτι δεῖ *τοῦτον* ἐπιεικῶς διαγαγόντας εὐθύμως μόνον οὐχὶ παιανίζοντας εἰς τὸ χρεὼν ἀπιέναι; τὸ δὲ οὕτω μαλακῶς καὶ δυσαποσπάστως ἔχειν νηπίου δίκην οὐ περὶ φρονοῦσαν ἡλικίαν ἐστίν. B

ΑΞ. Ἀληθῆ ταῦτα, ὦ Σώκρατες, καὶ ὀρθῶς μοι φαίνει λέγων· ἀλλ' οὐκ οἶδ' ὅπως παρ' αὐτὸ τὸ δεινὸν γενομένῳ οἱ μὲν καρτεροὶ καὶ περιττοὶ λόγοι ὑπεκπνέουσι λεληθότως καὶ ἀτιμάζονται, ἀντίσχει δὲ δέος τι, ποικίλως περιαμύττον τὸν νοῦν, εἰ στερήσομαί τοῦδε τοῦ φωτὸς καὶ τῶν ἀγαθῶν, ἀειδὴς δὲ καὶ ἄπυστος ὁποίποτε κείσομαι σηπόμενος, εἰς εὐλὰς καὶ κνώδαλα μεταβάλλων. C

ΣΩ. Συνάπτεις γάρ, ὦ Ἀξίοχε, παρὰ τὴν ἀνεπιστασίαν ἀνεπιλογίστως τῇ ἀναισθησίᾳ αἰσθησιν, καὶ σεαυ- D

τῷ ὑπεναντία καὶ ποιεῖς καὶ λέγεις, οὐκ ἐπιλογιζόμενος, ὅτι ἅμα μὲν ὀδύρει τὴν ἀναισθησίαν, ἅμα δὲ ἀλγεῖς ἐπὶ σήψεσι καὶ στερήσει τῶν ἡδέων, ὥσπερ εἰς ἕτερον ζῆν ἀποθανούμενος, ἀλλ' οὐκ εἰς παντελῆ μεταβαλῶν ἀναισθησίαν καὶ τὴν αὐτὴν τῇ πρὸ τῆς γενέσεως. ὡς οὖν ἐπὶ τῆς Δράκοντος ἢ Κλεισθένους πολιτείας οὐδὲν περὶ σὲ κακὸν ἦν· ἀρχὴν γὰρ οὐκ ἦς, περὶ ὃν ἂν ἦν· οὕτως οὐδὲ
E μετὰ τὴν τελευτὴν γενήσεται· σὺ γὰρ οὐκ ἔσει περὶ ὃν ἔσται. πάντα τοιγαροῦν τὸν τοιόνδε φλύαρον ἀποσκέδασαι, τοῦτο ἐννοήσας, ὅτι τῆς συγκρίσεως ἅπαξ διαλυθείσης καὶ τῆς ψυχῆς ἐς τὸν οἰκεῖον ἱδρυθείσης τόπον τὸ ὑπολειφθὲν σῶμα, γεῶδες ὂν καὶ ἄλογον, οὐκ ἔστιν ὁ ἄνθρωπος. ἡμεῖς μὲν γάρ ἐσμεν ψυχή, ζῶον ἀθάνατον ἐν θνητῷ
366 καθειργμένον φρουρίῳ· τὸ δὲ σκῆνος τουτὶ πρὸς κακοῦ περιήρμοσεν ἡ φύσις, ᾧ τὰ μὲν ἥδοντα ἀμυχιαῖα καὶ πτηνὰ καὶ πλείοσιν ὀδύναις ἀνακεκραμένα, τὰ δὲ ἀλγεινὰ ἀκραιφνῆ καὶ πολυχρόνια καὶ τῶν ἡδόντων ἄμοιρα· [νόσους δὲ καὶ φλεγμονὰς τῶν αἰσθητηρίων, ἔτι δὲ τὰς ἐντὸς κακότητας,] οἷς ἀναγκαστῶς, ἅτε παρεσπαρμένη τοῖς πόροις, ἡ ψυχὴ συναλγοῦσα τὸν οὐράνιον ποθεῖ καὶ σύμφυλον αἰθέρα, καὶ διψᾷ τῆς ἐκεῖσε διαίτης καὶ χορείας ὀριB γνωμένη· ὥστε ἡ τοῦ ζῆν ἀπαλλαγὴ κακοῦ τινός ἐστιν εἰς ἀγαθὸν μεταβολή.

IV. ΑΞ. Κακὸν οὖν, ὦ Σώκρατες, ἡγούμενος τὸ ζῆν πῶς ἐν αὐτῷ μένεις, καὶ ταῦτα φροντιστὴς ὢν καὶ ὑπὲρ ἡμᾶς τοὺς πολλοὺς τῷ νῷ διαφέρων;

ΣΩ. Ἀξίοχε, σὺ δὲ οὐκ ἔτυμά μοι μαρτυρεῖς, οἴει δὲ καθάπερ Ἀθηναίων ἡ πληθύς, ἐπειδὴ ζητητικός εἰμι τῶν πραγμάτων, ἐπιστήμονά του εἶναί με. ἐγὼ δὲ εὐξαίμην ἂν τὰ κοινὰ ταῦτα εἰδέναι· τοσοῦτον ἀποδέω τῶν περιττῶν. καὶ ταῦτα δέ, ἃ λέγω, Προδίκου ἐστὶ τοῦ σοφοῦ ἀπη-

χήματα, τὰ μὲν διμοίρου ἐωνημένα, τὰ δὲ δυοῖν δραχμαῖν, τὰ δὲ τετραδράχμου. προϊκα γὰρ ἀνὴρ οὗτος οὐδένα διδάσκει, διὰ παντὸς δὲ ἔθος ἐστὶν αὐτῷ φωνεῖν τὸ Ἐπιχάρμειον· ἃ δὲ χεὶρ τὰν χεῖρα νίζει· δός τι καὶ λάβοις τί *κα*. καὶ πρώην γοῦν παρὰ Καλλίᾳ τῷ Ἱππονίκου ποιούμενος ἐπίδειξιν τοσάδε τοῦ ζῆν κατεῖπεν, ὥστε ἔγωγε μὲν παρὰ ἀκαρῆ διέγραψα τὸν βίον, καὶ ἐξ ἐκείνου θανατᾷ μου ἡ ψυχή, Ἄξίοχε.

ΑΞ. Τίνα δὲ ἦν τὰ λεχθέντα;

V. ΣΩ. Φράσαιμι ἄν σοι ταῦτα ἃ μνημονεύσω. ἔφη γάρ, Τί μέρος τῆς ἡλικίας ἄμοιρον τῶν ἀνιαρῶν; οὐ κατὰ μὲν τὴν πρώτην γένεσιν τὸ νήπιον κλαίει, τοῦ ζῆν ἀπὸ λύπης ἀρχόμενον; οὐ λείπεται γοῦν οὐδεμιᾶς ἀλγηδόνος, ἀλλ᾽ ἢ δι᾽ ἔνδειαν ἢ περιψυγμὸν ἢ θάλπος ἢ πληγὴν ὀδυνᾶται, λαλῆσαι μὲν οὔπω δυνάμενον ἃ πάσχει, κλαυθμυριζόμενον δὲ καὶ ταύτην τῆς δυσαρεστήσεως μίαν ἔχον φωνήν. ὁπόταν δὲ εἰς τὴν ἐπταετίαν ἀφίκηται πολλοὺς πόνους διαντλῆσαν,*ἐπέστησαν* παιδαγωγοὶ καὶ γραμματισταὶ καὶ παιδοτρίβαι τυραννοῦντες· αὐξομένου δὲ κριτικοί, γεωμέτραι, τακτικοί, πολὺ πλῆθος δεσποτῶν. ἐπειδὰν δὲ εἰς τοὺς ἐφήβους ἐγγραφῇ, κοσμητὴς καὶ φόβος χείρων, ἔπειτα Λύκειον καὶ Ἀκαδημία καὶ γυμνασιαρχία καὶ ῥάβδοι καὶ κακῶν ἀμετρίαι· καὶ πᾶς ὁ τοῦ μειρακίσκου χρόνος ἐστὶν ὑπὸ σωφρονιστὰς καὶ τὴν ἐπὶ τοὺς νέους αἵρεσιν τῆς ἐξ Ἀρείου πάγου βουλῆς. ἐπειδὰν δὲ ἀπολυθῇ τούτων, φροντίδες ἄντικρυς ὑπέδυσαν καὶ διαλογισμοί, τίνα τὴν τοῦ βίου ὁδὸν ἐνστήσεται, καὶ τοῖς ὕστερον χαλεποῖς ἐφάνη τὰ πρῶτα παιδικὰ καὶ νηπίων ὡς ἀληθῶς φόβητρα· στρατεῖαί τε γὰρ καὶ τραύματα καὶ συνεχεῖς ἀγῶνες. εἶτα λαθὸν ὑπῆλθε τὸ γῆρας, εἰς ὃ πᾶν συρρεῖ τὸ τῆς φύσεως μή τις θᾶττον ὡς χρέος ἀπο-

διδῷ τὸ ζῆν, ὡς ὀβολοστάτις ἡ φύσις ἐπιστᾶσα ἐνεχυράζει τοῦ μὲν ὄψιν, τοῦ δὲ ἀκοήν, πολλάκις δὲ ἄμφω. κἂν ἐπιμείνῃ τις, παρέλυσεν, ἐλωβήσατο, παρήρθρωσεν. ἀλλ' οἱ πολλοὶ γήρως ἀπακμάζουσι καὶ τῷ νῷ, καὶ δὶς παῖδες οἱ γέροντες γίγνονται *κατὰ τὴν παροιμίαν*.

VI. Διὰ τοῦτο καὶ οἱ θεοὶ τῶν ἀνθρωπείων ἐπιστήμονες, οὓς ἂν περὶ πλείστου ποιῶνται, θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν. Ἀγαμήδης γοῦν καὶ Τροφώνιος οἱ δειμάμενοι τὸ Πυθοῖ τοῦ θεοῦ τέμενος, εὐξάμενοι τὸ κράτιστον αὐτοῖς γενέσθαι, κοιμηθέντες οὐκέτ' ἀνέστησαν· οἵ τε τῆς Ἀργείας ἱερείας υἱεῖς, ὁμοίως εὐξαμένης αὐτοῖς τῆς μητρὸς γενέσθαι τι τῆς εὐσεβείας παρὰ τῆς Ἥρας γέρας, ἐπειδὴ τοῦ ζεύγους ὑστερήσαντος ὑποδύντες αὐτοὶ διήνεγκαν αὐτὴν εἰς τὸν νεών, μετὰ τὴν εὐχὴν νυκτὶ μετήλαξαν. μακρὸν ἂν εἴη διεξιέναι τὰ τῶν ποιητῶν, οἳ στόμασι θειοτέροις τὰ περὶ τὸν βίον θεσπιῳδοῦσιν, ὡς κατοδύρονται τὸ ζῆν· ἑνὸς δὲ μόνου μνησθήσομαι τοῦ ἀξιολογωτάτου, λέγοντος

ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσιν,
ζώειν ἀχνυμένοις,

καὶ

οὐ μὲν γάρ τί ποτ' ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς
πάντων ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.

368 τὸν δ' Ἀμφιάραον τί φησιν;

τὸν πέρι κῆρι φίλει Ζεύς τ' αἰγίοχος καὶ Ἀπόλλων
παντοίῃ φιλότητ'· οὐδ' ἵκετο γήραος οὐδόν.

ὁ δὲ κελεύων

τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά,

τί σοι φαίνεται; ἀλλὰ παύομαι, μή ποτε παρὰ τὴν ὑπόσχεσιν μηκύνω καὶ ἑτέρων μιμνησκόμενος.

VII. Ποίαν δέ τις ἑλόμενος ἐπιτήδευσιν ἢ τέχνην οὐ

μέμφεται καὶ τοῖς παροῦσι χαλεπαίνει; τὰς χειρωνακτικὰς B
ἐπέλθωμεν καὶ βαναύσους πονουμένων ἐκ νυκτὸς εἰς
νύκτα καὶ μόλις ποριζομένων τἀπιτήδεια, κατοδυρομένων
τε ἑαυτοὺς καὶ πᾶσαν ἀγρυπνίαν ἀναπιμπλάντων ὀλο-
φυρμοῦ καὶ φροντίδων; ἀλλὰ τὸν πλωτικὸν καταλεξώ-
μεθα, περαιούμενον διὰ τοσῶνδε κινδύνων καὶ, ὡς ἀπε-
φήνατο Βίας, μήτε ἐν τοῖς τεθνηκόσιν ὄντα μήτε ἐν τοῖς
βιοῦσιν; ὁ γὰρ ἐπίγειος ἄνθρωπος ὡς ἀμφίβιος αὐτὸν εἰς
τὸ πέλαγος ἔρριψεν, ἐπὶ τῇ τύχῃ γενόμενος πᾶς. ἀλλ' ἡ C
γεωργία γλυκύ· δῆλον. ἀλλ' οὐχ ὅλον, ὥς φασιν, ἕλκος,
ἀεὶ λύπης πρόφασιν εὑρισκόμενον, κλαῖον νυνὶ μὲν αὐ-
χμόν, νυνὶ δὲ ἐπομβρίας, νυνὶ δὲ ἐπίκλυσιν, νυνὶ δὲ ἐρυ-
σίβην, νυνὶ δὲ θάλπος ἄκαιρον ἢ κρυμόν; ἀλλ' ἡ πολυτί-
μητος πολιτεία — πολλὰ γὰρ ὑπερβαίνω — διὰ πόσων
ἐλαύνεται δεινῶν; τὴν μὲν χαρὰν ἔχουσα φλεγμονῆς δί-
κην παλλομένην καὶ σφυγματώδη, τὴν δὲ ἀπότευξιν ἀλγί- D
στην καὶ θανάτων μυρίων χεῖρω. τίς γὰρ ἂν εὐδαιμονή-
σειε πρὸς ὄχλον ζῶν, εἰ ποππυσθείη καὶ κροτηθείη θήμου
παίγνιον, ἐκβαλλόμενον, συριττόμενον, ζημιούμενον,
θνῆσκον, ἐλεούμενον· ἐπεί τοί γε, Ἀξίοχε πολιτικέ, ποῦ
τέθνηκε Μιλτιάδης; ποῦ δὲ Θεμιστοκλῆς; ποῦ δ' Ἐφιάλ-
της; ποῦ δὲ πρώην οἱ δέκα στρατηγοί; ὅτ' ἐγὼ μὲν οὐκ
ἐπηρόμην τὴν γνώμην· οὐ γὰρ ἐφαίνετό μοι σεμνὸν μαι-
νομένῳ δήμῳ συνεξάρχειν· οἱ δὲ περὶ Θηραμένην καὶ
Καλλίξενον τῇ ὑστεραίᾳ προέδρους ἐγκαθέτους ὑφέντες E
κατεχειροτόνησαν τῶν ἀνδρῶν ἄκριτον θάνατον. καίτοι
γε σὺ μόνος αὐτοῖς ἤμυνες καὶ Εὐρυπτόλεμος, τρισμυ- 369
ρίων ἐκκλησιαζόντων.

VIII. ΑΞ. Ἔστι ταῦτα, ὦ Σώκρατες· καὶ ἐγωγε ἐξ
ἐκείνου ἅλις ἔσχον τοῦ βήματος καὶ χαλεπώτερον οὐδὲν
ἐφάνη μοι πολιτείας· δῆλον δὲ τοῖς ἐν τῷ ἔργῳ γενομένοις.

σὺ μὲν γὰρ οὕτω λαλεῖς ὡς ἐξ ἀπόπτου θεώμενος, ἡμεῖς δ' ἴσμεν ἀκριβέστερον οἱ διὰ πείρας ἰόντες. δῆμος γάρ, ὦ φίλε Σώκρατες, ἀχάριστον, ἀψίκορον, ὠμόν, βάσκανον, ἀπαίδευτον, ὡς ἂν συνηρανισμένον ἐκ σύγκλυδος ὄχλου
B καὶ βιαίων φλυάρων· ὁ δὲ τούτῳ προσεταιριζόμενος ἀθλιώτερος μακρῷ.

ΣΩ. Ὁπότε οὖν, ὦ Ἀξίοχε, τὴν ἐλευθεριωτάτην ἐπιστήμην τίθεσαι τῶν λοιπῶν ἀπευκταιοτάτην, τί τὰς λοιπὰς ἐπιτηδεύσεις ἐννοήσομεν; οὐ φευκτάς; ἤκουσα δέ ποτε καὶ τοῦ Προδίκου λέγοντος, ὅτι ὁ θάνατος οὔτε περὶ τοὺς ζῶντάς ἐστιν οὔτε περὶ τοὺς μετηλλαχότας.

ΑΞ. Πῶς φῄς, ὦ Σώκρατες;

IX. ΣΩ. Ὅτι περὶ μὲν τοὺς ζῶντας οὐκ ἔστιν, οἱ δὲ
C ἀποθανόντες οὐκ εἰσίν. ὥστε οὔτε περὶ σὲ νῦν ἐστίν, οὐ γὰρ τέθνηκας, οὔτε εἴ τι πάθοις, ἔσται περὶ σέ· σὺ γὰρ οὐκ ἔσει. μάταιος οὖν ἡ λύπη, περὶ τοῦ μήτε ὄντος μήτε ἐσομένου περὶ Ἀξίοχον Ἀξίοχον ὀδύρεσθαι, καὶ ὅμοιον ὡς εἰ περὶ τῆς Σκύλλης ἢ τοῦ Κενταύρου τις ὀδύροιτο, τῶν μήτε ὄντων περὶ σὲ μήτε ὕστερον μετὰ τὴν τελευτὴν ἐσομένων. τὸ γὰρ φοβερὸν τοῖς οὖσίν ἐστι· τοῖς δ' οὐκ οὖσι
D πῶς ἂν εἴη;

ΑΞ. Σὺ μὲν ἐκ τῆς ἐπιπολαζούσης τὰ νῦν λεσχηνείας τὰ σοφὰ ταῦτα εἴρηκας· ἐκεῖθεν γάρ ἐστιν ἥδε ἡ φλυαρολογία, πρὸς τὰ μειράκια διακεκοσμημένη· ἐμὲ δὲ ἡ στέρησις τῶν ἀγαθῶν τοῦ ζῆν λυπεῖ, κἂν πιθανωτέρους τούτων λόγους ἂν τικροτήσῃς, ὦ Σώκρατες. οὐκ ἐπαΐει γὰρ ὁ νοῦς ἀποπλανώμενος εἰς εὐεπείας λόγων, οὐδὲ ἅπτεται ταῦτα τῆς ὁμοχροίας, ἀλλ' εἰς μὲν πομπὴν καὶ ῥημάτων ἀγλαϊσμὸν ἀνύτει, τῆς δὲ ἀληθείας ἀποδεῖ· τὰ δὲ παθήματα
E σοφισμάτων οὐκ ἀνέχεται, μόνοις δὲ ἀρκεῖται τοῖς δυναμένοις καθικέσθαι τῆς ψυχῆς.

X. ΣΩ. Συνάπτεις γάρ, ὦ Ἀξίοχε, ἀνεπιλογίστως, τῇ στερήσει τῶν ἀγαθῶν ἀντεισάγων κακῶν αἴσθησιν, ἐκλαθόμενος ὅτι τέθνηκας. λυπεῖ γὰρ τὸν στερόμενον τῶν ἀγαθῶν ἡ ἀντιπάθεια τῶν κακῶν, ὁ δ' οὐκ ὢν οὐδὲ τῆς στερήσεως ἀντιλαμβάνεται· πῶς οὖν ἐπὶ τῷ μὴ παρέξοντι γνῶσιν τῶν λυπησόντων γένοιτ' ἂν ἡ λύπη; ἀρχὴν γάρ, ὦ Ἀξίοχε, μὴ συνυποτιθέμενος ἀμῶς γέ πως μίαν αἴσθησιν, κατὰ τὸ ἀνεπιστῆμον, οὐκ ἄν ποτε πτυρείης τὸν θάνατον· νῦν δὲ περιτρέπεις σεαυτόν, δειματούμενος στερήσεσθαι τῆς ψυχῆς, τῇ δὲ στερήσει περιτιθεὶς ψυχήν, καὶ ταρβεῖς μὲν τὸ μὴ αἰσθήσεσθαι, καταλήψεσθαι δὲ οἴει τὴν οὐκ ἐσομένην αἴσθησιν αἰσθήσει· πρὸς τῷ πολλοὺς καὶ καλοὺς εἶναι λόγους περὶ τῆς ἀθανασίας τῆς ψυχῆς. οὐ γὰρ δὴ θνητή γε φύσις *οὖσα* τοσόνδ' ἂν ἤρατο μεγεθουργίας, ὥστε καταφρονῆσαι μὲν ὑπερβαλλόντων θηρίων βίας, διαπεραιώσασθαι δὲ πελάγη, δείμασθαι δὲ ἄστη, καταστήσασθαι δὲ πολιτείας, ἀναβλέψαι δὲ εἰς τὸν οὐρανὸν καὶ ἰδεῖν περιφορὰς ἄστρων καὶ δρόμους ἡλίου τε καὶ σελήνης ἐκλείψεις τε καὶ ταχείας ἀποκαταστάσεις, ἰσημερίας τε καὶ τροπὰς διττὰς χειμῶνος καὶ θέρους καὶ πλειάδων ἀνατολάς τε καὶ δύσεις ἀνέμους τε καὶ καταφορὰς ὄμβρων καὶ πρηστήρων ἐξαισίους συρμούς, καὶ τὰ τοῦ κόσμου παθήματα παραπήξασθαι πρὸς τὸν αἰῶνα, εἰ μή τι θεῖον ὄντως ἐνῆν πνεῦμα τῇ ψυχῇ, δι' οὗ τὴν τῶν τηλικῶνδε περίνοιαν καὶ γνῶσιν ἔσχεν.

XI. Ὥστε οὐκ εἰς θάνατον ἀλλ' εἰς ἀθανασίαν μεταβαλεῖς, ὦ Ἀξίοχε, οὐδὲ ἀφαίρεσιν ἕξεις τῶν ἀγαθῶν, ἀλλ' εἰλικρινεστέραν τὴν ἀπόλαυσιν, οὐδὲ μεμιγμένας θνητῷ σώματι τὰς ἡδονάς, ἀλλ' ἀκράτους ἁπασῶν ἀλγηδόνων. ἐκεῖσε γὰρ ἀφίξει μονωθεὶς ἐκ τῆσδε τῆς εἱρκτῆς, ἔνθα ἄπονα πάντα καὶ ἀστένακτα καὶ ἀγήρατα, γαληνὸς δέ τις

καὶ κακῶν ἄγονος βίος, ἀσαλεύτῳ ἡσυχίᾳ εὐδιαζόμενος, καὶ περιαθρῶν τὴν φύσιν, φιλοσοφῶν οὐ πρὸς ὄχλον καὶ θέατρον, ἀλλὰ πρὸς ἀμφιθαλῆ τὴν ἀλήθειαν.

ΑΞ. Εἰς τοὐναντίον με τῷ λόγῳ περιέστακας· οὐκέτι γάρ μοι θανάτου δέος ἔνεστιν, ἀλλ' ἤδη καὶ πόθος,
E ἵνα τι κἀγὼ μιμησάμενος τοὺς ῥήτορας περιττὸν εἴπω· κἄμπαλιν μετεωρολογῶ καὶ δίειμι τὸν ἀΐδιον καὶ θεῖον δρόμον, ἔκ τε τῆς ἀσθενείας ἐμαυτὸν συνείλεγμαι καὶ γέγονα καινός.

371 XII. ΣΩ. Εἰ δὲ καὶ ἕτερον βούλει λόγον, ὃν ἐμοὶ ἤγγειλε Γωβρύης, ἀνὴρ μάγος· ἔφη κατὰ τὴν Ξέρξου διάβασιν τὸν πάππον αὐτοῦ καὶ ὁμώνυμον πεμφθέντα εἰς Δῆλον, ὅπως τηρήσειε τὴν νῆσον ἐν ᾗ οἱ δύο θεοὶ ἐγένοντο, ἐκ τινῶν χαλκέων δέλτων, ἃς ἐξ Ὑπερβορέων ἐκόμισαν Ὠπίς τε καὶ Ἑκαέργη, ἐκμεμαθηκέναι, μετὰ τὴν τοῦ σώματος λύσιν τὴν ψυχὴν εἰς τὸν ἄδηλον χωρεῖν τόπον κατὰ τὴν ὑπόγειον οἴκησιν, ἐν ᾗ βασίλεια Πλούτωνος οὐχ ἧττω
B τῆς τοῦ Διὸς αὐλῆς, ἅτε τῆς μὲν γῆς ἐχούσης τὰ μέσα τοῦ κόσμου, τοῦ δὲ πόλου ὄντος σφαιροειδοῦς, οὗ τὸ μὲν ἕτερον ἡμισφαίριον θεοὶ ἔλαχον οἱ οὐράνιοι, τὸ δὲ ἕτερον οἱ ὑπένερθεν, οἱ μὲν ἀδελφοὶ ὄντες, οἱ δὲ ἀδελφῶν παῖδες. τὰ δὲ πρόπυλα τῆς εἰς Πλούτωνος ὁδοῦ σιδηροῖς κλείθροις καὶ κλεισὶν ὠχύρωται· ταῦτα δὲ ἀνοίξαντα ποταμὸς Ἀχέρων ἐκδέχεται, μεθ' ὃν Κωκυτός, οὓς χρὴ πορθμεύσαντας ἀχθῆναι ἐπὶ Μίνω καὶ Ῥαδάμανθυν, ὃ κλήζεται πεδίον ἀληθείας.

C XIII. Ἐνταῦθοι καθέζονται δικασταὶ ἀνακρίνοντες τῶν ἀφικνουμένων ἕκαστον, τίνα βίον βεβίωκε καὶ τίσιν ἐπιτηδεύμασιν ἐνῳκίσθη τῷ σώματι. ψεύσασθαι μὲν οὖν ἀμήχανον. ὅσοις μὲν οὖν ἐν τῷ ζῆν δαίμων ἀγαθὸς ἐπέπνευσεν, εἰς τὸν τῶν εὐσεβῶν χῶρον οἰκίζονται, ἔνθα

ἄφθονοι μὲν ὧραι παγκάρπου γονῆς βρύουσι, πηγαὶ δὲ ὑδάτων καθαρῶν ῥέουσι, παντοῖοι δὲ λειμῶνες ἄνθεσι ποικίλοις ἐαριζόμενοι, διατριβαὶ δὲ φιλοσόφων καὶ θέατρα ποιητῶν καὶ κύκλιοι χοροὶ καὶ μουσικὰ ἀκούσματα, συμ- D
πόσιά τε εὐμελῆ καὶ εἰλαπίναι αὐτοχορήγητοι, καὶ ἀκήρατος ἀλυπία καὶ ἡδεῖα δίαιτα· οὔτε γὰρ χεῖμα σφοδρὸν οὔτε θάλπος ἐγγίγνεται, ἀλλ' εὔκρατος ἀὴρ χεῖται ἁπαλαῖς ἡλίου ἀκτῖσιν ἀνακιρνάμενος. ἐνταῦθα τοῖς μεμυημένοις ἐστί τις προεδρία· καὶ τὰς ὁσίους ἁγιστείας ἐκεῖσε συντελοῦσι. πῶς οὖν οὐ σοὶ πρώτῳ μέτεστι τῆς τιμῆς, ὄντι γεννήτῃ τῶν θεῶν; καὶ τοὺς περὶ Ἡρακλέα τε καὶ Διόνυ- E
σον κατιόντας εἰς Ἅιδου πρότερον λόγος ἐνθάδε μυηθῆναι, καὶ τὸ θάρσος τῆς ἐκεῖσε πορείας παρὰ τῆς Ἐλευσινίας ἐναύσασθαι. ὅσοις δὲ τὸ ζῆν διὰ κακουργημάτων ἠλάθη, ἄγονται πρὸς Ἐρινύων ἐπ' ἔρεβος καὶ χάος διὰ ταρτάρου, ἔνθα χῶρος ἀσεβῶν καὶ Δαναΐδων ὑδρεῖαι ἀτελεῖς καὶ Ταντάλου δίψος καὶ Τιτυοῦ σπλάγχνα καὶ Σισύφου πέτρος ἀνήνυτος, οὗ τὰ τέρματα αὖθις ἄρχεται πό- 372
νων· ἔνθα θηρσὶ περιλιχμώμενοι καὶ λαμπάσιν ἐπιμόνως πυρούμενοι Ποινῶν καὶ πᾶσαν αἰκίαν αἰκιζόμενοι ἀΐδιοις τιμωρίαις τρύχονται.

XIV. Ταῦτα μὲν ἐγὼ ἤκουσα παρὰ Γωβρύου, σὺ δ' ἂν ἐπικρίνειας, Ἀξίοχε. ἐγὼ γὰρ λόγῳ ἀνθελκόμενος τοῦτο μόνον ἐμπέδως οἶδα, ὅτι ψυχὴ ἅπασα ἀθάνατος, ἡ δὲ ἐκ τοῦδε τοῦ χωρίου μεταστᾶσα καὶ ἄλυπος· ὥστε ἢ κάτω ἢ ἄνω εὐδαιμονεῖν σε δεῖ, Ἀξίοχε, βεβιωκότα εὐσεβῶς.

ΑΞ. Αἰσχύνομαί σοί τι εἰπεῖν, ὦ Σώκρατες· τοσοῦ- B
τον γὰρ ἀποδέω τοῦ δεδοικέναι τὸν θάνατον, ὥστε ἤδη καὶ ἔρωτα αὐτοῦ ἔχειν. οὕτω με καὶ οὗτος ὁ λόγος, ὡς καὶ ὁ οὐράνιος, πέπεικε, καὶ ἤδη περιφρονῶ τοῦ ζῆν, ἅτε εἰς ἀμείνω οἶκον μεταστησόμενος. νυνὶ δὲ ῥῆμα κατ' ἐμαυ-

τὸν ἀναριθμήσομαι τὰ λεχθέντα, ἐκ μεσημβρίας δὲ πο σει μοι, ὦ Σώκρατες.

ΣΩ. Ποιήσω ὡς λέγεις, κἀγὼ δὲ ἐπάνειμι ἐς Κυν αργες ἐς περίπατον, ὁπόθεν δεῦρο μετεκλήθην.

APPENDIX PLATONICA.

τὸν ἀναριθμήσομαι τὰ λεχθέντα, ἐκ μεσημβρίας δὲ πο σει μοι, ὦ Σώκρατες.

ΣΩ. Ποιήσω ὡς λέγεις, κἀγὼ δὲ ἐπάνειμι ἐς Κυν αργες ἐς περίπατον, ὁπόθεν δεῦρο μετεκλήθην.

APPENDIX PLATONICA.

ὅταν τύχῃ νοσῶν ἢ ὅταν ὑγιαίνων. Ἀλλὰ τοῦτό γ', ἔφη, οὐ πολλῆς τινὸς τῆς σκέψεως δεῖται. Ἴσως γάρ, ἦν δ' ἐγώ, παντὶ ἀνθρώπῳ εὔπορον γνῶναι, ὅτι ἡ τοῦ ὑγιαίνοντος ἕξις κρείττων ἐστὶ τῆς τοῦ κάμνοντος· τί δαί; ποτέρως τυγχάνομεν πλειόνων τε καὶ μᾶλλον παντοδαπῶν δεόμενοι, ὅταν κάμνωμεν ἢ ὅταν ὑγιαίνωμεν; Ὅταν κάμνωμεν.
Ε Ὅταν ἄρα αὐτοὶ αὑτῶν τυγχάνωμεν φαυλότατα διακείμενοι, τότε σφόδρα τε καὶ πλείστων, τὰ πρὸς ἡδονὰς τὰς διὰ τοῦ σώματος, ἐν ἐπιθυμίαις τε καὶ δεήσεσίν ἐσμεν; Οὕτως.

XXX. Οὐκοῦν κατὰ τὸν αὐτὸν λόγον, ὥσπερ αὐτὸς αὑτοῦ τότε φαίνεται βέλτιστα ἔχων, ὅταν ἐλαχίστων τῶν τοιούτων δέηται, οὕτω πάλιν καὶ δυοῖν ὄντοιν, εἰ ὁ μὲν τυγχάνοι σφόδρα τε καὶ πολλῶν ἐν ἐπιθυμίᾳ τε καὶ δεήσει ὤν, ὁ δὲ ὀλίγων τε καὶ ἡσύχως; οἷον τὰ τοιάδε· ὅσοι τῶν ἀνθρώπων τυγχάνουσι κυβευταὶ ὄντες, οἱ δὲ οἰνόφλυγες, ἕτεροι δὲ γαστρίμαργοι — ἅπανταγὰρ ταῦτα οὐδὲν ἕτερον τυγχάνει ὄντα ἢ ἐπιθυμίαι. Σφόδρα γε. Αἱ δ' ἐπιθυμίαι πᾶσαι οὐδὲν ἕτερον ἢ ἔνδειαί τινων· οἱ οὖν πλεῖστα τούτων πεπονθότες ἄνθρωποι ἐν μοχθηροτέρᾳ ἕξει εἰσὶ τῶν
406 μηδὲν ἢ ὡς ἐλάχιστα τοιαῦτα πεπονθότων; Πάνυ μὲν οὖν ἔγωγε καὶ σφόδρα μοχθηροὺς τοὺς τοιούτους ὑπολαμβάνω εἶναι· καὶ ὅσῳ ἂν μᾶλλον τοιούτους, τοσούτῳ καὶ μοχθηροτέρους. Οὐκοῦν δοκεῖ ἡμῖν οὐχ οἷόν τε, χρήσιμα εἶναι ταῦτα πρὸς τοῦτο, εἰ μὴ τυγχάνοιμεν καὶ δεόμενοι τούτων πρὸς τοῦτο; Φημί. Ἀναγκαῖον ἄρα, εἴπερ μέλλει ἡμῖν χρήσιμα εἶναι ταῦτα πρὸς τὰς τοῦ σώματος θεραπείας τῶν ἐνδειῶν, ἅμα καὶ δεῖσθαι ἡμᾶς τούτων πρὸς τοῦτο; Ἔμοιγε δοκεῖ. Οὐκοῦν ὅτῳ τυγχάνει πλεῖστα χρήσιμα ὄντα πρὸς
Β τοῦτο, οὗτος ἂν φαίνοιτο καὶ πλείστων δεόμενος πρὸς τοῦτο, εἴπερ ἀνάγκη τῶν χρησίμων πάντων προσδεῖσθαι. Ἔμοιγε δοκεῖ οὕτω φαίνεσθαι. Ἀναγκαῖον ἄρα φαίνεται κατά γε τοῦτον τὸν λόγον, οἷς τυγχάνει πολλὰ χρήματα

ὄντα, τούτους καὶ πολλῶν δεῖσθαι τῶν πρὸς τὴν τοῦ σώματος θεραπείαν ἐπιτηδείων· τὰ γὰρ πρὸς τοῦτο χρήσιμα ὄντα χρήματα ἐφαίνετο· ὥστε ἐξ ἀνάγκης ἂν ἡμῖν φαίνοιντο οἱ πλουσιώτατοι μοχθηρότατα διακείμενοι, εἴπερ γε καὶ πλείστων τοιούτων ἐνδεεῖς ὄντες.

ΑΞΙΟΧΟΣ

[ἢ περὶ θανάτου.]

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΚΛΕΙΝΙΑΣ, ΑΞΙΟΧΟΣ.

St. III. p. 364

I. Ἐξιόντι μοι ἐς Κυνόσαργες καὶ γενομένῳ [μοι] κατὰ τὸν Ἰλισσὸν διῆξε φωνὴ βοῶντός του, Σώκρατες, Σώκρατες. ὡς δὲ ἐπιστραφεὶς περιεσκόπουν ὁπόθεν εἴη, Κλεινίαν ὁρῶ τὸν Ἀξιόχου θέοντα ἐπὶ Καλλιρρόην μετα Ἀάμωνος τοῦ μουσικοῦ καὶ Χαρμίδου τοῦ Γλαύκωνος· ἤστην δὲ αὐτῷ ὁ μὲν διδάσκαλος τῶν κατὰ μουσικήν, ὁ δ' ἐξ ἑταιρείας ἐραστὴς ἅμα καὶ ἐρώμενος. ἐδόκει οὖν μοι ἀφεμένῳ τῆς εὐθὺ ὁδοῦ ἁπαντᾷν αὐτοῖς, ὅπως ῥᾷστα ὁμοῦ γενοίμεθα. δεδακρυμένος δὲ ὁ Κλεινίας, Σώκρατες, ἔφη, νῦν ὁ καιρὸς ἐνδείξασθαι τὴν ἀεὶ θρυλουμένην πρὸς σοῦ σοφίαν· ὁ γὰρ πατὴρ ἔκ τινος ὠρακίας αἰφνιδίου ἀδυνάτως ἔχει καὶ πρὸς τῷ τέλει τοῦ βίου ἐστίν, ἀνιαρῶς τε φέρει τὴν τελευτήν, καίτοι γε τὸν πρόσθεν χρόνον διαχλευάζων τοὺς μορμολυττομένους τὸν θάνατον καὶ
C [πράως] ἐπιτωθάζων. ἀφικόμενος οὖν παρηγόρησον αὐτὸν ὡς εἰωθας, ὅπως ἀστενακτὶ ἐς τὸ χρεὼν ἴῃ, καί μοι σὺν τοῖς λοιποῖς ἵνα καὶ τοῦτο εὐσεβηθῇ. Ἀλλ' οὐκ ἀτυχήσεις μου, ὦ Κλεινία, οὐδενὸς τῶν μετρίων καὶ ταῦτα

ἐφ' ὅσια παρακαλῶν. ἐπειγώμεθα δ' οὖν· εἰ γὰρ οὕτως ἔχει, ὠκύτητος δεῖ.

ΚΛ. Ὀφθέντος σου μόνου, ὦ Σώκρατες, ῥαΐσει· καὶ γὰρ ἤδη πολλάκις αὐτῷ γέγονε συμπτώματος ἀνασφῆλαι. D

ΣΩ. Ὡς δὲ θᾶττον τὴν παρὰ τὸ τεῖχος ἤειμεν, ταῖς Ἰτωνίαις — πλησίον γὰρ ἦκει τῶν πυλῶν, πρὸς τῇ 365
Ἀμαξονίδι στήλῃ — καταλαμβάνομεν αὐτὸν ἤδη μὲν συνειλεγμένον τὰς ἀφὰς καὶ τῷ σώματι ῥωμαλέον, ἀσθενῇ δὲ τὴν ψυχήν, πάνυ ἐνδεᾶ παραμυθίας, πολλάκις δ' ἀναφερόμενον καὶ στεναγμοὺς λέντα σὺν δακρύοις καὶ κροτήσεσι χειρῶν. κατιδὼν δὲ αὐτόν, Ἀξίοχε, τί ταῦτα; ἔφην· ποῦ τὰ πρόσθεν αὐχήματα καὶ αἱ συνεχεῖς εὐλογίαι τῶν ἀρετῶν καὶ τὸ ἄρρατον ἐν σοὶ θάρσος; ὡς γὰρ ἀγωνιστὴς δειλός, ἐν τοῖς γυμνασίοις γενναῖος φαινόμενος, ὑπολέλοιπας ἐν τοῖς ἄθλοις. οὐκ ἐπιλογιεῖ τὴν φύσιν περιεσκεμμέ- B
νως, ἀνὴρ τοσόσδε τῷ χρόνῳ καὶ κατήκοος λόγων καί, εἰ μηδὲν ἕτερον, Ἀθηναῖος, ὅτι, τὸ κοινὸν δὴ τοῦτο καὶ πρὸς πάντων θρυλούμενον, παρεπιδημία τίς ἐστιν ὁ βίος, καὶ ὅτι δεῖ *τοῦτον* ἐπιεικῶς διαγαγόντας εὐθύμως μόνον οὐχὶ παιανίζοντας εἰς τὸ χρεὼν ἀπιέναι; τὸ δὲ οὕτω μαλακῶς καὶ δυσαποσπάστως ἔχειν νηπίου δίκην οὐ περὶ φρονοῦσαν ἡλικίαν ἐστίν.

ΑΞ. Ἀληθῆ ταῦτα, ὦ Σώκρατες, καὶ ὀρθῶς μοι φαί- C
νει λέγων· ἀλλ' οὐκ οἶδ' ὅπως παρ' αὐτὸ τὸ δεινὸν γενομένῳ οἱ μὲν καρτεροὶ καὶ περιττοὶ λόγοι ὑπεκπνέουσι λεληθότως καὶ ἀτιμάζονται, ἀντίσχει δὲ δέος τι, ποικίλως περιαμύττον τὸν νοῦν, εἰ στερήσομαι τοῦδε τοῦ φωτὸς καὶ τῶν ἀγαθῶν, ἀειδὴς δὲ καὶ ἄπνοος ὁποίποτε κείσομαι σηπόμενος, εἰς εὐλὰς καὶ κνώδαλα μεταβάλλων.

ΣΩ. Συνάπτεις γάρ, ὦ Ἀξίοχε, παρὰ τὴν ἀνεπι- D
στασίαν ἀνεπιλογίστως τῇ ἀναισθησίᾳ αἰσθησιν, καὶ σεαυ-

τῷ ὑπεναντία καὶ ποιεῖς καὶ λέγεις, οὐκ ἐπιλογιζόμενος, ὅτι ἅμα μὲν ὀδύρει τὴν ἀναισθησίαν, ἅμα δὲ ἀλγεῖς ἐπὶ σήψεσι καὶ στερήσει τῶν ἡδέων, ὥσπερ εἰς ἕτερον ζῆν ἀποθανούμενος, ἀλλ' οὐκ εἰς παντελῆ μεταβαλὼν ἀναισθησίαν καὶ τὴν αὐτὴν τῇ πρὸ τῆς γενέσεως. ὡς οὖν ἐπὶ τῆς Δράκοντος ἢ Κλεισθένους πολιτείας οὐδὲν περὶ σὲ κακὸν ἦν· ἀρχὴν γὰρ οὐκ ἦς, περὶ ὃν ἂν ἦν· οὕτως οὐδὲ
E μετὰ τὴν τελευτὴν γενήσεται· σὺ γὰρ οὐκ ἔσει περὶ ὃν ἔσται. πάντα τοιγαροῦν τὸν τοιόνδε φλύαρον ἀποσκέδασαι, τοῦτο ἐννοήσας, ὅτι τῆς συγκρίσεως ἅπαξ διαλυθείσης καὶ τῆς ψυχῆς ἐς τὸν οἰκεῖον ἱδρυθείσης τόπον τὸ ὑπολειφθὲν σῶμα, γεῶδες ὂν καὶ ἄλογον, οὐκ ἔστιν ὁ ἄνθρωπος. ἡμεῖς μὲν γάρ ἐσμεν ψυχή, ζῶον ἀθάνατον ἐν θνητῷ
366 καθειργμένον φρουρίῳ· τὸ δὲ σκῆνος τουτὶ πρὸς κακοῦ περιήρμοσεν ἡ φύσις, ᾧ τὰ μὲν ἥδοντα ἀμυχιαῖα καὶ πτηνὰ καὶ πλείοσιν ὀδύναις ἀνακεκραμένα, τὰ δὲ ἀλγεινὰ ἀκραιφνῆ καὶ πολυχρόνια καὶ τῶν ἡδόντων ἄμοιρα· [νόσους δὲ καὶ φλεγμονὰς τῶν αἰσθητηρίων, ἔτι δὲ τὰς ἐντὸς κακότητας,] οἷς ἀναγκαστῶς, ἅτε παρεσπαρμένη τοῖς πόροις, ἡ ψυχὴ συναλγοῦσα τὸν οὐράνιον ποθεῖ καὶ σύμφυλον αἰθέρα, καὶ διψᾷ τῆς ἐκεῖσε διαίτης καὶ χορείας ὀριB γνωμένη· ὥστε ἡ τοῦ ζῆν ἀπαλλαγὴ κακοῦ τινός ἐστιν εἰς ἀγαθὸν μεταβολή.

IV. *ΑΞ.* Κακὸν οὖν, ὦ Σώκρατες, ἡγούμενος τὸ ζῆν πῶς ἐν αὐτῷ μένεις, καὶ ταῦτα φροντιστὴς ὢν καὶ ὑπὲρ ἡμᾶς τοὺς πολλοὺς τῷ νῷ διαφέρων;

ΣΩ. Ἀξίοχε, σὺ δὲ οὐκ ἔτυμά μοι μαρτυρεῖς, οἴει δὲ καθάπερ Ἀθηναίων ἡ πληθύς, ἐπειδὴ ζητητικός εἰμι τῶν πραγμάτων, ἐπιστήμονά του εἶναί με. ἐγὼ δὲ εὐξαίμην ἂν τὰ κοινὰ ταῦτα εἰδέναι· τοσοῦτον ἀποδέω τῶν περιC τῶν. καὶ ταῦτα δέ, ἃ λέγω, Προδίκου ἐστὶ τοῦ σοφοῦ ἀπη-

χήματα, τὰ μὲν διμοίρου ἐωνημένα, τὰ δὲ δυοῖν δραχμαῖν, τὰ δὲ τετραδράχμου. προῖκα γὰρ ἀνὴρ οὗτος οὐδένα διδάσκει, διὰ παντὸς δὲ ἔθος ἐστὶν αὐτῷ φωνεῖν τὸ Ἐπιχάρμειον· ἃ δὲ χεὶρ τὰν χεῖρα νίζει· δός τι καὶ λάβοις τί *κα*. καὶ πρώην γοῦν παρὰ Καλλίᾳ τῷ Ἱππονίκου ποιούμενος ἐπίδειξιν τοσάδε τοῦ ζῆν κατεῖπεν, ὥστε ἔγωγε μὲν παρὰ ἀκαρῆ διέγραψα τὸν βίον, καὶ ἐξ ἐκείνου θανατᾷ μου ἡ ψυχή, Ἄξιοχε.

ΑΞ. Τίνα δὲ ἦν τὰ λεχθέντα;

V. ΣΩ. Φράσαιμι ἄν σοι ταῦτα ἃ μνημονεύσω. ἔφη γάρ, Τί μέρος τῆς ἡλικίας ἄμοιρον τῶν ἀνιαρῶν; οὐ κατὰ μὲν τὴν πρώτην γένεσιν τὸ νήπιον κλαίει, τοῦ ζῆν ἀπὸ λύπης ἀρχόμενον; οὐ λείπεται γοῦν οὐδεμιᾶς ἀλγηδόνος, ἀλλ' ἢ δι' ἔνδειαν ἢ περιψυγμὸν ἢ θάλπος ἢ πληγὴν ὀδυνᾶται, λαλῆσαι μὲν οὔπω δυνάμενον ἃ πάσχει, κλαυθμυριζόμενον δὲ καὶ ταύτην τῆς δυσαρεστήσεως μίαν ἔχον φωνήν. ὁπόταν δὲ εἰς τὴν ἐπαετίαν ἀφίκηται πολλοὺς πόνους διαντλῆσαν, *ἐπέστησαν* παιδαγωγοὶ καὶ γραμματισταὶ καὶ παιδοτρίβαι τυραννοῦντες· αὐξομένου δὲ κριτικοί, γεωμέτραι, τακτικοί, πολὺ πλῆθος δεσποτῶν. ἐπειδὰν δὲ εἰς τοὺς ἐφήβους ἐγγραφῇ, κοσμητὴς καὶ φόβος χείρων, ἔπειτα Λύκειον καὶ Ἀκαδημία καὶ γυμνασιαρχία καὶ ῥάβδοι καὶ κακῶν ἀμετρίαι· καὶ πᾶς ὁ τοῦ μειρακίσκου χρόνος ἐστὶν ὑπὸ σωφρονιστὰς καὶ τὴν ἐπὶ τοὺς νέους αἵρεσιν τῆς ἐξ Ἀρείου πάγου βουλῆς. ἐπειδὰν δὲ ἀπολυθῇ τούτων, φροντίδες ἄντικρυς ὑπέδυσαν καὶ διαλογισμοί, τίνα τὴν τοῦ βίου ὁδὸν ἐνστήσεται, καὶ τοῖς ὕστερον χαλεποῖς ἐφάνη τὰ πρῶτα παιδικὰ καὶ νηπίων ὡς ἀληθῶς φόβητρα· στρατεῖαί τε γὰρ καὶ τραύματα καὶ συνεχεῖς ἀγῶνες. εἶτα λαθὸν ὑπῆλθε τὸ γῆρας, εἰς ὃ πᾶν συρρεῖ τὸ τῆς φύσεως ἐπίκηρον καὶ δυσαλθές. κἂν μή τις θᾶττον ὡς χρέος ἀπο-

διδῷ τὸ ζῆν, ὡς ὀβολοστάτις ἡ φύσις ἐπιστᾶσα ἐνεχυράζει τοῦ μὲν ὄψιν, τοῦ δὲ ἀκοήν, πολλάκις δὲ ἄμφω. κἂν ἐπιμείνῃ τις, παρέλυσεν, ἐλωβήσατο, παρήρθρωσεν. ἀλλ' οἱ πολλοὶ γήρως ἀπακμάζουσι καὶ τῷ νῷ, καὶ δὶς παῖδες οἱ γέροντες γίγνονται *κατὰ τὴν παροιμίαν*.

VI. Διὰ τοῦτο καὶ οἱ θεοὶ τῶν ἀνθρωπείων ἐπιστήμονες, οὓς ἂν περὶ πλείστου ποιῶνται, θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν. Ἀγαμήδης γοῦν καὶ Τροφώνιος οἱ δειμάμενοι τὸ Πυθοῖ τοῦ θεοῦ τέμενος, εὐξάμενοι τὸ κράτιστον αὐτοῖς γενέσθαι, κοιμηθέντες οὐκέτ' ἀνέστησαν· οἵ τε τῆς Ἀργείας ἱερείας υἱεῖς, ὁμοίως εὐξαμένης αὐτοῖς τῆς μητρὸς γενέσθαι τι τῆς εὐσεβείας παρὰ τῆς Ἥρας γέρας, ἐπειδὴ τοῦ ζεύγους ὑστερήσαντος ὑποδύντες αὐτοὶ διήνεγκαν αὐτὴν εἰς τὸν νεών, μετὰ τὴν εὐχὴν νυκτὶ μετήλαξαν. μακρὸν ἂν εἴη διεξιέναι τὰ τῶν ποιητῶν, οἳ στόμασι θειοτέροις τὰ περὶ τὸν βίον θεσπιῳδοῦσιν, ὡς κατοδύρονται τὸ ζῆν· ἑνὸς δὲ μόνου μνησθήσομαι τοῦ ἀξιολογωτάτου, λέγοντος

ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσιν,
ζώειν ἀχνυμένοις,

καὶ

οὐ μὲν γάρ τί ποτ' ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς
πάντων ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.

368 τὸν δ' Ἀμφιάραον τί φησιν;

τὸν πέρι κῆρι φίλει Ζεύς τ' αἰγίοχος καὶ Ἀπόλλων
. παντοίῃ φιλότητ'· οὐδ' ἵκετο γήραος οὐδόν.

ὁ δὲ κελεύων

τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά,

τί σοι φαίνεται; ἀλλὰ παύομαι, μή ποτε παρὰ τὴν ὑπόσχεσιν μηκύνω καὶ ἑτέρων μιμνησκόμενος.

VII. Ποίαν δέ τις ἑλόμενος ἐπιτήδευσιν ἢ τέχνην οὐ

μέμφεται καὶ τοῖς παροῦσι χαλεπαίνει; τὰς χειρωνακτικὰς B
ἐπέλθωμεν καὶ βαναύσους πονουμένων ἐκ νυκτὸς εἰς
νύκτα καὶ μόλις ποριζομένων τἀπιτήδεια, κατοδυρομένων
τε ἑαυτοὺς καὶ πᾶσαν ἀγρυπνίαν ἀνακιμπλάκτων ὀλο-
φυρμοῦ καὶ φροντίδων; ἀλλὰ τὸν πλωτικὸν καταλεξώ-
μεθα, περαιούμενον διὰ τοσῶνδε κινδύνων καὶ, ὡς ἀπε-
φήνατο Βίας, μήτε ἐν τοῖς τεθνηκόσιν ὄντα μήτε ἐν τοῖς
βιοῦσιν; ὁ γὰρ ἐπίγειος ἄνθρωπος ὡς ἀμφίβιος αὐτὸν εἰς
τὸ πέλαγος ἔρριψεν, ἐπὶ τῇ τύχῃ γενόμενος πᾶς. ἀλλ' ἡ C
γεωργία γλυκύ· δῆλον. ἀλλ' οὐχ ὅλον, ὥς φασιν, ἕλκος,
ἀεὶ λύπης πρόφασιν εὑρισκόμενον, κλαῖον νυνὶ μὲν αὐ-
χμόν, νυνὶ δὲ ἐπομβρίας, νυνὶ δὲ ἐπίκλυσιν, νυνὶ δὲ ἐρυ-
σίβην, νυνὶ δὲ θάλπος ἄκαιρον ἢ κρυμόν; ἀλλ' ἡ πολυτί-
μητος πολιτεία — πολλὰ γὰρ ὑπερβαίνω — διὰ πόσων
ἐλαύνεται δεινῶν; τὴν μὲν χαρὰν ἔχουσα φλεγμονῆς δί-
κην παλλομένην καὶ σφυγματώδη, τὴν δὲ ἀπότευξιν ἀλγί- D
στην καὶ θανάτων μυρίων χεῖρω. τίς γὰρ ἂν εὐδαιμονή-
σειε πρὸς ὄχλον ζῶν, εἰ ποππυσθείη καὶ κροτηθείη δήμου
παίγνιον, ἐκβαλλόμενον, συριττόμενον, ξημιούμενον,
θνῆσκον, ἐλεούμενον· ἐπεί τοί γε, Ἀξίοχε πολιτικέ, ποῦ
τέθνηκε Μιλτιάδης; ποῦ δὲ Θεμιστοκλῆς; ποῦ δ' Ἐφιάλ-
της; ποῦ δὲ πρώην οἱ δέκα στρατηγοί; ὅτ' ἐγὼ μὲν οὐκ
ἐπηρόμην τὴν γνώμην· οὐ γὰρ ἐφαίνετό μοι σεμνὸν μαι-
νομένῳ δήμῳ συνεξάρχειν· οἱ δὲ περὶ Θηραμένην καὶ
Καλλίξενον τῇ ὑστεραίᾳ προέδρους ἐγκαθέτους ὑφέντες E
κατεχειροτόνησαν τῶν ἀνδρῶν ἄκριτον θάνατον. καίτοι
γε σὺ μόνος αὐτοῖς ἤμυνες καὶ Εὐρυπτόλεμος, τρισμυ- 369
ρίων ἐκκλησιαζόντων.

VIII. ΑΞ. Ἔστι ταῦτα, ὦ Σώκρατες· καὶ ἐγωγε ἐξ
ἐκείνου ἅλις ἔσχον τοῦ βήματος καὶ χαλεπώτερον οὐδὲν
ἐφάνη μοι πολιτείας· δῆλον δὲ τοῖς ἐν τῷ ἔργῳ γενομένοις.

σὺ μὲν γὰρ οὕτω λαλεῖς ὡς ἐξ ἀπόστου θεώμενος, ἡμεῖς δ' ἴσμεν ἀκριβέστερον οἱ διὰ πείρας ἰόντες. θῆμος γάρ, ὦ φίλε Σώκρατες, ἀχάριστον, ἀψίκορον, ὠμόν, βάσκανον, ἀπαίδευτον, ὡς ἂν συνηρανισμένον ἐκ σύγκλυδος ὄχλου
B καὶ βιαίων φλυάρων· ὁ δὲ τούτῳ προσεταιριζόμενος ἀθλιώτερος μακρῷ.

ΣΩ. Ὁπότε οὖν, ὦ Ἀξίοχε, τὴν ἐλευθεριωτάτην ἐπιστήμην τίθεσαι τῶν λοιπῶν ἀπευκταιοτάτην, τί τὰς λοιπὰς ἐπιτηδεύσεις ἐννοήσομεν; οὐ φευκτάς; ἤκουσα δέ ποτε καὶ τοῦ Προδίκου λέγοντος, ὅτι ὁ θάνατος οὔτε περὶ τοὺς ζῶντάς ἐστιν οὔτε περὶ τοὺς μετηλλαχότας.

ΑΞ. Πῶς φῄς, ὦ Σώκρατες;

IX. ΣΩ. Ὅτι περὶ μὲν τοὺς ζῶντας οὐκ ἔστιν, οἱ δὲ
C ἀποθανόντες οὐκ εἰσίν. ὥστε οὔτε περὶ σὲ νῦν ἐστίν, οὐ γὰρ τέθνηκας, οὔτε εἴ τι πάθοις, ἔσται περὶ σέ· σὺ γὰρ οὐκ ἔσει. μάταιος οὖν ἡ λύπη, περὶ τοῦ μήτε ὄντος μήτε ἐσομένου περὶ Ἀξίοχον Ἀξίοχον ὀδύρεσθαι, καὶ ὅμοιον ὡς εἰ περὶ τῆς Σκύλλης ἢ τοῦ Κενταύρου τις ὀδύροιτο, τῶν μήτε ὄντων περὶ σὲ μήτε ὕστερον μετὰ τὴν τελευτὴν ἐσομένων. τὸ γὰρ φοβερὸν τοῖς οὖσίν ἐστι· τοῖς δ' οὐκ οὖσι
D πῶς ἂν εἴη;

ΑΞ. Σὺ μὲν ἐκ τῆς ἐπιπολαζούσης τὰ νῦν λεσχηνείας τὰ σοφὰ ταῦτα εἴρηκας· ἐκεῖθεν γάρ ἐστιν ἥδε ἡ φλυαρολογία, πρὸς τὰ μειράκια διακεκοσμημένη· ἐμὲ δὲ ἡ στέρησις τῶν ἀγαθῶν τοῦ ζῆν λυπεῖ, κἂν πιθανωτέρους τούτων λόγους ἀν τικροτήσῃς, ὦ Σώκρατες. οὐκ ἐπαΐει γὰρ ὁ νοῦς ἀποπλανώμενος εἰς εὐεπείας λόγων, οὐδὲ ἅπτεται ταῦτα τῆς ὁμοχροίας, ἀλλ' εἰς μὲν πομπὴν καὶ ῥημάτων ἀγλαϊσμὸν ἀνύτει, τῆς δὲ ἀληθείας ἀποδεῖ· τὰ δὲ παθήματα
E σοφισμάτων οὐκ ἀνέχεται, μόνοις δὲ ἀρκεῖται τοῖς δυναμένοις καθικέσθαι τῆς ψυχῆς.

X. ΣΩ. Συνάπτεις γάρ, ὦ Ἀξίοχε, ἀνεπιλογίστως, τῇ στερήσει τῶν ἀγαθῶν ἀντεισάγων κακῶν αἴσθησιν, ἐκλαθόμενος ὅτι τέθνηκας. λυπεῖ γὰρ τὸν στερόμενον τῶν ἀγαθῶν ἡ ἀντιπάθεια τῶν κακῶν, ὁ δ' οὐκ ὢν οὐδὲ τῆς στερήσεως ἀντιλαμβάνεται· πῶς οὖν ἐπὶ τῷ μὴ παρέξοντι γνῶσιν τῶν λυπησόντων γένοιτ' ἂν ἡ λύπη; ἀρχὴν γάρ, ὦ Ἀξίοχε, μὴ συνυποτιθέμενος ἁμῶς γέ πως μίαν αἴσθησιν, κατὰ τὸ ἀνεπιστῆμον, οὐκ ἄν ποτε πτυρείης τὸν θάνατον· νῦν δὲ περιτρέπεις σεαυτόν, δειματούμενος στερήσεσθαι τῆς ψυχῆς, τῇ δὲ στερήσει περιτιθεὶς ψυχήν, καὶ ταρβεῖς μὲν τὸ μὴ αἰσθήσεσθαι, καταλήψεσθαι δὲ οἴει τὴν οὐκ ἐσομένην αἴσθησιν αἰσθήσει· πρὸς τῷ πολλοὺς καὶ καλοὺς εἶναι λόγους περὶ τῆς ἀθανασίας τῆς ψυχῆς. οὐ γὰρ δὴ θνητή γε φύσις *οὖσα* τοσόνδ' ἂν ἥρατο μεγεθουργίας, ὥστε καταφρονῆσαι μὲν ὑπερβαλλόντων θηρίων βίας, διαπεραιώσασθαι δὲ πελάγη, δείμασθαι δὲ ἄστη, καταστήσασθαι δὲ πολιτείας, ἀναβλέψαι δὲ εἰς τὸν οὐρανὸν καὶ ἰδεῖν περιφορὰς ἄστρων καὶ δρόμους ἡλίου τε καὶ σελήνης ἐκλείψεις τε καὶ ταχείας ἀποκαταστάσεις, ἰσημερίας τε καὶ τροπὰς διττὰς χειμῶνος καὶ θέρους καὶ πλειάδων ἀνατολάς τε καὶ δύσεις ἀνέμους τε καὶ καταφορὰς ὄμβρων καὶ πρηστήρων ἐξαισίους συρμούς, καὶ τὰ τοῦ κόσμου παθήματα παραπήξασθαι πρὸς τὸν αἰῶνα, εἰ μή τι θεῖον ὄντως ἐνῆν πνεῦμα τῇ ψυχῇ, δι' οὗ τὴν τῶν τηλικῶνδε περίνοιαν καὶ γνῶσιν ἔσχεν.

XI. Ὥστε οὐκ εἰς θάνατον ἀλλ' εἰς ἀθανασίαν μεταβαλεῖς, ὦ Ἀξίοχε, οὐδὲ ἀφαίρεσιν ἕξεις τῶν ἀγαθῶν, ἀλλ' εἰλικρινεστέραν τὴν ἀπόλαυσιν, οὐδὲ μεμιγμένας θνητῷ σώματι τὰς ἡδονάς, ἀλλ' ἀκράτους ἁπασῶν ἀλγηδόνων. ἐκεῖσε γὰρ ἀφίξει μονωθεὶς ἐκ τῆσδε τῆς εἱρκτῆς, ἔνθα ἄπονα πάντα καὶ ἀστένακτα καὶ ἀγήρατα, γαληνὸς δέ τις

καὶ κακῶν ἄγονος βίος, ἀσαλεύτῳ ἡσυχίᾳ εὐδιαζόμενος, καὶ περιαθρῶν τὴν φύσιν, φιλοσοφῶν οὐ πρὸς ὄχλον καὶ θέατρον, ἀλλὰ πρὸς ἀμφιθαλῆ τὴν ἀλήθειαν.

ΑΞ. Εἰς τοὐναντίον με τῷ λόγῳ περιέστακας· οὐκέτι γάρ μοι θανάτου δέος ἔνεστιν, ἀλλ' ἤδη καὶ πόθος,
E ἵνα τι κἀγὼ μιμησάμενος τοὺς ῥήτορας περιττὸν εἴπω· κἄμπαλιν μετεωρολογῶ καὶ δίειμι τὸν ἀΐδιον καὶ θεῖον δρόμον, ἔκ τε τῆς ἀσθενείας ἐμαυτὸν συνείλεγμαι καὶ γέγονα καινός.

371 XII. ΣΩ. Εἰ δὲ καὶ ἕτερον βούλει λόγον, ὃν ἐμοὶ ἤγγειλε Γωβρύης, ἀνὴρ μάγος· ἔφη κατὰ τὴν Ξέρξου διάβασιν τὸν πάππον αὐτοῦ καὶ ὁμώνυμον πεμφθέντα εἰς Δῆλον, ὅπως τηρήσειε τὴν νῆσον ἐν ᾗ οἱ δύο θεοὶ ἐγένοντο, ἐκ τινῶν χαλκέων δέλτων, ἃς ἐξ Ὑπερβορέων ἐκόμισαν Ὠπίς τε καὶ Ἑκαέργη, ἐκμεμαθηκέναι, μετὰ τὴν τοῦ σώματος λύσιν τὴν ψυχὴν εἰς τὸν ἄδηλον χωρεῖν τόπον κατὰ
B τὴν ὑπόγειον οἴκησιν, ἐν ᾗ βασίλεια Πλούτωνος οὐχ ἧττω τῆς τοῦ Διὸς αὐλῆς, ἅτε τῆς μὲν γῆς ἐχούσης τὰ μέσα τοῦ κόσμου, τοῦ δὲ πόλου ὄντος σφαιροειδοῦς, οὗ τὸ μὲν ἕτερον ἡμισφαίριον θεοὶ ἔλαχον οἱ οὐράνιοι, τὸ δὲ ἕτερον οἱ ὑπένερθεν, οἱ μὲν ἀδελφοὶ ὄντες, οἱ δὲ ἀδελφῶν παῖδες. τὰ δὲ πρόπυλα τῆς εἰς Πλούτωνος ὁδοῦ σιδηροῖς κλείθροις καὶ κλεισὶν ὠχύρωται· ταῦτα δὲ ἀνοίξαντα ποταμὸς Ἀχέρων ἐκδέχεται, μεθ' ὃν Κωκυτός, οὓς χρὴ πορθμεύσαντας ἀχθῆναι ἐπὶ Μίνω καὶ Ῥαδάμανθυν, ὃ κλήξεται πεδίον ἀληθείας.

C XIII. Ἐνταῦθοι καθέζονται δικασταὶ ἀνακρίνοντες τῶν ἀφικνουμένων ἕκαστον, τίνα βίον βεβίωκε καὶ τίσιν ἐπιτηδεύμασιν ἐνῳκίσθη τῷ σώματι. ψεύσασθαι μὲν οὖν ἀμήχανον. ὅσοις μὲν οὖν ἐν τῷ ζῆν δαίμων ἀγαθὸς ἐπέπνευσεν, εἰς τὸν τῶν εὐσεβῶν χῶρον οἰκίζονται, ἔνθα

ἄφθονοι μὲν ὧραι παγκάρπου γονῆς βρύουσι, πηγαὶ δὲ
ὑδάτων καθαρῶν ῥέουσι, παντοῖοι δὲ λειμῶνες ἄνθεσι ποι-
κίλοις ἐαριζόμενοι, διατριβαὶ δὲ φιλοσόφων καὶ θέατρα
ποιητῶν καὶ κύκλιοι χοροὶ καὶ μουσικὰ ἀκούσματα, συμ- D
πόσιά τε εὐμελῆ καὶ εἰλαπίναι αὐτοχορήγητοι, καὶ ἀκήρα-
τος ἀλυπία καὶ ἡδεῖα δίαιτα· οὔτε γὰρ χεῖμα σφοδρὸν οὔτε
θάλπος ἐγγίγνεται, ἀλλ' εὔκρατος ἀὴρ κεῖται ἀπαλαῖς
ἡλίου ἀκτῖσιν ἀνακιρνάμενος. ἐνταῦθα τοῖς μεμνημένοις
ἐστί τις προεδρία· καὶ τὰς ὁσίους ἁγιστείας ἐκεῖσε συν-
τελοῦσι. πῶς οὖν οὐ σοὶ πρώτῳ μέτεστι τῆς τιμῆς, ὄντι
γεννήτῃ τῶν θεῶν; καὶ τοὺς περὶ Ἡρακλέα τε καὶ Διόνυ- E
σον κατιόντας εἰς Ἅιδου πρότερον λόγος ἐνθάδε μνηθῆ-
ναι, καὶ τὸ θάρσος τῆς ἐκεῖσε πορείας παρὰ τῆς Ἐλευσι-
νίας ἐναύσασθαι. ὅσοις δὲ τὸ ζῆν διὰ κακουργημάτων
ἠλάθη, ἄγονται πρὸς Ἐρινύων ἐπ' ἔρεβος καὶ χάος διὰ
ταρτάρου, ἔνθα χῶρος ἀσεβῶν καὶ Δαναΐδων ὑδρεῖαι ἀτε-
λεῖς καὶ Ταντάλου δῖψος καὶ Τιτυοῦ σπλάγχνα καὶ Σισύ-
φου πέτρος ἀνήνυτος, οὗ τὰ τέρματα αὖθις ἄρχεται πό- 372
νων· ἔνθα θηρσὶ περιλιχμώμενοι καὶ λαμπάσιν ἐπιμόνως
πυρούμενοι Ποινῶν καὶ πᾶσαν αἰκίαν αἰκιζόμενοι ἀϊδίοις
τιμωρίαις τρύχονται.

XIV. Ταῦτα μὲν ἐγὼ ἤκουσα παρὰ Γωβρύου, σὺ δ'
ἂν ἐπικρίνειας, Ἀξίοχε. ἐγὼ γὰρ λόγῳ ἀνθελκόμενος τοῦτο
μόνον ἐμπέδως οἶδα, ὅτι ψυχὴ ἅπασα ἀθάνατος, ἡ δὲ ἐκ
τοῦδε τοῦ χωρίου μεταστᾶσα καὶ ἄλυπος· ὥστε ἢ κάτω
ἢ ἄνω εὐδαιμονεῖν σε δεῖ, Ἀξίοχε, βεβιωκότα εὐσεβῶς.

ΑΞ. Αἰσχύνομαί σοί τι εἰπεῖν, ὦ Σώκρατες· τοσοῦ- B
τον γὰρ ἀποδέω τοῦ δεδοικέναι τὸν θάνατον, ὥστε ἤδη
καὶ ἔρωτα αὐτοῦ ἔχειν. οὕτω με καὶ οὗτος ὁ λόγος, ὡς καὶ
ὁ οὐράνιος, πέπεικε, καὶ ἤδη περιφρονῶ τοῦ ζῆν, ἅτε εἰς
ἀμείνω οἶκον μεταστησόμενος. νυνὶ δὲ ῥῆμα κατ' ἐμαυ-

τὸν ἀναριθμήσομαι τὰ λεχθέντα, ἐκ μεσημβρίας δὲ παρέσει μοι, ὦ Σώκρατες.

ΣΩ. Ποιήσω ὡς λέγεις, κἀγὼ δὲ ἐπάνειμι ἐς Κυνόσαργες ἐς περίπατον, ὁπόθεν δεῦρο μετεκλήθην.

APPENDIX PLATONICA.

ΑΛΒΙΝΟΥ

εἰσαγωγὴ εἰς τοὺς Πλάτωνος διαλόγους.

I. Ὅτι τῷ μέλλοντι ἐντεύξεσθαι τοῖς Πλάτωνος διαλόγοις προσήκει πρότερον ἐπίστασθαι αὐτὸ τοῦτο, τί ποτέ ἐστιν ὁ διάλογος. οὔτε γὰρ ἄνευ τέχνης τινὸς καὶ δυνάμεως γεγραμμένοι εἰσίν, οὔτε τεχνικῶς γνωρίσαι ῥᾴδιον τῷ γε θεωρίας ἀπείρως ἔχοντι. ἀρέσκει δὲ τῷ φιλοσόφῳ περὶ παντὸς οὑτινοσοῦν τὴν σκέψιν ποιούμενον τὴν οὐσίαν τοῦ πράγματος ἐξετάζειν, ἔπειτα τί τοῦτο δύναται καὶ τί μή, πρὸς ὅ τί τε χρήσιμον πέφυκε καὶ πρὸς ὃ μή. λέγει δὲ ὧδε· περὶ παντός, ὦ παῖ, μία ἀρχὴ τοῖς μέλλουσι καλῶς βουλεύεσθαι· εἰδέναι δεῖ περὶ οὗ ἂν ἡ βουλὴ ᾖ, ἢ παρὰ τοῦτο ἁμαρτάνειν ἀνάγκη· τοὺς δὲ πολλοὺς λέληθεν, ὅτι οὐκ ἴσασι τὴν οὐσίαν ἑκάστου· ὡς οὖν [οὐκ] εἰδότες οὐ διομολογοῦνται ἐν ἀρχῇ τῆς σκέψεως, προελθόντες δὲ τὸ εἰκὸς ἀποδιδόασιν· οὔτε γὰρ ἑαυτοῖς οὔτ' ἄλλοις ὁμολογοῦσιν. ἵνα οὖν μὴ τοῦτο πάθωμεν ἐντυγχάνοντες τοῖς Πλάτωνος διαλόγοις, αὐτὸ τοῦτο, ὅπερ ἔφην, σκεψώμεθα, τί ποτ' ἔστιν ὁ διάλογος. ἔστι τοίνυν οὐκ ἄλλο τι ἢ λόγος ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως συγκείμενος περί τινος τῶν πολιτικῶν καὶ φιλοσόφων πραγμάτων, μετὰ τῆς πρεπούσης ἠθοποιΐας τῶν παραλαμβανομένων προσώπων καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς.

II. Λόγος μὲν οὖν λέγεται ὁ διάλογος καθάπερ ὁ ἄνθρωπος ζῶον· ἐπεὶ δὲ ὁ λόγος ἐστὶν ὁ μὲν ἐνδιάθετος ὁ δὲ προφορικός, ἀκουσόμεθα τοῦ προφορικοῦ· καὶ ἐπεὶ τούτου ὁ μέν ἐστι κατὰ διέξοδον λεγόμενος, ὁ δὲ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν, ἴδιον τοῦ διαλόγου ἐρωτήσεις καὶ ἀποκρίσεις· ὅθεν ὁ λόγος ἐξ ἐρωτήσεως εἶναι λέγεται. τὸ δὲ περί τινος τῶν φιλοσόφων καὶ πολιτικῶν πραγμάτων πρόσκειται, διότι οἰκείαν εἶναι δεῖ τὴν ὑποκειμένην ὕλην τῷ διαλόγῳ· αὕτη δέ ἐστιν ἡ πολιτικὴ καὶ φιλόσοφος. ὡς γαρ τῇ τραγῳδίᾳ καὶ ὅλως τῇ ποιησει οἰκεία

ὕλη ὑποβέβληται τῶν μύθων, οὕτως τῷ διαλόγῳ ἡ φιλόσοφος, τουτέστι τὰ πρὸς φιλοσοφίαν. τὸ δὲ μετὰ τῆς πρεπούσης ἠθοποιΐας τῶν παραλαμβανομένων προσώπων, *διότι* διαφόρων ἐν τοῖς λόγοις ὄντων τὸν βίον, τῶν μὲν φιλοσόφων, τῶν δὲ σοφιστικῶν, τὰ οἰκεῖα ἤθη δεῖ ἑκάστῳ ἀνατιθέναι, τῷ μὲν φιλοσόφῳ τὸ γενναῖον καὶ τὸ ἁπλοῦν καὶ τὸ φιλάληθες, τῷ δὲ σοφιστικῷ τὸ ποικίλον καὶ τὸ παλίμβολον καὶ τὸ φιλόδοξον, τῷ δὲ ἰδιωτικῷ τὸ οἰκεῖον. ἐπὶ τούτοις φησὶ καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς· καὶ μάλα εἰκότως· ὡς γὰρ τῇ τραγῳδίᾳ καὶ τῇ κωμῳδίᾳ τὸ οἰκεῖον μέτρον δεῖ παρεῖναι καὶ τῇ λεγομένῃ ἱστορίᾳ τὸ πλάσμα, οὕτως καὶ τῷ διαλόγῳ τὴν οἰκείαν λέξιν καὶ σύνθεσιν, ἔχουσαν τὸ Ἀττικόν, τὸ εὔχαρι, τὸ ἀπέριττον, τὸ ἀνενδεές. εἰ δέ τις λεγόμενος λόγος μὴ καθάπερ εἶπον εἰδοποιούμενος, ἀλλ' ἐνδεὴς ὢν τούτων λέγοιτο εἶναι διάλογος, οὐκ ὀρθῶς ἂν λέγοιτο. οὕτω τὸ παρὰ Θουκυδίδῃ λεγόμενον [τῶν δυνάμεων] εἰδοποιεῖν τὴν ἰδιότητα τῶν διαλόγων οὐ φήσομεν εἶναι διάλογον, ἀλλὰ μᾶλλον δύο δημηγορίας κατ' ἐνθύμησιν ἀλλήλαις ἀντιγεγραμμένας.

III. Ἐπεὶ οὖν ὅ τί ποτέ ἐστιν ὁ διάλογος τεθεωρήκαμεν, περὶ τῆς διαφορᾶς αὐτοῦ τοῦ κατὰ Πλάτωνα διαλόγου ἴδωμεν, τουτέστι περὶ τῶν χαρακτήρων, πόσοι τέ εἰσιν οἱ ἀνωτάτω καὶ πόσοι ἐκείνων ὑποδιαιρεθέντες εἰς τοὺς ἀτόμους ἐστήσαντο. περὶ μὲν οὖν χαρακτήρων ἐν τοῖς ἑξῆς τελεώτατα μετὰ ὑπογραφῆς εἰρήσεται, ἐνθάδε δὲ γνωστέον τοσοῦτον περὶ τῶν ἀνωτάτω χαρακτήρων, ὅτι δύο ὄντων, ὑφηγητικοῦ καὶ ζητητικοῦ, ὁ μὲν ὑφηγητικὸς ἥρμοσται πρὸς διδασκαλίαν καὶ πρᾶξιν καὶ ἀπόδειξιν τοῦ ἀληθοῦς, ὁ δὲ ζητητικὸς πρὸς γυμνασίαν καὶ ἀγῶνα καὶ ἔλεγχον τοῦ ψεύδους· καὶ ὅτι ὁ μὲν ὑφηγητικὸς τῶν πραγμάτων στοχάζεται, ὁ δὲ ζητητικὸς τῶν προσώπων. τῶν μὲν οὖν Πλάτωνος διαλόγων ὑπάγονται τῷ μὲν φυσικῷ ὁ Τίμαιος, τῷ δὲ ἠθικῷ ἡ Ἀπολογία, τῷ δὲ λογικῷ Θεάγης, Κρατύλος, Λύσις, Σοφιστής, Λάχης, Πολιτικός, τῷ δὲ ἐλεγκτικῷ Παρμενίδης, Πρωταγόρας· τῷ δὲ πολιτικῷ Κρίτων, Πολιτεία, Φαίδων, Μίνως, Συμπόσιον, Νόμοι, Ἐπιστολαί, Ἐπινομίς, Μενέξενος, Κλειτοφῶν, Φίληβος· τῷ δὲ πειραστικῷ Εὐθύφρων, Μένων, Ἴων, Χαρμίδης· τῷ δὲ μαιευτικῷ Ἀλκιβιάδης, τῷ δὲ ἀνατρεπτικῷ Ἱππίας, Εὐθύδημος, Γοργίας.

IV. Ἐπεὶ οὖν τεθεωρήκαμεν τὴν διαφορὰν αὐτῶν ὡς πέφυκε γίγνεσθαι καὶ τοὺς χαρακτῆρας, ἐπὶ τούτοις λέγωμεν, ἀπὸ ποίων διαλόγων δεῖ ἀρχομένους ἐντυγχάνειν τῷ Πλάτωνος λόγῳ. διάφοροι γὰρ δόξαι γεγόνασιν· οἱ μὲν ἀπὸ τῶν Ἐπιστολῶν ἄρχονται, οἱ δὲ ἀπὸ τοῦ Θεάγους· εἰσὶ δὲ οἱ κατὰ τετραλογίαν διελόντες αὐτοὺς καὶ τάττουσι πρώτην τετραλογίαν περιέχουσαν τὸν Εὐθύφρονα καὶ τὴν Ἀπολογίαν καὶ τὸν Κρίτωνα καὶ τὸν Φαίδωνα· τὸν μὲν οὖν Εὐθύφρονα, ἐπεὶ καὶ ἐπαγγέλλεται τῷ Σωκράτει ἐν αὐτῷ ἡ δίκη, τὴν δὲ Ἀπολογίαν, ἐπειδὴ ἀναγκαῖον αὐτῷ ἀπολογήσασθαι, ἐπὶ τούτοις τὸν Κρίτωνα διὰ τὴν ἐν τῷ δεσμωτηρίῳ διατριβήν, ἔπειτα τὸν Φαίδωνα, ἐπεὶ ἐν αὐτῷ τέλος τοῦ βίου λαμβάνει ὁ Σωκράτης. ταύτης τῆς δόξης εἰσὶ Δερκυλλίδης καὶ Θράσυλλος, δοκοῦσι δέ μοι προσώποις καὶ βίων περιστάσεσιν ἠθεληκέναι τάξιν ἐπιθεῖναι· ὅ ἐστι μὲν ἴσως χρήσιμον πρὸς ἄλλο τι, οὐ μὴν πρὸς ὃ ἡμεῖς νῦν βουλόμεθα, βουλόμεθα δὲ ἀρχὴν καὶ διάταξιν διδασκαλίας τῆς κατὰ σοφίαν εὑρεῖν. φαμὲν οὖν Πλάτωνος λόγου μὴ εἶναι μίαν καὶ ὡρισμένην ἀρχήν· ἐοικέναι γὰρ αὐτὸν τέλειον ὄντα τελείῳ σχήματι κύκλου· ὥσπερ οὖν κύκλου μία καὶ ὡρισμένη οὐκ ἔστιν ἀρχή, οὕτως οὐδὲ τοῦ λόγου.

V. Οὐ μὴν διὰ τοῦτο ὁπωσοῦν ὡς ἔτυχεν ἐντευξόμεθα αὐτῷ· οὐδὲ γὰρ εἰ δέοι κύκλον γράφειν, ἀφ' οὑτινοσοῦν σημείου ἀρχόμενός τις γράφει τὸν κύκλον· ἀλλ' ἀφ' ἧς ἂν ἕκαστος ἡμῶν σχέσεως ἔχῃ πρὸς τὸν λόγον ἀρχόμενος ἐντεύξεται τοῖς διαλόγοις. σχέσεις δὲ πλείους καὶ διάφοροι εἰσιν ἡμῶν πρὸς τὸν λόγον. ἡ μὲν γάρ ἐστι κατὰ φύσιν, οἷον εὐφυὴς ἀφυής· ἡ δὲ κατὰ τὴν ἡλικίαν, οἷον ὥραν ἔχων τοῦ φιλοσοφεῖν ἢ παρηβηκώς· ἡ δὲ κατὰ προαίρεσιν, οἷον φιλοσοφίας ἢ ἱστορίας ἕνεκα· ἡ δὲ κατὰ ἕξιν, οἷον προτετελεσμένος ἢ ἀμαθής· ἡ δὲ κατὰ τὴν ὕλην, οἷον ἐνασχολῶν φιλοσοφίᾳ ἢ περιελκόμενος ὑπὸ τῶν περιστάσεων. ὁ μὲν οὖν κατὰ φύσιν εὖ πεφυκώς, καὶ κατὰ τὴν ἡλικίαν ὥραν ἔχων τοῦ φιλοσοφεῖν, καὶ κατὰ τὴν προαίρεσιν ἕνεκα τοῦ ἀρετὴν ἀσκῆσαι προσιὼν τῷ λόγῳ, καὶ κατὰ τὴν ἕξιν προτετελεσμένος τοῖς μαθήμασι, καὶ ἀφειμένος ἀπὸ τῶν πολιτικῶν περιστάσεων, ἄρξεται ἀπὸ τοῦ Ἀλκιβιάδου πρὸς τὸ τραπῆναι καὶ ἐπιστραφῆναι καὶ γνῶναι οὗ δεῖ τὴν ἐπιμέλειαν ποιεῖσθαι. *εἰθ'* ὥσπερ πρὸς παράδειγμα καὶὰ

σὺ μὲν γὰρ οὕτω λαλεῖς ὡς ἐξ ἀπόπτου θεώμενος, ἡμεῖς δ' ἴσμεν ἀκριβέστερον οἱ διὰ πείρας ἰόντες. δῆμος γάρ, ὦ φίλε Σώκρατες, ἀχάριστον, ἀψίκορον, ὠμόν, βάσκανον, ἀπαίδευτον, ὡς ἂν συνηρανισμένον ἐκ σύγκλυδος ὄχλου
B καὶ βιαίων φλυάρων· ὁ δὲ τούτῳ προσεταιριζόμενος ἀθλιώτερος μακρῷ.

ΣΩ. Ὁπότε οὖν, ὦ Ἀξίοχε, τὴν ἐλευθεριωτάτην ἐπιστήμην τίθεσαι τῶν λοιπῶν ἀπευκταιοτάτην, τί τὰς λοιπὰς ἐπιτηδεύσεις ἐννοήσομεν; οὐ φευκτάς; ἤκουσα δέ ποτε καὶ τοῦ Προδίκου λέγοντος, ὅτι ὁ θάνατος οὔτε περὶ τοὺς ζῶντάς ἐστιν οὔτε περὶ τοὺς μετηλλαχότας.

ΑΞ. Πῶς φῄς, ὦ Σώκρατες;

IX. ΣΩ. Ὅτι περὶ μὲν τοὺς ζῶντας οὐκ ἔστιν, οἱ δὲ
C ἀποθανόντες οὐκ εἰσίν. ὥστε οὔτε περὶ σὲ νῦν ἐστίν, οὐ γὰρ τέθνηκας, οὔτε εἴ τι πάθοις, ἔσται περὶ σέ· σὺ γὰρ οὐκ ἔσει. μάταιος οὖν ἡ λύπη, περὶ τοῦ μήτε ὄντος μήτε ἐσομένου περὶ Ἀξίοχον Ἀξίοχον ὀδύρεσθαι, καὶ ὅμοιον ὡς εἰ περὶ τῆς Σκύλλης ἢ τοῦ Κενταύρου τις ὀδύροιτο, τῶν μήτε ὄντων περὶ σὲ μήτε ὕστερον μετὰ τὴν τελευτὴν ἐσομένων. τὸ γὰρ φοβερὸν τοῖς οὖσίν ἐστι· τοῖς δ' οὐκ οὖσι
D πῶς ἂν εἴη;

ΑΞ. Σὺ μὲν ἐκ τῆς ἐπιπολαζούσης τὰ νῦν λεσχηνείας τὰ σοφὰ ταῦτα εἴρηκας· ἐκεῖθεν γάρ ἐστιν ἥδε ἡ φλυαρολογία, πρὸς τὰ μειράκια διακεκοσμημένη· ἐμὲ δὲ ἡ στέρησις τῶν ἀγαθῶν τοῦ ζῆν λυπεῖ, κἂν πιθανωτέρους τούτων λόγους ἀν τικροτήσῃς, ὦ Σώκρατες. οὐκ ἐπαΐει γὰρ ὁ νοῦς ἀποπλανώμενος εἰς εὐεπείας λόγων, οὐδὲ ἅπτεται ταῦτα τῆς ὁμοχροίας, ἀλλ' εἰς μὲν πομπὴν καὶ ῥημάτων ἀγλαϊσμὸν ἀνύτει, τῆς δὲ ἀληθείας ἀποδεῖ· τὰ δὲ παθήματα
E σοφισμάτων οὐκ ἀνέχεται, μόνοις δὲ ἀρκεῖται τοῖς δυναμένοις καθικέσθαι τῆς ψυχῆς.

X. ΣΩ. Συνάπτεις γάρ, ὦ Ἀξίοχε, ἀνεπιλογίστως, τῇ στερήσει τῶν ἀγαθῶν ἀντεισάγων κακῶν αἴσθησιν, ἐκλαθόμενος ὅτι τέθνηκας. λυπεῖ γὰρ τὸν στερόμενον 370
τῶν ἀγαθῶν ἡ ἀντιπάθεια τῶν κακῶν, ὁ δ' οὐκ ὢν οὐδὲ τῆς στερήσεως ἀντιλαμβάνεται· πῶς οὖν ἐπὶ τῷ μὴ παρέξοντι γνῶσιν τῶν λυπησόντων γένοιτ' ἂν ἡ λύπη; ἀρχὴν γάρ, ὦ Ἀξίοχε, μὴ συνυποτιθέμενος ἀμῶς γέ πως μίαν αἴσθησιν, κατὰ τὸ ἀνεπιστῆμον, οὐκ ἄν ποτε πτυρείης τὸν θάνατον· νῦν δὲ περιτρέπεις σεαυτόν, θειματούμενος στερήσεσθαι τῆς ψυχῆς, τῇ δὲ στερήσει περιτιθεὶς ψυχήν, καὶ ταρβεῖς μὲν τὸ μὴ αἰσθήσεσθαι, καταλήψεσθαι δὲ οἴει τὴν οὐκ ἐσομένην αἴσθησιν αἰσθήσει· πρὸς τῷ πολλοὺς B
καὶ καλοὺς εἶναι λόγους περὶ τῆς ἀθανασίας τῆς ψυχῆς. οὐ γὰρ δὴ θνητή γε φύσις *οὖσα* τοσόνδ' ἂν ἥρατο μεγεθουργίας, ὥστε καταφρονῆσαι μὲν ὑπερβαλλόντων θηρίων βίας, διαπεραιώσασθαι δὲ πελάγη, δείμασθαι δὲ ἄστη, καταστήσασθαι δὲ πολιτείας, ἀναβλέψαι δὲ εἰς τὸν οὐρανὸν καὶ ἰδεῖν περιφορὰς ἄστρων καὶ δρόμους ἡλίου τε καὶ σελήνης ἐκλείψεις τε καὶ ταχείας ἀποκαταστάσεις, ἰσημερίας τε καὶ τροπὰς διττὰς χειμῶνος καὶ θέρους καὶ πλειά- C
δων ἀνατολάς τε καὶ δύσεις ἀνέμους τε καὶ καταφορὰς ὄμβρων καὶ πρηστήρων ἐξαισίους συρμούς, καὶ τὰ τοῦ κόσμου παθήματα παραπήξασθαι πρὸς τὸν αἰῶνα, εἰ μή τι θεῖον ὄντως ἐνῆν πνεῦμα τῇ ψυχῇ, δι' οὗ τὴν τῶν τηλικῶνδε περίνοιαν καὶ γνῶσιν ἔσχεν.

XI. Ὥστε οὐκ εἰς θάνατον ἀλλ' εἰς ἀθανασίαν μεταβαλεῖς, ὦ Ἀξίοχε, οὐδὲ ἀφαίρεσιν ἕξεις τῶν ἀγαθῶν, ἀλλ' εἰλικρινεστέραν τὴν ἀπόλαυσιν, οὐδὲ μεμιγμένας θνητῷ σώματι τὰς ἡδονάς, ἀλλ' ἀκράτους ἁπασῶν ἀλγηδόνων. D
ἐκεῖσε γὰρ ἀφίξει μονωθεὶς ἐκ τῆσδε τῆς εἱρκτῆς, ἔνθα ἄπονα πάντα καὶ ἀστένακτα καὶ ἀγήρατα, γαληνὸς δέ τις

καὶ πανῶν ἄγονος βίος, ἀσαλεύτῳ ἡσυχίᾳ εὐδιαζόμενος, καὶ περιαθρῶν τὴν φύσιν, φιλοσοφῶν οὐ πρὸς ὄχλον καὶ θέατρον, ἀλλὰ πρὸς ἀμφιθαλῆ τὴν ἀλήθειαν.

ΑΞ. Εἰς τοὐναντίον με τῷ λόγῳ περιέστακας· οὐκέτι γάρ μοι θανάτου δέος ἔνεστιν, ἀλλ' ἤδη καὶ πόθος,
E ἵνα τι κἀγὼ μιμησάμενος τοὺς ῥήτορας περιττὸν εἴπω· κἄμπαλιν μετεωρολογῶ καὶ δίειμι τὸν ἀΐδιον καὶ θεῖον δρόμον, ἔκ τε τῆς ἀσθενείας ἐμαυτὸν συνείλεγμαι καὶ γέγονα καινός.

371 XII. ΣΩ. Εἰ δὲ καὶ ἕτερον βούλει λόγον, ὃν ἐμοὶ ἤγγειλε Γωβρύης, ἀνὴρ μάγος· ἔφη κατὰ τὴν Ξέρξου διάβασιν τὸν πάππον αὐτοῦ καὶ ὁμώνυμον πεμφθέντα εἰς Δῆλον, ὅπως τηρήσειε τὴν νῆσον ἐν ᾗ οἱ δύο θεοὶ ἐγένοντο, ἐκ τινῶν χαλκέων δέλτων, ἃς ἐξ Ὑπερβορέων ἐκόμισαν Ὦπίς τε καὶ Ἑκαέργη, ἐκμεμαθηκέναι, μετὰ τὴν τοῦ σώματος λύσιν τὴν ψυχὴν εἰς τὸν ἄδηλον χωρεῖν τόπον κατὰ τὴν ὑπόγειον οἴκησιν, ἐν ᾗ βασίλεια Πλούτωνος οὐχ ἧττω
B τῆς τοῦ Διὸς αὐλῆς, ἅτε τῆς μὲν γῆς ἐχούσης τὰ μέσα τοῦ κόσμου, τοῦ δὲ πόλου ὄντος σφαιροειδοῦς, οὗ τὸ μὲν ἕτερον ἡμισφαίριον θεοὶ ἔλαχον οἱ οὐράνιοι, τὸ δὲ ἕτερον οἱ ὑπένερθεν, οἱ μὲν ἀδελφοὶ ὄντες, οἱ δὲ ἀδελφῶν παῖδες. τὰ δὲ πρόπυλα τῆς εἰς Πλούτωνος ὁδοῦ σιδηροῖς κλείθροις καὶ κλεισὶν ὠχύρωται· ταῦτα δὲ ἀνοίξαντα ποταμὸς Ἀχέρων ἐκδέχεται, μεθ' ὃν Κωκυτός, οὓς χρὴ πορθμεύσαντας ἀχθῆναι ἐπὶ Μίνω καὶ Ῥαδάμανθυν, ὃ κλήζεται πεδίον ἀληθείας.

C XIII. Ἐνταυθοῖ καθέζονται δικασταὶ ἀνακρίνοντες τῶν ἀφικνουμένων ἕκαστον, τίνα βίον βεβίωκε καὶ τίσιν ἐπιτηδεύμασιν ἐνῳκίσθη τῷ σώματι. ψεύσασθαι μὲν οὖν ἀμήχανον. ὅσοις μὲν οὖν ἐν τῷ ζῆν δαίμων ἀγαθὸς ἐπέπνευσεν, εἰς τὸν τῶν εὐσεβῶν χῶρον οἰκίζονται, ἔνθα

ἄφθονοι μὲν ὧραι παγκάρπου γονῆς βρύουσι, πηγαὶ δὲ ὑδάτων καθαρῶν ῥέουσι, παντοῖοι δὲ λειμῶνες ἄνθεσι ποικίλοις ἐαριζόμενοι, διατριβαὶ δὲ φιλοσόφων καὶ θέατρα ποιητῶν καὶ κύκλιοι χοροὶ καὶ μουσικὰ ἀκούσματα, συμ- D
πόσιά τε εὐμελῆ καὶ εἱλαπίναι αὐτοχορήγητοι, καὶ ἀκήρατος ἀλυπία καὶ ἡδεῖα δίαιτα· οὔτε γὰρ χεῖμα σφοδρὸν οὔτε θάλπος ἐγγίγνεται, ἀλλ' εὔκρατος ἀὴρ χεῖται ἁπαλαῖς ἡλίου ἀκτῖσιν ἀνακιρνάμενος. ἐνταῦθα τοῖς μεμυημένοις ἔστί τις προεδρία· καὶ τὰς ὁσίους ἁγιστείας νικᾷσε συντελοῦσι. πῶς οὖν οὐ σοὶ πρώτῳ μέτεστι τῆς τιμῆς, ὄντι γεννήτῃ τῶν θεῶν; καὶ τοὺς περὶ Ἡρακλέα τε καὶ Διόνυ- E
σον κατιόντας εἰς Ἅιδου πρότερον λόγος ἐνθάδε μυηθῆναι, καὶ τὸ θάρσος τῆς ἐκεῖσε πορείας παρὰ τῆς Ἐλευσινίας ἐναύσασθαι. ὅσοις δὲ τὸ ζῆν διὰ κακουργημάτων ἠλάθη, ἄγονται πρὸς Ἐρινύων ἐπ' ἔρεβος καὶ χάος διὰ ταρτάρου, ἔνθα χῶρος ἀσεβῶν καὶ Δαναΐδων ὑδρεῖαι ἀτελεῖς καὶ Ταντάλου δῖψος καὶ Τιτυοῦ σπλάγχνα καὶ Σισύφου πέτρος ἀνήνυτος, οὗ τὰ τέρματα αὖθις ἄρχεται πό- 372
νων· ἔνθα θηρσὶ περιλιχμώμενοι καὶ λαμπάσιν ἐπιμόνως πυρούμενοι Ποινῶν καὶ πᾶσαν αἰκίαν αἰκιζόμενοι ἀϊδίοις τιμωρίαις τρύχονται.

XIV. Ταῦτα μὲν ἐγὼ ἤκουσα παρὰ Γωβρύου, σὺ δ' ἂν ἐπικρίνειας, Ἀξίοχε. ἐγὼ γὰρ λόγῳ ἀνθελκόμενος τοῦτο μόνον ἐμπέδως οἶδα, ὅτι ψυχὴ ἅπασα ἀθάνατος, ἡ δὲ ἐκ τοῦδε τοῦ χωρίου μεταστᾶσα καὶ ἄλυπος· ὥστε ἢ κάτω ἢ ἄνω εὐδαιμονεῖν σε δεῖ, Ἀξίοχε, βεβιωκότα εὐσεβῶς.

ΑΞ. Αἰσχύνομαί σοί τι εἰπεῖν, ὦ Σώκρατες· τοσοῦ- B
τον γὰρ ἀποδέω τοῦ δεδοικέναι τὸν θάνατον, ὥστε ἤδη καὶ ἔρωτα αὐτοῦ ἔχειν. οὕτω με καὶ οὗτος ὁ λόγος, ὡς καὶ ὁ οὐράνιος, πέπεικε, καὶ ἤδη περιφρονῶ τοῦ ζῆν, ἅτε εἰς ἀμείνω οἶκον μεταστησόμενος. νυνὶ δὲ ῥῆμα κατ' ἐμαυ-

τὸν ἀναριθμήσομαι τὰ λεχθέντα, ἐκ μεσημβρίας δὲ παρέσει μοι, ὦ Σώκρατες.

ΣΩ. Ποιήσω ὡς λέγεις, κἀγὼ δὲ ἐπάνειμι ἐς Κυνόσαργες ἐς περίπατον, ὁπόθεν δεῦρο μετεκλήθην.

APPENDIX PLATONICA.

ΑΛΒΙΝΟΥ

εἰσαγωγὴ εἰς τοὺς Πλάτωνος διαλόγους.

I. Ὅτι τῷ μέλλοντι ἐντεύξεσθαι τοῖς Πλάτωνος διαλόγοις προσήκει πρότερον ἐπίστασθαι αὐτὸ τοῦτο, τί ποτέ ἐστιν ὁ διάλογος. οὔτε γὰρ ἄνευ τέχνης τινὸς καὶ δυνάμεως γεγραμμένοι εἰσίν, οὔτε τεχνικῶς γνωρίσαι ῥᾴδιον τῷ γε θεωρίας ἀπείρως ἔχοντι. ἀρέσκει δὲ τῷ φιλοσόφῳ περὶ παντὸς οὑτινοσοῦν τὴν σκέψιν ποιούμενον τὴν οὐσίαν τοῦ πράγματος ἐξετάζειν, ἔπειτα τί τοῦτο δύναται καὶ τί μή, πρὸς ὅ τί τε χρήσιμον πέφυκε καὶ πρὸς ὃ μή. λέγει δὲ ὧδε· περὶ παντός, ὦ παῖ, μία ἀρχὴ τοῖς μέλλουσι καλῶς βουλεύεσθαι· εἰδέναι δεῖ περὶ οὗ ἂν ἡ βουλὴ ᾖ, ἢ παρὰ τοῦτο ἁμαρτάνειν ἀνάγκη· τοὺς δὲ πολλοὺς λέληθεν, ὅτι οὐκ ἴσασι τὴν οὐσίαν ἑκάστου· ὡς οὖν [οὐκ] εἰδότες οὐ διομολογοῦνται ἐν ἀρχῇ τῆς σκέψεως, προελθόντες δὲ τὸ εἰκὸς ἀποδιδόασιν· οὔτε γὰρ ἑαυτοῖς οὔτ' ἄλλοις ὁμολογοῦσιν. ἵνα οὖν μὴ τοῦτο πάθωμεν ἐντυγχάνοντες τοῖς Πλάτωνος διαλόγοις, αὐτὸ τοῦτο, ὅπερ ἔφην, σκεψώμεθα, τί ποτ' ἔστιν ὁ διάλογος. ἔστι τοίνυν οὐκ ἄλλο τι ἢ λόγος ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως συγκείμενος περί τινος τῶν πολιτικῶν καὶ φιλοσόφων πραγμάτων, μετὰ τῆς πρεπούσης ἠθοποιΐας τῶν παραλαμβανομένων προσώπων καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς.

II. Λόγος μὲν οὖν λέγεται ὁ διάλογος καθάπερ ὁ ἄνθρωπος ζῶον· ἐπεὶ δὲ ὁ λόγος ἐστὶν ὁ μὲν ἐνδιάθετος ὁ δὲ προφορικός, ἀκουσόμεθα τοῦ προφορικοῦ· καὶ ἐπεὶ τούτου ὁ μέν ἐστι κατὰ διέξοδον λεγόμενος, ὁ δὲ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν, ἴδιον τοῦ διαλόγου ἐρωτήσεις καὶ ἀποκρίσεις· ὅθεν ὁ λόγος ἐξ ἐρωτήσεως εἶναι λέγεται. τὸ δὲ περί τινος τῶν φιλοσόφων καὶ πολιτικῶν πραγμάτων πρόσκειται, διότι οἰκείαν εἶναι [illegible] τὴν ὑποκειμένην ὕλην τῷ διαλόγῳ· αὕτη δέ ἐστιν ἡ πολιτε[illegible] καὶ φιλόσοφος. ὡς γαρ τῇ τραγῳδίᾳ καὶ ὅλως τῇ ποιήσει οἰκ[illegible]

ὕλη ὑποβέβληται τῶν μύθων, οὕτως τῷ διαλόγῳ ἡ φιλόσοφος, τουτέστι τὰ πρὸς φιλοσοφίαν. τὸ δὲ μετὰ τῆς πρεπούσης ἠθοποιΐας τῶν παραλαμβανομένων προσώπων, *διότι* διαφόρων ἐν τοῖς λόγοις ὄντων τὸν βίον, τῶν μὲν φιλοσόφων, τῶν δὲ σοφιστικῶν, τὰ οἰκεῖα ἤθη δεῖ ἑκάστῳ ἀνατιθέναι, τῷ μὲν φιλοσόφῳ τὸ γενναῖον καὶ τὸ ἁπλοῦν καὶ τὸ φιλάληθες, τῷ δὲ σοφιστικῷ τὸ ποικίλον καὶ τὸ παλίμβολον καὶ τὸ φιλόδοξον, τῷ δὲ ἰδιωτικῷ τὸ οἰκεῖον. ἐπὶ τούτοις φησὶ καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς· καὶ μάλα εἰκότως· ὡς γὰρ τῇ τραγῳδίᾳ καὶ τῇ κωμῳδίᾳ τὸ οἰκεῖον μέτρον δεῖ παρεῖναι καὶ τῇ λεγομένῃ ἱστορίᾳ τὸ πλάσμα, οὕτως καὶ τῷ διαλόγῳ τὴν οἰκείαν λέξιν καὶ σύνθεσιν, ἔχουσαν τὸ Ἀττικόν, τὸ εὔχαρι, τὸ ἀπέριττον, τὸ ἀνενδεές. εἰ δέ τις λεγόμενος λόγος μὴ καθάπερ εἶπον εἰδοποιούμενος, ἀλλ' ἐνδεὴς ὢν τούτων λέγοιτο εἶναι διάλογος, οὐκ ὀρθῶς ἂν λέγοιτο. οὕτω τὸ παρὰ Θουκυδίδῃ λεγόμενον [τῶν δυνάμεων] εἰδοποιεῖν τὴν ἰδιότητα τῶν διαλόγων οὐ φήσομεν εἶναι διάλογον, ἀλλὰ μᾶλλον δύο δημηγορίας κατ' ἐνθύμησιν ἀλλήλαις ἀντιγεγραμμένας.

III. Ἐπεὶ οὖν ὅ τί ποτέ ἐστιν ὁ διάλογος τεθεωρήκαμεν, περὶ τῆς διαφορᾶς αὐτοῦ τοῦ κατὰ Πλάτωνα διαλόγου ἴδωμεν, τουτέστι περὶ τῶν χαρακτήρων, πόσοι τέ εἰσιν οἱ ἀνωτάτω καὶ πόσοι ἐκείνων ὑποδιαιρεθέντες εἰς τοὺς ἀτόμους ἐστήσαντο. περὶ μὲν οὖν χαρακτήρων ἐν τοῖς ἑξῆς τελεώτατα μετὰ ὑπογραφῆς εἰρήσεται, ἐνθάδε δὲ γνωστέον τοσοῦτον περὶ τῶν ἀνωτάτω χαρακτήρων, ὅτι δύο ὄντων, ὑφηγητικοῦ καὶ ζητητικοῦ, ὁ μὲν ὑφηγητικὸς ἥρμοσται πρὸς διδασκαλίαν καὶ πρᾶξιν καὶ ἀπόδειξιν τοῦ ἀληθοῦς, ὁ δὲ ζητητικὸς πρὸς γυμνασίαν καὶ ἀγῶνα καὶ ἔλεγχον τοῦ ψεύδους· καὶ ὅτι ο μὲν ὑφηγητικὸς τῶν πραγμάτων στοχάζεται, ὁ δὲ ζητητικὸς τῶν προσώπων. τῶν μὲν οὖν Πλάτωνος διαλόγων ὑπάγονται τῷ μὲν φυσικῷ ὁ Τίμαιος, τῷ δὲ ἠθικῷ ἡ Ἀπολογία, τῷ δὲ λογικῷ Θεάγης, Κρατύλος, Λύσις, Σοφιστής, Λάχης, Πολιτικός, τῷ δὲ ἐλεγκτικῷ Παρμενίδης, Πρωταγόρας· τῷ δὲ πολιτικῷ Κρίτων, Πολιτεία, Φαίδων, Μίνως, Συμπόσιον, Νόμοι, Ἐπιστολαί, Ἐπινομίς, Μενέξενος, Κλειτοφῶν, Φίληβος· τῷ δὲ πειραστικῷ Εὐθύφρων, Μένων, Ἴων, Χαρμίδης· τῷ δὲ μαιευτικῷ Ἀλκιβιάδης, τῷ δὲ ἀνατρεπτικῷ Ἱππίας, Εὐθύδημος, Γοργίας.

IV. Ἐπεὶ οὖν τεθεωρήκαμεν τὴν διαφορὰν αὐτῶν ὡς πέφυκε γίγνεσθαι καὶ τοὺς χαρακτῆρας, ἐπὶ τούτοις λέγωμεν, ἀπὸ ποίων διαλόγων δεῖ ἀρχομένους ἐντυγχάνειν τῷ Πλάτωνος λόγῳ. διάφοροι γὰρ δόξαι γεγόνασιν· οἱ μὲν ἀπὸ τῶν Ἐπιστολῶν ἄρχονται, οἱ δὲ ἀπὸ τοῦ Θεάγους· εἰσὶ δὲ οἱ κατὰ τετραλογίαν διελόντες αὐτοὺς καὶ τάττουσι πρώτην τετραλογίαν περιέχουσαν τὸν Εὐθύφρονα καὶ τὴν Ἀπολογίαν καὶ τὸν Κρίτωνα καὶ τὸν Φαίδωνα· τὸν μὲν οὖν Εὐθύφρονα, ἐπεὶ καὶ ἐπαγγέλλεται τῷ Σωκράτει ἐν αὐτῷ ἡ δίκη, τὴν δὲ Ἀπολογίαν, ἐπειδὴ ἀναγκαῖον αὐτῷ ἀπολογήσασθαι, ἐπὶ τούτοις τὸν Κρίτωνα διὰ τὴν ἐν τῷ δεσμωτηρίῳ διατριβήν, ἔπειτα τὸν Φαίδωνα, ἐπεὶ ἐν αὐτῷ τέλος τοῦ βίου λαμβάνει ὁ Σωκράτης. ταύτης τῆς δόξης εἰσὶ Δερκυλλίδης καὶ Θράσυλλος, δοκοῦσι δέ μοι προσώποις καὶ βίων περιστάσεσιν ἠθεληκέναι τάξιν ἐπιθεῖναι· ὅ ἐστι μὲν ἴσως χρήσιμον πρὸς ἄλλο τι, οὐ μὴν πρὸς ὃ ἡμεῖς νῦν βουλόμεθα, βουλόμεθα δὲ ἀρχὴν καὶ διάταξιν διδασκαλίας τῆς κατὰ σοφίαν εὑρεῖν. φαμὲν οὖν Πλάτωνος λόγου μὴ εἶναι μίαν καὶ ὡρισμένην ἀρχήν· ἐοικέναι γὰρ αὐτὸν τέλειον ὄντα τελείῳ σχήματι κύκλου· ὥσπερ οὖν κύκλου μία καὶ ὡρισμένη οὐκ ἔστιν ἀρχή, οὕτως οὐδὲ τοῦ λόγου.

V. Οὐ μὴν διὰ τοῦτο ὑπωσοῦν ὡς ἔτυχεν ἐντευξόμεθα αὐτῷ· οὐδὲ γὰρ εἰ δέοι κύκλον γράφειν, ἀφ' οὑτινοσοῦν σημείου ἀρχόμενός τις γράφει τὸν κύκλον· ἀλλ' ἀφ' ἧς ἂν ἕκαστος ἡμῶν σχέσεως ἔχῃ πρὸς τὸν λόγον ἀρχόμενος ἐντεύξεται τοῖς διαλόγοις. σχέσεις δὲ πλείους καὶ διάφοροι εἰσιν ἡμῶν πρὸς τὸν λόγον. ἡ μὲν γάρ ἐστι κατὰ φύσιν, οἷον εὐφυὴς ἀφυής· ἡ δὲ κατὰ τὴν ἡλικίαν, οἷον ὥραν ἔχων τοῦ φιλοσοφεῖν ἢ παρηβηκώς· ἡ δὲ κατὰ προαίρεσιν, οἷον φιλοσοφίας ἢ ἱστορίας ἕνεκα· ἡ δὲ κατὰ ἕξιν, οἷον προτετελεσμένος ἢ ἀμαθής· ἡ δὲ κατὰ τὴν ὕλην, οἷον ἐνασχολῶν φιλοσοφίᾳ ἢ περιελκόμενος ὑπὸ τῶν περιστάσεων. ὁ μὲν οὖν κατὰ φύσιν εὖ πεφυκώς, καὶ κατὰ τὴν ἡλικίαν ὥραν ἔχων τοῦ φιλοσοφεῖν, καὶ κατὰ τὴν προαίρεσιν ἕνεκα τοῦ ἀρετὴν ἀσκῆσαι προσιὼν τῷ λόγῳ, καὶ κατὰ τὴν ἕξιν προτετελεσμένος τοῖς μαθήμασι, καὶ ἀφειμένος ἀπὸ τῶν πολιτικῶν περιστάσεων, ἄρξεται ἀπὸ τοῦ Ἀλκιβιάδου πρὸς τὸ τραπῆναι καὶ ἐπιστραφῆναι καὶ γνῶναι οὗ δεῖ τὴν ἐπιμέλειαν ποιεῖσθαι. *εἶθ'* ὥσπερ πρὸς παράδειγμα καλὸν

ἰδεῖν, τίς ἐστιν ὁ φιλόσοφος καὶ τίς αὐτοῦ ἡ ἐπιτήδευσις καὶ ἐπὶ ποίᾳ ὑποθέσει ὁ παρ' αὐτῷ λόγος προσάγεται, δεήσει τῷ Φαίδωνι ἑξῆς ἐντυγχάνειν· λέγει γὰρ ἐν τούτῳ, τίς ἐστι φιλόσοφος, καὶ τίς ἐστιν ἥ γε ἐπιτήδευσις, καὶ ἐπὶ ὑποθέσει τοῦ ἀθάνατον εἶναι τὴν ψυχὴν δίειστ τὸν περὶ αὐτοῦ λόγον. μετὰ τοῦτο τῇ Πολιτείᾳ δέοι σ' ἐντυγχάνειν· ἀρξάμενος γὰρ ἀπὸ τῆς πρώτης γενέσεως ὑπογράφει πᾶσαν τὴν παιδείαν, ᾗ χρώμενος ἀφίκοιτο ἄν τις ἐπὶ τὴν τῆς ἀρετῆς κτῆσιν. ἐπεὶ δὲ δεῖ καὶ ἐν γνώσει τῶν θείων γενέσθαι, ὡς δύνασθαι κτησάμενον τὴν ἀρετὴν ὁμοιωθῆναι αὐτοῖς, ἐντευξόμεθα τῷ Τιμαίῳ· αὐτῇ γὰρ τῇ περὶ τὴν φύσιν ἱστορίᾳ ἐντυγχάνοντες καὶ τῇ λεγομένῃ θεολογίᾳ καὶ τῇ τῶν ὅλων διατάξει αὐτοψόμεθα τὰ θεῖα ἐναργῶς.

VI. Ἔτι δέ τις καὶ ἐν κεφαλαίῳ δύναιτ' ἂν κατιδεῖν τὴν προσήκουσαν τάξιν τῶν διαλόγων τῇ κατὰ Πλάτωνα διδασκαλίᾳ τῷ τὰ Πλάτωνος αἱρουμένῳ. ἀναγκαίου γὰρ ὄντος θεατὰς γενέσθαι καὶ τῆς ἑαυτοῦ ψυχῆς καὶ τῶν θείων καὶ τῶν θεῶν αὐτῶν καὶ τοῦ καλλίστου νοῦ τυχεῖν, δεῖ πρῶτον μὲν ἐκκαθᾶραι τὰς ψευδεῖς δόξας τῶν ὑπολήψεων· οὐδὲ γὰρ οἱ ἰατροὶ νενομίκασι, πρότερον τῆς προσφερομένης τροφῆς ἀπολαῦσαι τὸ σῶμα δύνασθαι, εἰ μὴ τὰ ἐμποδίζοντα ἐν τούτῳ τις ἐκβάλλει. μετὰ δὲ τὸ ἐκκαθᾶραι ἐπεγείρειν καὶ προκαλεῖσθαι δεῖ τὰς φυσικὰς ἐννοίας, καὶ ταύτας ἐκκαθαίρειν καὶ εὐκρινεῖς ἀποφαίνειν ὡς ἀρχάς. ἐπὶ τούτοις ὡς προκατεσκευασμένης τῆς ψυχῆς δεῖ αὐτῇ τὰ οἰκεῖα ἐμποιεῖν δόγματα, καθ' ἃ τελειοῦται, ταῦτα δε ἐστι φυσικὰ καὶ θεολογικὰ καὶ τὰ ἠθικὰ καὶ πολιτικά· ἵνα *δὲ* τὰ δόγματα μένῃ ἐν τῇ ψυχῇ ἀναπόδραστα, δεήσει αὐτὰ δεθῆναι τῷ τῆς αἰτίας λογισμῷ, ἵνα τις βεβαίως ἔχηται τοῦ προκειμένου σκοποῦ. ἐπὶ τούτοις δεῖ πεπορίσθαι τὸ ἀπαραλόγιστον, ἵνα μὴ ὑπό τινος σοφιστοῦ παρενεχθέντες τρέψωμεν ἐπὶ τὰ χείρω τὴν ἑαυτῶν ἕξιν. ἵνα οὖν ἐκβάλλωμεν τὰς ψευδεῖς δόξας, δεήσει ἐντυγχάνειν Πλάτωνος τοῖς τοῦ πειραστικοῦ χαρακτῆρος διαλόγοις, ἔχουσι τὸ ἐλεγκτικὸν καὶ τὸ λεγόμενον καθαρτικόν· ἵνα δέ τις τὰς φυσικὰς ἐννοίας εἰς φῶς προκαλέσαιτο, τοῖς τοῦ μαιευτικοῦ χαρακτῆρος διαλόγοις δεήσει ἐντυγχάνειν· τοῦτο γάρ ἐστιν αὐτοῖς ἴδιον. ἵνα δέ τις τὰ οἰκεῖα δόγματα παραλάβῃ, τοῖς τοῦ ὑφηγητικοῦ χαρακτῆρος διαλόγοις δεήσει ἐντυγχάνειν· τοῦτο γάρ ἐστιν αὐτῶν ἴδιον, εἴ γε ἐν τού-

τοις ἐστὶ μὲν τὰ φυσικὰ δόγματα, ἐστὶ δὲ καὶ τὰ ἠθικὰ καὶ τὰ πολιτικὰ καὶ οἰκονομικά, ων τὰ μὲν ἐπὶ θεωρίαν καὶ τὸν θεωρητικὸν βίον ἔχει τὴν ἀναφοράν, τὰ δ' ἐπὶ πρᾶξιν καὶ τὸν πρακτικὸν βίον, ἄμφω δὲ ταῦτα ἐπὶ τὸ ὁμοιωθῆναι θεῷ. ἵνα δὲ τὰ δεθέντα ἄφυκτα ἡμῖν ὑπάρχῃ, τοῖς τοῦ λογικοῦ χαρακτῆρος διαλόγοις, ὄντος καὶ αὐτοῦ ζητητικοῦ, δεήσει ἐντυγχάνειν· ἔχουσι γὰρ τάς τε διαιρετικας καὶ ὁριστικὰς μεθόδους καὶ πρός γε ἀναλυτικὰς καὶ συλλογιστικάς, δι' ὧν τὰ μὲν ἀληθῆ ἀποδείκνυται, τὰ δὲ ψευδῆ ἐλέγχεται. πρὸς δὲ τούτοις ἐπεὶ καὶ δεῖ ἀπαραλογίστους ἀπὸ σοφιστῶν εἶναι, τοῖς τοῦ ἐπιδεικτικοῦ καὶ ἀνατρεπτικοῦ χαρακτῆρος διαλόγοις ἐντευξόμεθα· ἐν οἷς ἔστιν ἐκμαθεῖν, ὅπως τε δεῖ ἐπαΐειν τῶν σοφιστῶν καὶ ὅπως αὐτοῖς καὶ ὁντινα τρόπον προσφέρεσθαι κακουργοῦσι περὶ τοὺς λόγους.

ΑΛΚΙΝΟΟΥ

διδασκαλικὸς τῶν Πλάτωνος δογμάτων.

I. *Τῶν κυριωτάτων Πλάτωνος δογμάτων τοιαύτη ἄν τις διδασκαλία γένοιτο. φιλοσοφία ἐστὶν ὄρεξις σοφίας, ἢ λύσις καὶ περιαγωγὴ ψυχῆς ἀπὸ σώματος, ἐπὶ τὰ νοητὰ ἡμῶν τρεπομένων καὶ τὰ κατ' ἀλήθειαν ὄντα· σοφία δέ ἐστιν ἐπιστήμη θείων καὶ ἀνθρωπίνων πραγμάτων. φιλόσοφος δέ ἐστιν ὁ παρωνύμως ὠνομασμένος ἀπὸ τῆς φιλοσοφίας, ὡς ὁ μουσικὸς ἀπὸ τῆς μουσικῆς· πεφυκέναι δὲ τοῦτον χρὴ πρῶτον μὲν πρὸς τὰ μαθήματα, ὅσα δύναται προσοικειοῦν καὶ προσάγειν αὐτὸν τῇ γνώσει τῆς νοητῆς οὐσίας καὶ μὴ πλανωμένης τε καὶ ῥευστῆς, ἔπειτα δὲ πρὸς τὴν ἀλήθειαν ἔχειν ἐρωτικῶς καὶ μηδαμῆ προσδέχεσθαι τὸ ψεῦδος, ἔπὶ τούτοις δὲ καὶ φύσει πως σώφρονα εἶναι καὶ κατὰ τὸ παθητικὸν τῆς ψυχῆς φυσικῶς κατεσταλμένον. ὁ γὰρ ἐφιέμενος μαθημάτων περὶ τὰ ὄντα καὶ ἐπὶ ταῦτα τρέπων ἑαυτοῦ τὴν ὄρεξιν οὐ θαυμάζοι ἂν τὰς ἡδονάς. δεῖ δὲ καὶ ἐλευθέριον εἶναι τῇ γνώμῃ τὸν μέλλοντα φιλοσοφεῖν· ἐναντιώτατον γὰρ μικρολογία ψυχῇ μελλούσῃ θεωρεῖν τὰ θεῖα καὶ ἀνθρώπινα. καὶ πρὸς δικαιοσύνην δὲ πεφυκέναι χρὴ αὐτόν, εἴγε καὶ πρὸς ἀλήθειαν καὶ πρὸς ἐλευθερίαν καὶ πρὸς σωφροσύνην, προσεῖναι δὲ αὐτῷ καὶ εὐμάθειαν καὶ μνήμην· εἰδοποιεῖ δὲ καὶ ταῦτα τὸν φιλόσοφον. αὗται δὲ αἱ εὐφυΐαι παιδείας μὲν ὀρθῆς καὶ τροφῆς τῆς προσηκούσης τυχοῦσαι τέλεον ἀποφαίνουσι πρὸς ἀρετήν, ἀμεληθεῖσαι δὲ μεγάλων κακῶν αἴτιαι γίνονται· ταύτας δὲ καὶ ὁμωνύμως ταῖς ἀρεταῖς εἴωθεν ὀνομάζειν ὁ Πλάτων, σωφροσύνη τε καὶ ἀνδρείᾳ καὶ δικαιοσύνῃ.*

II. *Διττοῦ δ' ὄντος τοῦ βίου, τοῦ μὲν θεωρητικοῦ, τοῦ δὲ πρακτικοῦ, τοῦ μὲν θεωρητικοῦ τὸ κεφάλαιον ἐν τῇ γνώσει τῆς ἀληθείας κεῖται, τοῦ πρακτικοῦ δὲ ἐν τῷ πρᾶξαι τὰ ὑπαγορευόμενα ἐκ τοῦ λόγου. τίμιος μὲν δὴ ὁ θεωρητικὸς βίος, ἐπό-*

ς δὲ καὶ ἀναγκαῖος ὁ πρακτικός· ὅτι δὲ τοῦτο οὕτως ἔχει, ὅθεν ἂν γένοιτο δῆλον. ἔστι τοίνυν ἡ θεωρία ἐνέργεια τοῦ νοοῦντος τὰ νοητά, ἡ δὲ πρᾶξις ψυχῆς λογικῆς ἐνέργεια σώματος γινομένη. ἡ ψυχὴ δὴ θεωροῦσα μὲν τὸ θεῖον καὶ νοήσεις τοῦ θείου εὐπαθεῖν τε λέγεται καὶ τοῦτο τὸ πάθημα ις φρόνησις ὠνόμασται, ὅπερ οὐχ ἕτερον εἴποι ἄν τις εἶναι πρὸς τὸ θεῖον ὁμοιώσεως· ὅθεν καὶ προηγούμενον καὶ τίἂν εἴη τὸ τοιοῦτο καὶ εὐκταιότατον καὶ οἰκειότατον ἀκών τε καὶ ἐφ' ἡμῖν κείμενον καὶ τοῦ προκειμένου τέλους αἴτιον. ἡ μέντοι πρᾶξις καὶ τὸ πρακτικὸν διὰ τοῦ σώματεραινόμενα κωλυθῆναί τε δύναται καὶ πράττοιτο ἂν ἀπαιτων τῶν πραγμάτων, ἃ κατὰ τὸν θεωρητικὸν βίον ὁρᾶται, τῆσαι εἰς ἀνθρώπων ἦθη. ἦξει γὰρ ὁ σπουδαῖος ἐπὶ τὰ κοιπόταν ἴδῃ κακῶς διοικούμενα πρὸς τινῶν αὐτά, περιστα- μὲν οὕτως ἡγούμενος τὸ στρατηγεῖν, τὸ δικάζειν, τὸ πρεειν, ἄριστα δ' ἐν πράξει μὲν καὶ ὡς ἐν ταύτῃ προηγούμενα περὶ νομοθεσίας καὶ πολιτείας κατάστασιν καὶ παιδείαν . πρέπει δὲ ἐκ τῶν εἰρημένων τῷ φιλοσόφῳ μηδαμῶς τῆς ρίας ἀπολείπεσθαι, ἀλλ' ἀεὶ ταύτην τρέφειν καὶ αὔξειν, ὡς ενον δὲ καὶ ἐπὶ τὸν πρακτικὸν χωρεῖν βίον.

III. Ἡ δὲ τοῦ φιλοσόφου σπουδὴ κατὰ τὸν Πλάτωνα ἐν ν ἔοικεν εἶναι· ἔν τε τῇ θέᾳ καὶ τῇ τῶν ὄντων γνώσει, καὶ ῇ πράξει τῶν καλῶν, καὶ ἐν αὐτῇ τῇ τοῦ λόγου θεωρίᾳ· ῖται δὲ ἡ μὲν τῶν ὄντων γνῶσις θεωρητική, ἡ δὲ περὶ τὰ ιτέα πρακτική, ἡ δὲ περὶ τὸν λόγον διαλεκτική. διαιρεῖται ὕτη εἵς τε τὸ διαιρετικὸν καὶ τὸ ὁριστικὸν καὶ τὸ ἐπαγων καὶ τὸ συλλογιστικόν, τοῦτο δὲ εἰς τὸ ἀποδεικτικόν, ὅπερ περὶ τὸν ἀναγκαῖον συλλογισμόν, καὶ εἰς τὸ ἐπιχειρηματιὃ θεωρεῖται περὶ τὸν ἔνδοξον συλλογισμόν, καὶ εἰς τρίτὸ ῥητορικόν, ὅπερ ἐστὶ περὶ τὸ ἐνθύμημα, ὃ καλεῖται ἀτεσυλλογισμός, καὶ προσέτι τὰ σοφίσματα· ὅπερ προηγούμεμὲν οὐκ ἂν εἴη τῷ φιλοσόφῳ, ἀναγκαῖον δέ. τῆς δὲ πρακτιτὸ μὲν θεωρεῖται περὶ τὴν τῶν ἠθῶν ἐπιμέλειαν, τὸ δὲ τὴν τοῦ οἴκου προστασίαν, τὸ δὲ περὶ πόλιν καὶ τὴν ταύσωτηρίαν· τούτων τὸ μὲν πρῶτον ἠθικὸν κέκληται, τὸ δὲ ερον οἰκονομικόν, τὸ δὲ λοιπὸν πολιτικόν. τοῦ δὲ θεωρηῦ τὸ μὲν περὶ τὰ ἀκίνητα καὶ τὰ πρῶτα αἴτια καὶ ὅσα θεῖα

τες, οἷον χρῶμα λευκότης, τὰ δὲ κατὰ συμβεβηκός, οἷον τὸ λευκὸν τὸ κεχρωσμένον, μετὰ δὲ ταῦτα τὸ ἄθροισμα, οἷον πῦρ, μέλι, οὕτω δὴ καὶ αἴσθησις ἡ μέν τις ἔσται τῶν πρώτων πρώτη λεγομένη, ἡ δὲ τῶν δευτέρων δευτέρα. τὰ μὲν δὴ πρῶτα νοητὰ νόησις κρίνει οὐκ ἄνευ τοῦ ἐπιστημονικοῦ λόγου, περιλήψει τινὶ καὶ οὐ διεξόδῳ, τὰ δὲ δεύτερα ὁ ἐπιστημονικὸς λόγος οὐκ ἄνευ νοήσεως· τὰ δὲ πρῶτα αἰσθητὰ καὶ τὰ δεύτερα ἡ αἴσθησις κρίνει οὐκ ἄνευ τοῦ δοξαστικοῦ λόγου, τὸ δὲ ἄθροισμα ὁ δοξαστικὸς λόγος οὐκ ἄνευ τῆς αἰσθήσεως. τοῦ νοητοῦ δὴ κόσμου πρώτου ὄντος νοητοῦ, τοῦ δ' αἰσθητοῦ ἀθροίσματος, τὸν μὲν νοητὸν κόσμον κρίνει νόησις μετὰ λόγου, τουτέστιν οὐκ ἄνευ λόγου, τὸν δὲ αἰσθητὸν ὁ δοξαστικὸς λόγος οὐκ ἄνευ αἰσθήσεως. οὔσης δὲ θεωρίας καὶ πράξεως, ὁ ὀρθὸς λόγος οὐχ ὁμοίως κρίνει τὰ τῇ θεωρίᾳ ὑποπίπτοντα καὶ τὰ πρακτά, ἀλλ' ἐν μὲν τῇ θεωρίᾳ ἐπισκοπεῖ τὸ ἀληθὲς καὶ τὸ μὴ οὕτως ἔχον, ἐν δὲ τοῖς πρακτοῖς, τί τὸ οἰκεῖον καὶ τί τὸ ἀλλότριον καὶ τί τὸ πραττόμενον. τῷ γὰρ ἔχειν ἔννοιαν φυσικὴν καλοῦ καὶ ἀγαθοῦ τῷ λόγῳ χρώμενοι καὶ ἀναφέροντες ἐπὶ τὰς φυσικὰς ἐννοίας ὡς ἐπὶ μέτρα τινὰ ὡρισμένα κρίνομεν, εἴτε οὕτως ἔχει τάδε τινά, εἴτε καὶ ἑτέρως.

V. Τῆς διαλεκτικῆς δὲ στοιχειωδέστατον ἡγεῖται πρῶτον μὲν τὸ τὴν οὐσίαν ἐπιβλέπειν παντὸς ὁτουοῦν, ἔπειτα περὶ τῶν συμβεβηκότων· ἐπισκοπεῖ δὲ αὐτὸ μὲν ὃ ἔστιν ἕκαστον ἢ ἄνωθεν διαιρετικῶς καὶ ὁριστικῶς ἢ κάτωθεν ἀναλυτικῶς, τὰ δὲ συμβεβηκότα καὶ ὑπάρχοντα ταῖς οὐσίαις ἢ ἐκ τῶν περιεχομένων δι' ἐπαγωγῆς ἢ ἐκ τῶν περιεχόντων διὰ συλλογισμοῦ· ὡς κατὰ λόγον εἶναι τῆς διαλεκτικῆς τὸ μὲν διαιρετικόν, τὸ δὲ ὁριστικόν, τὸ δὲ ἀναλυτικόν, καὶ προσέτι ἐπαγωγικόν τε καὶ συλλογιστικόν. διαίρεσις μὲν τοίνυν ἐστὶν ἡ μὲν γένους εἰς εἴδη τομή, ἡ δὲ ὅλου εἰς μέρη· ὡς ἡνίκα τέμνομεν τὴν ψυχὴν εἴς τε τὸ λογικὸν καὶ εἰς τὸ παθητικόν, καὶ αὖ πάλιν τὸ παθητικὸν εἴς τε τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν· ἡ δὲ φωνῆς τομὴ εἰς σημαινόμενα, ὡς ὅταν ἓν καὶ ταὐτὸν ὄνομα εἰς πλείω πράγματα ἕλκηται· ἡ δὲ συμβεβηκότων εἰς ὑποκείμενα, ὡς ὅταν φῶμεν τῶν ἀγαθῶν τὰ μὲν περὶ ψυχήν, τὰ δὲ περὶ σῶμα, τὰ δὲ ἐκτός· ἡ δὲ ὑποκειμένων εἰς συμβεβηκότα, ὡς ὅταν φῶμεν τῶν ἀνθρώπων τοὺς μὲν ἀγαθοὺς εἶναι, τοὺς δὲ κακούς, τοὺς

δὲ μέσους. τῇ τοίνυν τοῦ γένους πρῶτον εἰς εἴδη τομῇ χρῆσθαι δεῖ ὑπὲρ τοῦ διαγινώσκειν αὐτὸ ἕκαστον ὃ ἔστι κατὰ τὴν οὐσίαν· τοῦτο δὲ ἄνευ ὅρου οὐκ ἂν γένοιτο, ὁ δὲ ὅρος ἐκ διαιρέσεως γεννᾶται τοῦτον τὸν τρόπον· τοῦ μέλλοντος ὅρῳ ὑποπίπτειν πράγματος δεῖ τὸ γένος λαβεῖν, ὡς τοῦ ἀνθρώπου τὸ ζῷον, ἔπειτα τοῦτο τέμνειν κατὰ τὰς προσεχεῖς διαφορὰς κατιόντας μέχρι τῶν εἰδῶν, οἷον εἰς λογικὸν καὶ ἄλογον καὶ θνητὸν καὶ ἀθάνατον, ὥστε εἰ συντεθεῖεν αἱ προσεχεῖς διαφοραὶ τῷ γένει τῷ ἐξ αὐτῶν, ὅρον ἀνθρώπου γίνεσθαι. ἀναλύσεως δὲ εἴδη ἐστὶ τρία· ἡ μὲν γάρ ἐστιν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ πρῶτα νοητὰ ἄνοδος, ἡ δὲ διὰ τῶν δεικνυμένων καὶ ὑποδεικνυμένων ἄνοδος ἐπὶ τὰς ἀναποδείκτους καὶ ἀμέσους προτάσεις, ἡ δὲ ἐξ ὑποθέσεως ἀνιοῦσα ἐπὶ τὰς ἀνυποθέτους ἀρχάς. ἡ μὲν δὴ πρώτη τοιάδε τίς ἐστιν, οἷον ἂν ἀπὸ τοῦ περὶ τὰ σώματα καλοῦ μετίωμεν ἐπὶ τὸ ἐν ταῖς ψυχαῖς καλόν, ἀπὸ δὲ τούτου ἐπὶ τὸ ἐν τοῖς ἐπιτηδεύμασιν, εἶτα ἀπὸ τούτου ἐπὶ τὸ ἐν τοῖς νόμοις, εἶτ' ἐπὶ τὸ πολὺ πέλαγος τοῦ καλοῦ, εἶτα ῥῦτω μετιόντες εὕροιμεν λοιπὸν τὸ αὐτὸ τοῦτο καλόν. τὸ δὲ δεύτερον εἶδος τῆς ἀναλύσεως τοιοῦτόν τί ἐστιν· ὑποτίθεσθαι δεῖ τὸ ζητούμενον καὶ θεωρεῖν, τίνα ἐστὶ πρότερα αὐτοῦ, καὶ ταῦτα ἀποδεικνύειν ἀπὸ τῶν ὑστέρων ἐπὶ τὰ πρότερα ἀνιόντα, ἕως ἂν ἔλθωμεν ἐπὶ τὸ πρῶτον καὶ ὁμολογούμενον, ἀπὸ τούτου δὲ ἀρξάμενοι ἐπὶ τὸ ζητούμενον κατελευσόμεθα συνθετικῷ τρόπῳ· οἷον ζητῶν, εἰ ἀθάνατός ἐστιν ἡ ψυχή, ὑποθέμενος τοῦτο ζητῶ, εἰ ἀεικίνητος, καὶ τοῦτο ἀποδείξας ζητῶ, εἰ τὸ ἀεικίνητον αὐτοκίνητον, καὶ πάλιν τοῦτο ἀποδείξας σκοπῶ, εἰ τὸ αὐτοκίνητον ἀρχὴ κινήσεως, εἶτα εἰ ἡ ἀρχὴ ἀγένητος, ὅπερ τίθεται ὡς ὁμολογούμενον, τοῦ ἀγενήτου καὶ ἀφθάρτου ὄντος· ἀφ' οὗ ἀρξάμενος ἐναργοῦς ὄντος συνθήσω τοιαύτην ἀπόδειξιν· εἰ ἡ ἀρχὴ ἀγένητον καὶ ἄφθαρτον, ἀρχὴ κινήσεως τὸ αὐτοκίνητον, τὸ αὐτοκίνητον δὲ ψυχή, ἄφθαρτος ἄρα καὶ ἀγένητος καὶ ἀθάνατος ἡ ψυχή. ἡ δὲ ἐξ ὑποθέσεως ἀνάλυσίς ἐστι τοιαύτη· ὁ ζητῶν τι ὑποτίθεται αὐτὸ ἐκεῖνο, εἶτα τῷ ὑποτεθέντι σκοπεῖ τί ἀκολουθεῖ, καὶ μετὰ τοῦτο εἰ λόγον δέοι ἀποδιδόναι τῆς ὑποθέσεως, ἄλλην ὑποθέμενος ὑπόθεσιν ζητεῖ, εἰ τὸ πρότερον ὑποτεθὲν πάλιν ἐστὶν ἀκόλουθον ἄλλῃ ὑποθέσει, καὶ τοῦτο μέχρις οὗ ἂν ἐπί τινα ἀρχὴν ἀνυπόθετον ἔλθῃ ποιεῖ. ἐπαγωγὴ δέ ἐστι πᾶσα

ἡ διὰ λόγων μέθοδος ἡ ἀπὸ τοῦ ὁμοίου ἐπὶ τὸ ὅμοιον μετιοῦσα ἢ ἀπὸ τῶν καθέκαστα ἐπὶ τὰ καθόλου· χρησιμωτάτη δὲ ἡ ἐπαγωγὴ εἰς τὸ ἀνακινεῖν τὰς φυσικὰς ἐννοίας.

VI. Τοῦ δὲ λόγου, ὃν καλοῦμεν πρότασιν, δύο ἐστὶν εἴδη, τὸ μὲν κατάφασις, τὸ δὲ ἀπόφασις· κατάφασις μὲν τὸ τοιοῦτο· Σωκράτης περιπατεῖ· ἀπόφασις δὲ τὸ τοιοῦτο· Σωκράτης οὐ περιπατεῖ. τῆς δὲ ἀποφάσεως καὶ καταφάσεως ἡ μέν ἐστι καθόλου, ἡ δὲ ἐπὶ μέρους, ἐπὶ μέρους μὲν καταφατικὴ ἡ τοιαύτη· τὶς ἡδονὴ ἀγαθόν· ἀποφατικὴ δὲ τοιαύτη· τὶς ἡδονὴ οὐκ ἀγαθόν· καθόλου δὲ καταφατικὴ μὲν ἡ τοιαύτη· πᾶν τὸ αἰσχρὸν κακόν· ἀποφατικὴ δὲ ἡ τοιαύτη· οὐδὲν τῶν αἰσχρῶν ἀγαθόν. τῶν δὲ προτάσεων αἱ μὲν κατηγορικαί εἰσιν, αἱ δὲ ὑποθετικαί· κατηγορικαὶ μὲν αἱ ἁπλαῖ, οἷον· πᾶν δίκαιον καλόν· ὑποθετικαὶ δέ εἰσιν αἱ ἀκολουθίαν δηλοῦσαι ἢ μάχην. χρῆται δὲ ὁ Πλάτων καὶ τῇ τῶν συλλογισμῶν πραγματείᾳ ἐλέγχων τε καὶ ἀποδεικνύων, ἐλέγχων μὲν διὰ ζητήσεως τὰ ψευδῆ, ἀποδεικνύων δὲ διά τινος διδασκαλίας τὰ ἀληθῆ. ἔστι δὲ ὁ συλλογισμὸς λόγος, ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων δι' αὐτῶν τῶν τεθέντων ἐξ ἀνάγκης συμβαίνει· τῶν δὲ συλλογισμῶν οἱ μέν εἰσι κατηγορικοί, οἱ δὲ ὑποθετικοί, οἱ δὲ μικτοὶ ἐκ τούτων· κατηγορικοὶ μέν, ὧν καὶ τὰ λήμματα καὶ τὰ συμπεράσματα ἁπλαῖ προτάσεις ὑπάρχουσιν, ὑποθετικοὶ δὲ οἱ ἐξ ὑποθετικῶν προτάσεων, μικτοὶ δὲ οἱ τὰ δύο συνειληφότες. χρῆται δὲ ὁ ἀνὴρ τοῖς μὲν ἀποδεικτικοῖς ἐν τοῖς ὑφηγητικοῖς διαλόγοις, τοῖς δὲ ἐνδόξοις πρὸς τοὺς σοφιστάς τε καὶ νέους, τοῖς δὲ ἐριστικοῖς πρὸς τοὺς ἰδίως λεγομένους ἐριστικούς, οἷον Εὐθύδημον φέρε καὶ Ἱππίαν. τῶν δὲ κατηγορικῶν σχημάτων ὄντων τριῶν, καὶ τοῦ μὲν πρώτου, ἐν ᾧ ὁ κοινὸς ὅρος τοῦ μὲν κατηγορεῖται, τῷ δὲ ὑπόκειται, τοῦ δὲ δευτέρου, ἐν ᾧ ὁ κοινὸς ὅρος ἀμφοτέρων κατηγορεῖται, τοῦ δὲ τρίτου, ἐν ᾧ ὁ κοινὸς ὅρος ἀμφοτέροις ὑπόκειται (ὅρους δέ φημι τὰ μέρη τῶν προτάσεων, οἷον ἐπὶ τῆς· ὁ ἄνθρωπος ζῶον, τὸν ἄνθρωπον ὅρον φαμὲν καὶ τὸ ζῶον), καὶ κατὰ τὸ πρῶτον σχῆμα ἐρωτᾷ λόγους πολλάκις ὁ Πλάτων καὶ κατὰ τὸ δεύτερον καὶ τὸ τρίτον. κατὰ μὲν τὸ πρῶτον οὕτως ἐν Ἀλκιβιάδῃ· τὰ δίκαια καλά, τὰ καλὰ ἀγαθά, τὰ δίκαια ἄρα ἀγαθά· κατὰ δὲ τὸ δεύτερον [ὡς] ἐν Παρμενίδῃ οὕτως· ὃ μὴ ἔχει μέρη, οὔτε εὐθύ ἐστιν οὔτε στρογ-

γύλον, τὸ μετέχον σχήματος ἢ εὐθύ ἐστιν ἢ στρογγύλον, ὃ ἄρα μὴ ἔχει μέρη, οὐδὲ σχήματος μετέχει· κατὰ δὲ τὸ τρίτον οὕτως ἐν τῷ αὐτῷ βιβλίῳ· τὸ μετέχον σχήματος ποιόν ἐστι, τὸ μετέχον σχήματος πεπεράτωται, τὶ ἄρα ποιὸν πεπεράτωται. τοὺς δὲ ὑποθετικοὺς ἐν πολλοῖς βιβλίοις εὑρήσομεν ἐρωτωμένους ὑπ' αὐτοῦ, μάλιστα δ' ἐν τῷ Παρμενίδῃ τοιούτους εὕροιμεν ἂν λόγους· εἰ μὴ ἔχει μέρη τὸ ἕν, οὔτε ἀρχὴν οὔτε μέσον οὔτε τελευτὴν ἔχει· εἰ μήτε ἀρχὴν μήτε μέσον μήτε τελευτὴν ἔχει, οὐδὲ πέρας ἔχει· εἰ μὴ ἔχει πέρας, οὐδὲ σχήματος μετέχει· εἰ ἄρα μὴ ἔχει μέρη τὸ ἕν, οὐδὲ σχήματος μετέχει. κατὰ δὲ τὸ δεύτερον ὑποθετικὸν σχῆμα, ὃ οἱ πλεῖστοι τρίτον φασί, καθ' ὃ ὁ κοινὸς ὅρος ἀμφοτέροις τοῖς ἄκροις ἕπεται, οὕτως ἐρωτᾷ· εἰ μὴ ἔχει μέρη τὸ ἕν, οὔτε εὐθύ ἐστιν οὔτε στρογγύλον· εἰ μετέχει σχήματος, ἢ εὐθύ ἐστιν ἢ στρογγύλον· εἰ ἄρα μὴ ἔχει μέρη, οὐ μετέχει σχήματος. καὶ μὴν καὶ κατὰ τὸ τρίτον σχῆμα, πρὸς τινῶν δὲ δεύτερον, καθ' ὃ ὁ κοινὸς ὅρος ἀμφοτέρων ἡγεῖται, ἐν τῷ Φαίδωνι οὕτως ἐρωτᾷ δυνάμει· εἰ λαβόντες τὴν τοῦ ἴσου ἐπιστήμην μὴ ἐπιλελήσμεθα, ἐπιστάμεθα, εἰ δὲ ἐπιλελήσμεθα, ἀναμιμνησκόμεθα. καὶ τῶν μικτῶν δὲ μέμνηται, τῶν μὲν ἐξ ἀπολουθίας κατασκευαστικῶν οὕτως· εἰ τὸ ἓν ὅλον ἐστὶ καὶ πεπερασμένον, τοῦτο ἀρχὴν καὶ μέσα καὶ τελευτὴν ἔχον καὶ σχήματος μετέχει· τὸ δὲ ἡγούμενον· τὸ ἄρα λῆγον. τῶν δὲ ἐξ ἀπολουθίας ἀνασκευαστικῶν οὕτω πως τὰς διαφορὰς κατὰ τοῦτο θεωρεῖσθαι. ὅταν οὖν τις ἀκριβῶς κατίδῃ τὰς τῆς ψυχῆς δυνάμεις καὶ τὰς τῶν ἀνθρώπων διαφοράς, καὶ τὰ εἴδη τῶν λόγων, ἃ προσαρμόττει τῇδε ἢ τῇδε τῇ ψυχῇ, ὀξέως τε αἰσθάνεται καὶ ὁποῖος ὑπὸ τίνων λόγων καὶ ὁποίων πείθεσθαι δύναται, οὗτος, εἰ προσλάβοι καὶ τὸν καιρὸν τῆς χρήσεως τὸν προσήκοντα, τέλεος ἔσται ῥήτωρ καὶ ἡ ῥητορικὴ αὐτοῦ δικαίως ἂν λέγοιτο ἐπιστήμη τοῦ εὖ λέγειν. καὶ τὴν τῶν σοφισμάτων δὲ μέθοδον εὕροιμεν ἂν ὑπὸ τοῦ Πλάτωνος ὑπογεγραμμένην ἐν τῷ Εὐθυδήμῳ, εἰ ἀκριβῶς ἐντύχοιμεν τῷ βιβλίῳ, ὥστε ἐν αὐτῷ ὑποδεδεῖχθαι, τίνα μὲν παρὰ τὴν φωνήν ἐστι σοφίσματα, τίνα δὲ παρὰ τὰ πράγματα, καὶ τὰς λύσεις αὐτῶν. καὶ μὴν τὰς δέκα κατηγορίας ἔν τε τῷ Παρμενίδῃ καὶ ἐν ἄλλοις ὑπέδειξε, τὸν ἐτυμολογικόν τε τόπον ὅλον ἐν τῷ Κρατύλῳ [redacted] ἁπλῶς δὲ ἱκανώτατος ὁ ἀνὴρ καὶ θαυμαστὴς τῆς

καὶ διαιρετικῆς πραγματείας, αἳ πᾶσαι δεικνύουσι μάλιστα τὴν δύναμιν τῆς διαλεκτικῆς. τὰ δὲ ἐν τῷ Κρατύλῳ τοιοῦτον ἔχει νοῦν. ζητεῖ γάρ, πότερον φύσει τὰ ὀνόματά ἐστιν ἢ θέσει, ἀρέσκει δὲ αὐτῷ, θέσει ὑπάρχειν τὴν ὀρθότητα τῶν ὀνομάτων, οὐ μὴν ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ὥστε τὴν θέσιν γενέσθαι ἀκόλουθον τῇ τοῦ πράγματος φύσει· μὴ γὰρ ἄλλο τὴν ὀρθότητα εἶναι τοῦ ὀνόματος ἢ τὴν σύμφωνον τῇ φύσει τοῦ πράγματος θέσιν. μήτε γὰρ τὴν θέσιν τὴν ὁποιανοῦν ποτὲ τοῦ ὀνόματος αὐταρκῆ ἂν εἶναι καὶ ἀποχρῶσαν πρὸς ὀρθότητα, μήτε τὴν φύσιν καὶ τὴν πρώτην ἐκφώνησιν, ἀλλὰ τὸ ἐξ ἀμφοῖν, ὥστε εἶναι παντὸς ὀνόματος κατὰ τὸ οἰκεῖον τῇ τοῦ πράγματος φύσει κείμενον· οὐ γὰρ δήπου ἂν τὸ τυχὸν τῷ τυχόντι τεθῇ, σημανεῖ τὸ ὀρθόν, οἷον ἵππον εἰ θείμεθα ἀνθρώπῳ ὄνομα. καὶ γάρ τοι τὸ λέγειν ἀκολουθία τίς ἐστι τῶν πράξεων, ὥστε οὐχ ὁ ὁπωσδήποτε λέγων ὀρθῶς ἂν λέγοι, ἀλλ' εἰ οὕτω λέγοι, ᾗ τὰ πράγματα πέφυκεν· ἐπεὶ δὲ τοῦ λέγειν μέρος ἐστὶ τὸ ὀνομάζειν, ὡς καὶ τοῦ λόγου μέρος τὸ ὄνομα, τὸ ὀρθῶς καὶ μὴ ὀρθῶς ὀνομάζειν οὐ κατὰ θέσιν ὁποιανοῦν γένοιτ' ἄν, ἀλλὰ κατὰ τὴν φυσικὴν τοῦ ὀνόματος οἰκειότητα πρὸς τὸ πρᾶγμα, καὶ οὗτος ἂν εἴη ὀνοματοθέτης ἄριστος, ὁ σημαίνων δι' ὀνόματος τὴν φύσιν τοῦ πράγματος. ἔστι γὰρ τὸ ὄνομα ὄργανον πράγματος οὐχ ὃ ἔτυχεν, ἀλλὰ τὸ κατάλληλον τῇ φύσει· καὶ διὰ τούτου διδάσκομεν ἀλλήλους τὰ πράγματα καὶ διακρίνομεν αὐτά, ὥστε εἶναι τὸ ὄνομα διδασκαλικόν τι καὶ διακριτικὸν τῆς ἑκάστου οὐσίας ὄργανον, ὡς ἡ κερκὶς τοῦ ὑφάσματος. περὶ τὸ διαλεκτικὸν δὴ καὶ τοῦτο ὑπάρξει τὸ τοῖς ὀνόμασιν ὀρθῶς χρῆσθαι· ὡς γὰρ κερκίδι χρήσαιτ' ἂν ὑφαντικὸς ἀνήρ, εἰδὼς αὐτῆς τὸ προσῆκον ἔργον, τέκτονος αὐτὴν δημιουργήσαντος, οὕτω καὶ ὁ διαλεκτικός, ὀνοματοθέτου θέντος τοὔνομα, χρήσαιτ' ἂν αὐτῷ κατὰ τρόπον καὶ προσφόρως. καὶ γὰρ τοῦ τέκτονος μὲν τὸ ποιῆσαι πηδάλιον, κυβερνήτου δὲ τὸ χρήσασθαι καλῶς· οὕτω γάρ τοι καὶ αὐτὸς ὁ ὀνοματοθέτης καλῶς ἂν χρήσαιτο τῇ θέσει, εἰ ὡς διαλεκτικοῦ παρόντος ποιοῖτο τὴν θέσιν, τὴν φύσιν τῶν ὑποκειμένων ἐπισταμένου.

VII. Τὸ μὲν δὴ διαλεκτικὸν ἐπὶ τοσοῦτον ὑπογεγράφθω, ἑξῆς δὲ περὶ τοῦ θεωρητικοῦ λέγωμεν. τούτου τοίνυν τὸ μὲν εἴπομεν εἶναι θεολογικόν, τὸ δὲ φυσικόν, τὸ δὲ μαθηματικόν·

καὶ ὅτι τοῦ μὲν θεολογικοῦ τέλος ἡ περὶ τὰ πρῶτα αἴτια καὶ ἀνωτάτω τε καὶ ἀρχικὰ γνῶσις, τοῦ δὲ φυσικοῦ τὸ μαθεῖν, τίς ποτ' ἐστὶν ἡ τοῦ παντὸς φύσις καὶ οἷόν τι ζῶον ὁ ἄνθρωπος καὶ τίνα χώραν ἐν κόσμῳ ἔχων, καὶ εἰ θεὸς προνοεῖ τῶν ὅλων καὶ εἰ ἄλλοι θεοὶ τεταγμένοι ὑπὸ τούτῳ, καὶ τίς ἡ ἀνθρώπων πρὸς τοὺς θεοὺς σχέσις· τοῦ δὲ μαθηματικοῦ τὸ ἐπεσκέφθαι τὴν ἐπίπεδόν τε καὶ τριχῇ διεστηκυῖαν φύσιν, περί τε κινήσεως καὶ φορᾶς ὅπως ἔχει. προκείσθω δὲ ἡ τοῦ μαθηματικοῦ θεωρία ἐπὶ κεφαλαίων. αὕτη τοίνυν καὶ πρὸς ὀξύτητα διανοίας παρελήφθη ὑπὸ τοῦ Πλάτωνος, θήγουσα τὴν ψυχὴν καὶ πρὸς ἐπίσκεψιν τῶν ὄντων ἀκρίβειαν παρεχομένη· τό τε περὶ τοὺς ἀριθμοὺς ὂν μόριον τοῦ μαθηματικοῦ οὐχ ἧν ἔτυχεν οἰκειότητα ἐμποιεῖ πρὸς τὴν τοῦ ὄντος ἐπάνοδον, ἀλλὰ σχεδόν τι τῆς περὶ τὰ αἰσθητὰ πλάνης καὶ ἀγνοίας ἀπαλλάττει ἡμᾶς, συνεργοῦν πρὸς τὴν τῆς οὐσίας γνῶσιν, πρός τε πολέμους εὔθετον ὑπάρχει διὰ τὴν τῶν τακτικῶν θεωρίαν· τό γε μὴν κατὰ τὴν γεωμετρίαν ἐπιτηδειότατον καὶ αὐτὸ πρὸς τὴν τοῦ ἀγαθοῦ γνῶσιν, ὅταν γέ τις μὴ πράξεως ἕνεκεν μετίῃ γεωμετρίαν, ἀλλὰ προσχρώμενος αὐτῇ ὡς ἐπὶ τὸ ὂν ἀεὶ ἀνιέναι καὶ μὴ διατρίβειν περὶ τὸ γινόμενον καὶ ἀπολλύμενον. καὶ μὴν ἡ στερεομετρία χρησιμωτάτη· μετὰ γὰρ τὴν δευτέραν αὔξησιν ἀκόλουθος ἡ κατ αὐτὴν θεωρία τρίτην αὔξησιν ἔχουσα· χρήσιμον δὲ ὥσπερ τι τέταρτον μάθημα καὶ ἡ ἀστρονομία, καθ' ἣν ἐν τῷ οὐρανῷ θεασόμεθα ἄστρων τε φορὰς καὶ οὐρανοῦ καὶ τὸν δημιουργὸν νυκτός καὶ ἡμέρας μηνῶν τε καὶ ἐνιαυτῶν· ἐξ ὧν κατά τινα οἰκείαν ὁδὸν καὶ τὸν ἁπάντων δημιουργὸν ζητήσομεν, μετιόντες ἀπὸ τούτων τῶν μαθημάτων ὥσπερ τινὸς ὑποβάθρας καὶ στοιχείων. καὶ μουσικῆς δὲ ἐπιμελησόμεθα, ἐπὶ τὰ αὐτὰ τὴν ἀκοὴν ἀναφέροντες· ὥσπερ γὰρ πρὸς ἀστρονομίαν ὄμματα συνέστηκεν, οὕτως ἀκοὴ πρὸς τὸ ἐναρμόνιον· καὶ ὥσπερ ἀστρονομία τὸν νοῦν προσέχοντες ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὴν ἀόρατον καὶ νοητὴν οὐσίαν ποδηγούμεθα, οὕτω καὶ τῆς ἐναρμονίου φωνῆς κατακούοντες ἀπὸ τῶν ἀκουστῶν ἐπὶ τὰ αὐτῷ τῷ νῷ θεωρούμενα κατὰ ταὐτὰ μεταβαίνομεν· ὡς εἰ μὴ οὕτω μετίοιμεν ταῦτα τὰ μαθήματα, ἀτελής τε καὶ ἀνόνητος καὶ οὐδενὸς λόγου ἀξία ἡ περὶ τούτων σκέψις γένοιτ' ἂν ἡμῖν. δεῖ γὰρ ὀξέως ἀπὸ τῶν ὁρατῶν καὶ ἀπὸ τῶν ἀκουστῶν μεταβαίνειν ἐπ'

ἐκεῖνα, ἃ ἔστιν ἰδεῖν μόνῳ τῷ τῆς ψυχῆς λογισμῷ. ἔστι γὰρ ἡ τῶν μαθημάτων ἐπίσκεψις ὡς ἂν προοίμιόν τι πρὸς τὴν τῶν ὄντων θεωρίαν· ἐφιέμεναι γὰρ τοῦ ὄντος λαμβάνεσθαι γεωμετρία τε καὶ ἀριθμητικὴ καὶ αἱ ταύταις ἑπόμεναι ὀνειρώττουσι μὲν περὶ τὸ ὄν, ὕπαρ δὲ αὐτὸ ἀδυνατοῦσιν ἰδεῖν, ἀγνοοῦσαι τάς τε ἀρχὰς καὶ τὰ ἐκ τῶν ἀρχῶν συγκείμενα, οὐδὲν δὲ ἧττον χρησιμώταται οὖσαι τυγχάνουσι κατὰ τὰ εἰρημένα. ὅθεν οὐδὲ ἐπιστήμας ταῦτα τὰ μαθήματα ἔφησεν ὁ Πλάτων· ἡ μέντοι διαλεκτικὴ μέθοδος ἀπὸ τῶν γεωμετρικῶν ὑποθέσεων ἐπὶ τὰ πρῶτα καὶ ἀρχικὰ καὶ ἀνυπόθετα ἀνιέναι πέφυκεν· ὅθεν τὴν μὲν διαλεκτικὴν ἐπιστήμην προσεῖπε, τὰ δὲ μαθήματα οὔτε δόξαν διὰ τὸ ἐναργέστερα εἶναι τῶν αἰσθητῶν, οὔτε ἐπιστήμην διὰ τὸ ἀμυδρότερα εἶναι τῶν πρώτων νοητῶν· ἀλλὰ δόξαν μὲν τῶν σωμάτων φησίν, ἐπιστήμην δὲ τῶν πρώτων, διάνοιαν δὲ τῶν μαθημάτων. τίθεται δὲ τὶ καὶ πίστιν καὶ εἰκασίαν, τούτων δὲ τὴν μὲν πίστιν τῶν αἰσθητῶν, τὴν δὲ εἰκασίαν τῶν εἰκόνων καὶ εἰδώλων· ἐπεὶ δὲ ἡ διαλεκτικὴ ἰσχυρότατον τῶν μαθημάτων, ἅτε καὶ περὶ τὰ θεῖα καὶ βέβαια γινομένη, διὰ τοῦτο καὶ ἀνωτέρω τῶν μαθημάτων τάττεται, ὥσπερ θριγκός τις ὑπάρχουσα ἢ φυλακὴ τῶν λοιπῶν.

VIII. Μετὰ δὲ ταῦτα ἑπομένως περὶ τῶν ἀρχῶν τε καὶ τῶν θεολογικῶν λέγωμεν θεωρημάτων, ἄνωθεν ἀπὸ τῶν πρώτων ἀρχόμενοι καὶ ἀπ' αὐτῶν κατιόντες καὶ ἐπισκοποῦντες τὴν τοῦ κόσμου γένεσιν, τελευτῶντες δὲ εἰς ἀνθρώπων γένεσιν καὶ φύσιν. καὶ πρῶτόν γε περὶ ὕλης λέγωμεν. ταύτην τοίνυν ἐκμαγεῖόν τε καὶ πανδεχὲς καὶ τιθήνην καὶ μητέρα καὶ χώραν ὀνομάζει καὶ ὑποκείμενον ἁπτόν τε μετ' ἀναισθησίας καὶ νόθῳ λογισμῷ ληπτόν· ἰδιότητα δὲ ἔχειν τοιαύτην, ὥστε πᾶσαν γένεσιν ὑποδέχεσθαι τιθήνης λόγον ἐπέχουσαν τῷ φέρειν αὐτὰς καὶ ἀναδέχεσθαι μὲν αὐτὴν πάντα τὰ εἴδη, αὐτὴν δὲ καθ' αὐτὴν ἄμορφόν τε ὑπάρχειν καὶ ἄποιον καὶ ἀνείδεον, ἀναματτομένην δὲ τὰ τοιαῦτα καὶ ἐκτυπουμένην καθάπερ ἐκμαγεῖον καὶ σχηματιζομένην ὑπὸ τούτων, μηδὲν ἴδιον σχῆμα ἔχουσαν μηδὲ ποιότητα. οὐ γὰρ γένοιτ' ἄν τι εὖ παρεσκευασμένον πρὸς ποικίλας ἐκτυπώσεις καὶ μορφάς, εἰ μὴ ἄποιον αὐτὸ ὑπάρχοι καὶ ἀμέτοχον ἐκείνων τῶν εἰδῶν, ἃ δεῖ αὐτὸ δέξασθαι· ὁρῶμεν δὲ καὶ τοὺς τὰ ἀλείμματα ἐξ ἐλαίου κατασκευάζοντας τὰ εὐώδη

ἀνοσμοτάτῳ τούτῳ χρωμένους, καὶ τοὺς τὰς μορφὰς δημιουργεῖν βουλομένους ἐκ κηροῦ ἢ πηλοῦ προλεαίνοντας ταῦτα καὶ ὡς ἐνδέχεται ἀσχημάτιστα παρέχοντας. προσήκει δὴ καὶ τῇ πανδεχεῖ ὕλῃ, εἰ μέλλει κατὰ πᾶν δέχεσθαι τὰ εἴδη, τῷ μηδεμίαν αὐτῶν φύσιν ἔχειν ὑποκεῖσθαι, ἀλλ' ἄποιόν τε εἶναι καὶ ἀνείδεον πρὸς ὑποδοχὴν τῶν εἰδῶν· τοιαύτη δ' οὖσα οὔτε σῶμα ἂν εἴη οὔτε ἀσώματον, δυνάμει δὲ σῶμα, ὡς καὶ τὸν χαλκὸν ὑπακούομεν δυνάμει ἀνδριάντα, διότι τὸ εἶδος δεξάμενος ἀνδριὰς ἔσται.

IX. Ἀρχικὸν δὲ λόγον ἐπεχούσης τῆς ὕλης ἔτι καὶ ἄλλας ἀρχὰς παραλαμβάνει, τήν τε παραδειγματικήν, τουτέστι τὴν τῶν ἰδεῶν, καὶ τὴν τοῦ πατρὸς καὶ αἰτίου πάντων θεοῦ. ἔστι δὲ [καὶ] ἡ ἰδέα ὡς μὲν πρὸς θεὸν νόησις αὐτοῦ, ὡς δὲ πρὸς ἡμᾶς νοητὸν πρῶτον, ὡς δὲ πρὸς τὴν ὕλην μέτρον, ὡς δὲ πρὸς τὸν αἰσθητὸν κόσμον παράδειγμα, ὡς δὲ πρὸς αὐτὴν ἐξεταζομένη οὐσία. καθόλου γὰρ πᾶν τὸ γινόμενον κατ' ἐπίνοιαν πρός τι ὀφείλει γίνεσθαι, οὗ ὥσπερ εἰ ἀπό τινός τι γένοιτο, ὡς ἀπ' ἐμοῦ ᾗ ἐμὴ εἰκών, δεῖ τὸ παράδειγμα προυποκεῖσθαι· εἴτε καὶ μὴ εἴη ἔξω τὸ παράδειγμα παντί, πάντως ἕκαστος ἐν αὑτῷ τὸ παράδειγμα ἴσχων τῶν τεχνιτῶν τὴν τούτου μορφὴν τῇ ὕλῃ περιτίθησιν. ὁρίζονται δὲ τὴν ἰδέαν παράδειγμα τῶν κατὰ φύσιν αἰώνιον. οὔτε γὰρ τοῖς πλείστοις τῶν ἀπὸ Πλάτωνος ἀρέσκει τῶν τεχνικῶν εἶναι ἰδέας, οἷον ἀσπίδος ἢ λύρας, οὔτε μὴν τῶν παρὰ φύσιν, οἷον πυρετοῦ καὶ χολέρας, οὔτε τῶν κατὰ μέρος, οἷον Σωκράτους καὶ Πλάτωνος, ἀλλ' οὐδὲ τῶν εὐτελῶν τινός, οἷον ῥύπου καὶ κάρφους, οὔτε τῶν πρός τι, οἷον μείζονος καὶ ὑπερέχοντος· εἶναι γὰρ τὰς ἰδέας νοήσεις θεοῦ αἰωνίους τε καὶ αὐτοτελεῖς. ὅτι δὲ εἰσὶν αἱ ἰδέαι, καὶ οὕτω παραμυθοῦνται. εἴτε γὰρ νοῦς ὁ θεὸς ὑπάρχει εἴτε νοερόν, ἔστιν αὐτῷ νοήματα, καὶ ταῦτα αἰώνιά τε καὶ ἄτρεπτα, εἰ δὲ τοῦτο, εἰσὶν αἱ ἰδέαι· καὶ γὰρ εἰ ἄμετρος ὑπάρχει ἡ ὕλη κατὰ τὸν ἑαυτῆς λόγον, παρ' ἑτέρου τινὸς κρείττονος, τοῦ ἀύλου, τῶν μέτρων ὀφείλει τυγχάνειν· τὸ δὲ ἡγούμενον, τὸ ἄρα λῆγον· εἰ δὲ τοῦτο, εἰσὶν αἱ ἰδέαι μέτρα τινὰ ἄυλα ὑπάρχουσαι. ἔτι γε μὴν εἰ ὁ κόσμος μὴ ἐκ ταὐτομάτου τοιοῦτός ἐστιν, οὐ μόνον ἔκ τινός ἐστι γεγονώς, ἀλλὰ καὶ ὑπό τινος, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ πρός τι· τὸ δὲ πρὸς ὃ γέγονε τί ἂν ἄλλο [γέγονεν] ἢ ἰδέα;

ὥστε εἶεν ἂν αἱ ἰδέαι. ἀλλὰ μὴν καὶ εἰ νοῦς διαφέρει δόξης ἀληθοῦς, καὶ τὸ νοητὸν ἦν τοῦ δοξαστοῦ διαφέρον· εἰ δὲ τοῦτο, ἔστι νοητὰ ἕτερα τῶν δοξαστῶν· ὥστε εἴη ἂν καὶ πρῶτα νοητά, ὡς καὶ πρῶτα αἰσθητά· εἰ δὲ τοῦτο, εἰσὶν αἱ ἰδέαι· ἀλλὰ μὴν διαφέρει νοῦς δόξης ἀληθοῦς· ὥστε εἶεν ἂν αἱ ἰδέαι.

X. Ἐξῆς δὲ περὶ τῆς τρίτης ἀρχῆς ποιητέον τὸν λόγον, ἣν μικροῦ δεῖν καὶ ἄρρητον ἡγεῖται ὁ Πλάτων· ἐπαχθείημεν δ' ἂν περὶ αὐτῆς τοῦτον τὸν τρόπον. εἰ ἔστι νοητά, ταῦτα δὲ οὔτε αἰσθητὰ οὔτε μετούσια τῶν αἰσθητῶν, ἀλλὰ πρώτων τινῶν τῶν νοητῶν, ἔστι πρῶτα νοητὰ ἁπλᾶ, ὡς καὶ πρῶτα αἰσθητά· τὸ δ' ἡγούμενον, τὸ ἄρα λῆγον. ἄνθρωποι μὲν δὴ ἅτε τοῦ τῆς αἰσθήσεως πάθους ἐμπιπλάμενοι, ὥστε καὶ ὁπότε νοεῖν προαιροῖντο τὸ νοητόν, ἐμφανταζόμενον ἔχειν τὸ αἰσθητόν, ὡς καὶ μέγεθος συνεπινοεῖν καὶ σχῆμα καὶ χρῶμα πολλάκις, οὐ καθαρῶς τὰ νοητὰ νοοῦσι, θεοὶ δὲ ἁπηλλαγμένως τῶν αἰσθητῶν εἰλικρινῶς τε καὶ ἀμιγῶς. ἐπεὶ δὲ ψυχῆς νοῦς ἀμείνων, νοῦ δὲ τοῦ ἐν δυνάμει ὁ κατ' ἐνέργειαν πάντα νοῶν καὶ ἅμα καὶ ἀεί, τούτου δὲ καλλίων ὁ αἴτιος τούτου καὶ ὅπερ ἂν ἔτι ἀνωτέρω τούτων ὑφέστηκεν, οὗτος ἂν εἴη ὁ πρῶτος θεός, αἴτιος ὑπάρχων τοῦ ἀεὶ ἐνεργεῖν τῷ νῷ τοῦ σύμπαντος οὐρανοῦ. ἐνεργεῖ δὲ ἀκίνητος αὐτὸς ὢν εἰς τοῦτον, ὡς καὶ ὁ ἥλιος εἰς τὴν ὅρασιν, ὅταν αὐτῷ προσβλέπῃ, καὶ ὡς τὸ ὀρεκτὸν κινεῖ τὴν ὄρεξιν ἀκίνητον ὑπάρχον· οὕτω γε δὴ καὶ οὗτος ὁ νοῦς κινήσει τὸν νοῦν τοῦ σύμπαντος οὐρανοῦ. ἐπεὶ δὲ ὁ πρῶτος νοῦς κάλλιστος, δεῖ καὶ κάλλιστον αὐτῷ νοητὸν ὑποκεῖσθαι, οὐδὲν δὲ αὐτοῦ κάλλιον· ἑαυτὸν ἂν οὖν καὶ τὰ ἑαυτοῦ νοήματα ἀεὶ νοοίη, καὶ αὕτη ἡ ἐνέργεια αὐτοῦ ἰδέα ὑπάρχει. καὶ μὴν ὁ πρῶτος θεὸς ἀΐδιός ἐστιν, ἄρρητος, αὐτοτελὴς τουτέστιν ἀπροσδεής, ἀειτελὴς τουτέστιν ἀεὶ τέλειος, παντελὴς τουτέστι πάντη τέλειος· θειότης, οὐσιότης, ἀλήθεια, συμμετρία, ἀγαθόν. λέγω δὲ οὐχ ὡς ὁρίζων ταῦτα, ἀλλ' ὡς κατὰ πάντα ἑνὸς νοουμένου. καὶ ἀγαθὸν μέν ἐστι, διότι πάντα εἰς δύναμιν εὐεργετεῖ, παντὸς ἀγαθοῦ αἴτιος ὤν· καλὸν δέ, ὅτι αὐτοῦ τὸ σχῆμα φύσει τέλεόν ἐστι καὶ σύμμετρον· ἀλήθεια δέ, διότι πάσης ἀληθείας ἀρχὴ ὑπάρχει, ὡς ὁ ἥλιος παντὸς φωτός· πατὴρ δέ ἐστι τῷ αἴτιος εἶναι πάντων καὶ κοσμεῖν τὸν οὐράνιον νοῦν καὶ τὴν ψυχὴν τοῦ κόσμου πρὸς ἑαυτὸν καὶ πρὸς τὰς ἑαυτοῦ νοήσεις. κατὰ γὰρ

τὴν ἑαυτοῦ βούλησιν ἐμπέπληκε πάντα ἑαυτοῦ, τὴν ψυχὴν τοῦ κόσμου ἐπεγείρας καὶ εἰς ἑαυτὸν ἐπιστρέψας, τοῦ νοῦ αὐτῆς αἴτιος ὑπάρχων· ὃς κοσμηθεὶς ὑπὸ τοῦ πατρὸς διακοσμεῖ σύμπασαν φύσιν ἐν τῷδε τῷ κόσμῳ. ἄρρητος δ' ἔστι καὶ τῷ νῷ μόνῳ ληπτός, ὡς εἴρηται, ἐπεὶ οὔτε γένος ἐστὶν οὔτε εἶδος οὔτε διαφορά, ἀλλ' οὐδὲ συμβέβηκέ τι αὐτῷ, οὔτε κακόν· οὐ γὰρ θέμις τοῦτο εἰπεῖν· οὔτε ἀγαθόν· κατὰ μετοχὴν γάρ τινος ἔσται οὗτος καὶ μάλιστα ἀγαθότητος· οὔτε διαφορά· οὐδὲ γὰρ τοῦτο κατὰ τὴν ἔννοιαν αὐτοῦ· οὔτε ποιόν· οὐ γὰρ ποιωθέν ἐστι καὶ ὑπὸ ποιότητος τοιοῦτον ἀποτετελεσμένον· οὔτε ἄποιον· οὐ γὰρ ἐστέρηταί τινος ἐπιβάλλοντος αὐτῷ ποιοῦ· οὔτε μέρος τινός, οὔτε ὡς ὅλον ἔχον τινὰ μέρη, οὔτε ὥστε ταὐτόν τι εἶναι ἢ ἕτερον· οὐδὲν γὰρ αὐτῷ συμβέβηκε, καθ' ὃ δύναται τῶν ἄλλων χωρισθῆναι· οὔτε κινεῖ οὔτε κινεῖται. ἔσται δὴ πρώτη μὲν αὐτοῦ νόησις ἡ κατὰ ἀφαίρεσιν τούτων, ὅπως καὶ σημεῖον ἐνοήσαμεν κατὰ ἀφαίρεσιν ἀπὸ τοῦ αἰσθητοῦ, ἐπιφάνειαν νοήσαντες, εἶτα γραμμήν, καὶ τελευταῖον τὸ σημεῖον. δευτέρα δέ ἐστιν αὐτοῦ νόησις ἡ κατὰ ἀναλογίαν οὕτω πως· ὃν γὰρ ἔχει λόγον ὁ ἥλιος πρὸς τὴν ὅρασιν καὶ τὰ ὁρώμενα, οὐκ ὢν αὐτὸς ὄψις, παρέχων δὲ τῇ μὲν τὸ ὁρᾷν, τοῖς δὲ τὸ ὁρᾶσθαι, τοῦτον ἔχει τὸν λόγον ὁ πρῶτος νοῦς πρὸς τὴν ἐν τῇ ψυχῇ νόησιν καὶ τὰ νοούμενα· οὐ γὰρ ὢν ὅπερ ἐστὶν ἡ νόησις, παρέχει αὐτῇ τὸ νοεῖν καὶ τοῖς νοητοῖς τὸ νοεῖσθαι, φωτίζων τὴν περὶ αὐτὰ ἀλήθειαν. τρίτη δὲ νόησις τοιαύτη τις ἂν εἴη· θεωρῶν γάρ τις τὸ ἐπὶ τοῖς σώμασι καλὸν μετὰ τοῦτο μέτεισιν ἐπὶ τὸ τῆς ψυχῆς κάλλος, εἶτα τὸ ἐν ἐπιτηδεύμασι καὶ νόμοις, εἶτα ἐπὶ τὸ πολὺ πέλαγος τοῦ καλοῦ, μεθ' ὃ αὐτὸ τὸ ἀγαθὸν νοεῖ καὶ τὸ ἐραστὸν καὶ ἐφετὸν ὥσπερ φῶς φανὲν καὶ οἷον ἐκλάμψαν τῇ οὕτως ἀνιούσῃ ψυχῇ· τούτῳ δὲ καὶ θεὸν συνεπινοεῖ διὰ τὴν ἐν τῷ τιμίῳ ὑπεροχήν. ἀμερῆ τε διὰ τὸ μὴ εἶναι πρότερόν τι αὐτοῦ· τὸ γὰρ μέρος καὶ τὸ ἐξ οὗ πρότερον ὑπάρχει τούτου, οὗ μέρος· καὶ γὰρ τὸ ἐπίπεδον πρότερον ἢ τὸ σῶμα, καὶ ἡ γραμμὴ πρότερον ἢ τὸ ἐπίπεδον· μέρη γε μὴν οὐκ ἔχων ἀκίνητος ἂν εἴη κατὰ τόπον καὶ ἀλλοίωσιν. εἰ γὰρ ἀλλοιωθήσεται, ἢ ὑφ' αὐτοῦ ἢ ὑφ' ἑτέρου· εἰ μὲν οὖν ὑφ' ἑτέρου, ἐκεῖνο αὐτοῦ ἰσχυρότερον ἔσται, εἰ δ' ὑφ' ἑαυτοῦ, ἤτοι ἐπὶ τὸ χεῖρον ἀλλοιωθείη ἂν ἢ ἐπὶ τὸ βέλτιον· ἄμφω δὲ ἄτοπα· ἐξ ὧν ἁπάντων ἀναγκ[illegible]

νεται καὶ τὸ ἀσώματον αὐτὸ εἶναι· ὅπερ κἀκ τούτων ἀποδειχθήσεται. εἰ γὰρ σῶμα ὁ Θεός, ἐξ ὕλης ἂν εἴη καὶ εἴδους· διὰ τὸ πᾶν σῶμα συνδύασμά τι εἶναι ἔκ τε ὕλης καὶ τοῦ σὺν αὐτῇ εἴδους, ὅπερ ἐξομοιοῦται ταῖς ἰδέαις καὶ μετέχει αὐτῶν δύσφραστον δή τινα τρόπον· ἄτοπον δὲ τὸν Θεὸν ἐξ ὕλης εἶναι καὶ εἴδους· οὐ γὰρ ἔσται ἁπλοῦς οὐδὲ ἀρχικός· ὥστε ἀσώματος ἂν εἴη ὁ Θεός. καὶ αὐτόθεν δέ· εἰ σῶμά ἐστιν, ἐξ ὕλης ἂν ὑπάρχοι· ἢ πῦρ ἂν οὖν εἴη ἢ ὕδωρ ἢ γῆ ἢ ἀὴρ ἤ τι ἐκ τούτων· ἀλλ' ἕκαστόν γε τούτων οὐκ ἀρχικόν. καὶ ἄλλως δὲ ὕστερον γενήσεται τῆς ὕλης, εἰ ἐξ ὕλης ὑπάρχοι· ὧν ἀτόπων ὄντων ἀσώματον αὐτὸν ὑπολῃπτέον· καὶ γάρ, εἰ σῶμά ἐστι, καὶ φθαρτὸς ἔσται καὶ γεννητὸς καὶ μεταβλητός· ἕκαστον δὲ τούτων ἄτοπον ἐπ' αὐτοῦ.

XI. Καὶ μὴν καὶ αἱ ποιότητες τοῦτον τὸν τρόπον δεικνύοιντ' ἂν ἀσώματοι. πᾶν σῶμα ὑποκείμενόν ἐστιν, ἡ δὲ ποιότης οὐχ ὑποκείμενόν ἐστιν, ἀλλὰ συμβεβηκός· οὐκ ἄρα σῶμα ἡ ποιότης. πᾶσα ποιότης ἐν ὑποκειμένῳ, οὐδὲν δὲ σῶμα ἐν ὑποκειμένῳ, οὐκ ἄρα σῶμα ἡ ποιότης· ἔτι ποιότης ποιότητι ἐναντίον, οὐ μὴν καὶ σῶμα σώματι, σῶμά τε σώματος καθόσον σῶμα οὐδενὶ διαφέρει, ποιότητι δὲ διαφέρει καὶ οὐ μὰ Δία σώμασιν· οὐκ ἄρα σώματα αἱ ποιότητες. εὐλογώτατόν τε, ὡς ἡ ὕλη ἄποιος, τὴν ποιότητα ἄυλον εἶναι· εἰ δὲ ἡ ποιότης ἄυλος, ἀσώματος ἂν εἴη ἡ ποιότης. εἴ γε μὴν σώματα καὶ αἱ ποιότητες, δύο καὶ τρία σώματα ἔσται ἐν τῷ αὐτῷ τόπῳ, ἀτοπωτάτου τούτου ὑπάρχοντος· εἰ δὲ αἱ ποιότητες ἀσώματοι, καὶ τὸ δημιουργικὸν τούτων ἀσώματον. ἔτι τὰ ποιοῦντα οὐκ ἂν ἄλλα εἴη ἢ τὰ ἀσώματα· παθητικὰ γὰρ τὰ σώματα καὶ ῥευστὰ καὶ οὐκ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα, οὐδὲ μόνιμα καὶ ἔμπεδα, ἅ γε καὶ ἐν οἷς δοκεῖ τι ποιεῖν πολὺ πρόσθεν εὑρίσκεται πάσχοντα· ὥσπερ οὖν ἔστι τι παθητικὸν εἰλικρινῶς, οὕτως ἀναγκαῖον τὶ εἶναι καὶ ἀτρεκῶς ποιητικόν· οὐκ ἄλλο δὲ εὕροιμεν ἂν τοῦτο ἢ ἀσώματον. ὁ μὲν δὴ περὶ τῶν ἀρχῶν λόγος τοιοῦτος ἂν τις εἴη Θεολογικὸς λεγόμενος· ἐπὶ δὲ τὸν καλούμενον φυσικὸν τόπον ἐξῆς χωρητέον ἐντεῦθέν ποθεν ἀρξαμένους.

XII. Ἐπεὶ γὰρ τῶν κατὰ φύσιν αἰσθητῶν καὶ κατὰ μέρος ὡρισμένα τινὰ δεῖ παραδείγματα εἶναι τὰς ἰδέας, ὧν καὶ τὰς ἐπιστήμας γίνεσθαι καὶ τοὺς ὅρους· παρὰ πάντας γὰρ ἀνθρώ-

πους ἄνθρωπόν τινα νοεῖσθαι καὶ παρὰ πάντας ἵππους ἵππον, καὶ κοινῶς παρὰ τὰ ζῶα ζῶον ἀγένητον καὶ ἄφθαρτον, ὃν τρόπον σφραγῖδος μιᾶς ἐκμαγεῖα γίνεται πολλὰ καὶ ἑνὸς ἀνδρὸς εἰκόνες μυρίαι ἐπὶ μυρίαις, τῆς ἰδέας οὔσης αἰτίας ἀρχὴν τοῦ εἶναι ἕκαστον τοιοῦτον, οἷον αὐτὴ ὑπάρχει· ἀναγκαῖον καὶ τὸ κάλλιστον κατασκεύασμα τὸν κόσμον ὑπὸ τοῦ θεοῦ δεδημιουργῆσθαι πρός τινα ἰδέαν κόσμου ἀποβλέποντος, παράδειγμα ὑπάρχουσαν τοῦδε τοῦ κόσμου ὡς ἂν ἀπεικονισμένου ἀπ' ἐκείνης, πρὸς ἣν ἀφομοιωθέντα ὑπὸ τοῦ δημιουργοῦ αὐτὸν ἀπειργάσθαι κατὰ θαυμασιοτάτην πρόνοιαν καὶ δίαιταν ἐλθόντος ἐπὶ τὸ δημιουργεῖν τὸν κόσμον, διότι ἀγαθὸς ἦν. ἐκ τῆς πάσης οὖν ὕλης αὐτὸν ἐδημιούργει ἣν ἀτάκτως καὶ πλημμελῶς κινουμένην πρὸ τῆς οὐρανοῦ γενέσεως ἐκ τῆς ἀταξίας παραλαβὼν πρὸς τὴν ἀρίστην ἦγαγε τάξιν, ἀριθμοῖς πρέπουσι τὰ μέρη κοσμήσας αὐτοῦ καὶ σχήμασιν, ὥστε διακρῖναι ὅπως νῦν ἔχει πῦρ τε καὶ γῆ πρὸς ἀέρα τε καὶ ὕδωρ, ἔχνη μὲν τέως ἔχοντα καὶ τὸ δεκτικὸν τῆς τῶν στοιχείων δυνάμεως, ἀλόγως δὲ καὶ ἀμέτρως σείοντά τε τὴν ὕλην καὶ πρὸς ταύτης σειόμενα. ἐξ ἑκάστου γὰρ ὅλου τῶν τεττάρων αὐτὸν στοιχείων ἐγέννησε, πυρός τε παντὸς καὶ γῆς ὕδατός τε καὶ ἀέρος, οὐδὲν μέρος οὐδενὸς ἀπολιπὼν οὐδὲ δύναμιν, διανοηθεὶς πρῶτον μὲν ὅτι σωματοειδὲς χρὴ τὸ γενόμενον εἶναι καὶ πάντως ἁπτόν τε καὶ ὁρατόν, χωρὶς δὲ πυρὸς καὶ γῆς οὐχ οἷόν τε οὔτε ὁρατόν τι εἶναι οὔτε ἁπτόν· κατὰ δὴ τὸν εἰκότα λόγον ἐκ γῆς αὐτὸν καὶ πυρὸς ἐποίησεν· ἐπεὶ δὲ καὶ δεσμὸν ἔδει τινὰ συναγωγὸν ἀμφοτέρων ἐν μέσῳ γενέσθαι, θεῖος δὲ δεσμὸς ὁ τῆς ἀναλογίας, ὃς ἑαυτόν τε καὶ τὰ συνδούμενα πέφυκεν ἓν ποιεῖν, ἐπίπεδός τε οὐκ ἦν ὁ κόσμος — ἀπέχρη γὰρ ἂν αὐτῷ μία μεσότης — σφαιροειδὴς δέ, δυοῖν ἐδέησεν αὐτῷ μεσοτήτων εἰς συναρμογήν· διὰ τοῦτο πυρὸς ἐν μέσῳ καὶ γῆς ἀήρ τε καὶ ὕδωρ ἐτάχθη κατὰ τὸν τῆς ἀναλογίας τρόπον· ὥστε ὡς ἔχει πῦρ πρὸς ἀέρα, οὕτως ἔχειν ἀέρα τε πρὸς ὕδωρ καὶ τοῦτο πρὸς γῆν καὶ ἀνάπαλιν. τῷ δὲ μηδὲν ἔξωθεν ὑπολείπεσθαι καὶ μονογενῆ τὸν κόσμον ἐποίησε καὶ κατὰ τὸν ἀριθμὸν τῇ ἰδέᾳ εἰκασμένον μιᾷ οὔσῃ, πρός τε τούτοις ἄνοσον καὶ ἀγήρω, ἅτε αὐτῷ μηδενὸς προσιόντος τοῦ κηραίνειν πεφυκότος, αὐτάρκη τε καὶ οὐδενὸς ἔξωθεν δεόμενον· σχῆμα δ' αὐτῷ περιέθηκε τὸ σφαιροειδές, εὐμορφότατον

σχημάτων καὶ πολυχωρότατον καὶ εὐκινητότατον· καὶ ἐπεὶ οὔτε ὁράσεως ἐδεῖτο οὔτε ἀκοῆς οὔτε μὴν ἄλλου τοιούτου τινός, οὐ προσῆψεν αὐτῷ τοιαῦτα ὄργανα πρὸς ὑπηρεσίαν, ἀφελόμενος δὲ τὰς λοιπὰς κινήσεις μόνην αὐτῷ δέδωκε τὴν κυκλοφορικήν, νοῦ καὶ φρονήσεως οἰκείαν ὑπάρχουσαν.

XIII. Ἐξ ὧν δὲ συνέστηκεν ὁ κόσμος, δύο ὑπαρχόντων, σώματος καὶ ψυχῆς, ὧν τὸ μὲν ὁρατὸν καὶ ἁπτόν, ἡ δὲ ἀόρατός τε καὶ ἀναφής, ἑκατέρου ἡ δύναμις καὶ ἡ σύστασις διάφορος οὖσα τυγχάνει. τὸ μὲν γὰρ σῶμα αὐτοῦ ἐκ πυρὸς γέγονε καὶ γῆς ὕδατός τε καὶ ἀέρος· ταῦτα δὴ τὰ τέτταρα συλλαβὼν ὁ δημιουργὸς τοῦ κόσμου οὐ μὰ Δία στοιχείων τάξιν ἐπέχοντα διεσχημάτισε πυραμίδι καὶ κύβῳ καὶ ὀκταέδρῳ καὶ εἰκοσαέδρῳ καὶ ἐπὶ πᾶσι δωδεκαέδρῳ· καὶ καθὸ μὲν πυραμίδος σχῆμα ἔλαβεν ἡ ὕλη, πῦρ ἐγένετο, τμητικωτάτου τοῦ σχήματος ὄντος καὶ ἐξ ἐλαττόνων τριγώνων, ταύτῃ δὲ καὶ μανοτάτου· καθὸ δὲ ὀκταέδρου, τὴν ἀέρος ποιότητα ἀπέλαβε, καθὸ δὲ εἰκοσαέδρου τύπον, τὴν ὕδατος ποιότητα ἔσχε, τὸ δὲ τοῦ κύβου σχῆμα ἀπεδίδου τῇ γῇ, στερεωτάτῃ ὑπαρχούσῃ καὶ ἑδραιοτάτῃ· τῷ δὲ σχήματι τῷ δωδεκαέδρῳ πρὸς τὸ πᾶν κατεχρήσατο. πάντων δὲ τούτων ἀρχικωτέρα φύσις ἡ τῶν ἐπιπέδων· τῶν γὰρ στερεῶν προηγεῖται τὰ ἐπίπεδα· τῆς δὲ ἐπιπέδου φύσεως ὥσπερ τινὰ πρόγονα δύο ὑπάρχει τρίγωνα τὰ κάλλιστα ὀρθογώνια, ὄντα τὸ μὲν σκαληνόν, τὸ δὲ ἰσοσκελές· τοῦ σκαληνοῦ μίαν μὲν γωνίαν ὀρθὴν ἔχοντος, μίαν δὲ διμοίρου, τὴν δὲ καταλειπομένην τρίτου. τὸ μὲν δὴ πρότερον, λέγω δὲ τὸ σκαληνὸν τρίγωνον, πυραμίδος καὶ ὀκταέδρου καὶ εἰκοσαέδρου στοιχεῖον γίνεται, τῆς μὲν πυραμίδος ἐκ τεττάρων ἰσοπλεύρων τριγώνων συνεστώσης, εἰς ἓξ τρίγωνα σκαληνὰ τὰ εἰρημένα ἑκάστου διαιρουμένου· τοῦ δὲ ὀκταέδρου ἐξ ὀκτὼ ὁμοίως διαιρουμένου ἑκάστου εἰς ἓξ σκαληνά, τὰ δὲ εἰκοσαέδρου ἐξ εἴκοσι. τὸ δὲ ἕτερον, λέγω δὲ τὸ ἰσοσκελές, συστατικὸν τοῦ κύβου γίνεται· τέτταρα γὰρ ἰσοσκελῆ τρίγωνα συνελθόντα τετράγωνον ποιεῖ, ἐξ οἱοιῶν ἓξ τετραγώνων ὁ κύβος συνίσταται· τῷ δὲ δωδεκαέδρῳ εἰς τὸ πᾶν ὁ θεὸς κατεχρήσατο, διότι ζῳδιά τε ἐν οὐρανῷ θεωρεῖται δώδεκα ἐν τῷ ζῳδιακῷ κύκλῳ καὶ ἕκαστον αὐτῶν εἰς μοίρας τριάκοντα διη[illegible] παραπλησίως καὶ ἐπὶ τοῦ δωδεκαέδρου ἐκ πενταγ[illegible] δώδεκ[illegible]ουμένων εἰς

πέντε τρίγωνα, ὥστε ἕκαστον δι' ἓξ τριγώνων εἶναι, ἐν ὅλῳ τῷ δωδεκαέδρῳ τριακοσίων ἑξήκοντα εὑρισκομένων τριγώνων, ὁπόσαι καὶ ἐν τῷ ζωδιακῷ μοῖραι οὖσαι τυγχάνουσι. τούτοις οὖν ὑπὸ τοῦ θεοῦ ἡ ὕλη τυπωθεῖσα ἐκινεῖτο μὲν τὸ πρῶτον τοῖς ἴχνεσιν ἀτάκτως, εἶτα ὑπὸ τοῦ θεοῦ πρὸς τάξιν ἦχθη, ἁρμοσθέντων πάντων ἀναλογίᾳ πρὸς ἄλληλα· οὐ μένει δὲ ταῦτα διακριθέντα κατὰ χώραν, ἄπαυστον δὲ ἔχει σεισμὸν καὶ τῇ ὕλῃ παρέχει, διότι τῇ τοῦ κόσμου περιφορᾷ σφιγγόμενα συνωθεῖται καὶ συνελαυνόμενα πρὸς ἄλληλα φέρεται τὰ λεπτομερέστερα εἰς τὰς τῶν ἁδρομερεστέρων χώρας. διὰ τοῦτο δὲ μηδὲν κενὸν ὑπολείπεται σώματος ἔρημον, καὶ ἡ ἀνωμαλότης δὲ διαμένουσα τὸν σεισμὸν παρέχεται· ὑπό τε γὰρ τούτων ἡ ὕλη σείεται καὶ ταῦτα ὑπ' ἐκείνης.

XIV. Τὰ μὲν δὴ σώματα εἰς τὰς τῶν ἐμφαινομένων ἐν τῇ ψυχῇ δυνάμεων .... τὴν διδασκαλίαν αὐτῆς πεποίηται. ἐπεὶ γὰρ ἕκαστα τῶν ὄντων κρίνομεν τῇ ψυχῇ, τὰς ἁπάντων τῶν ὄντων ἀρχὰς εἰκότως ἐγκατέταξεν αὐτῇ, ἵν' ἀεὶ τῶν ὑποπιπτόντων ἕκαστον κατὰ τὸ συγγενὲς καὶ παραπλήσιον θεωροῦντες σύμφωνον τοῖς ἔργοις καὶ τὴν οὐσίαν αὐτῆς ὑποστησώμεθα. λέγων οὖν εἶναί τινα νοητὴν οὐσίαν ἀμέριστον, καὶ ἄλλην περὶ τὰ σώματα μεριστὴν ὑπεστήσατο ἐμφαίνων, ὅτι ἑκατέρας τῶν οὐσιῶν ἐφάπτεσθαι δύναται τῇ νοήσει· ὁρῶν δὲ καὶ ἐπὶ τῶν νοητῶν ταυτότητά τε καὶ ἑτερότητα, καὶ ἐπὶ τῶν μεριστῶν, ἐκ πάντων τούτων συνηράνικε τὴν ψυχήν· ἡ γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον γνωρίζεται, ὡς τοῖς Πυθαγορείοις ἀρέσκει, ἢ τῷ ἀνομοίῳ τὸ ἀνόμοιον, ὡς Ἡρακλείτῳ τῷ φυσικῷ. ὅταν δὲ εἴπῃ γεννητὸν εἶναι τὸν κόσμον, οὐχ οὕτως ἀκουστέον αὐτοῦ, ὡς ὄντος ποτὲ χρόνου, ἐν ᾧ οὐκ ἦν κόσμος· ἀλλὰ διότι ἀεὶ ἐν γενέσει ἐστὶ καὶ ἐμφαίνει τῆς αὐτοῦ ὑποστάσεως ἀρχικώτερόν τι αἴτιον· καὶ τὴν ψυχὴν δὲ ἀεὶ οὖσαν τοῦ κόσμου οὐχὶ ποιεῖ ὁ θεός, ἀλλὰ κατακοσμεῖ, καὶ ταύτῃ λέγοιτ' ἂν καὶ ποιεῖν, ἐγείρων καὶ ἐπιστρέφων πρὸς αὐτὸν τόν τε νοῦν αὐτῆς καὶ αὐτὴν ὥσπερ ἐκ κάρου τινὸς [βαθέος ὕπνου], ὅπως ἀποβλέπουσα πρὸς τὰ νοητὰ αὐτοῦ δέχηται τὰ εἴδη καὶ τὰς μορφάς, ἐφιεμένη τῶν ἐκείνου νοημάτων. δῆλον οὖν ὅτι ζῶον ἂν εἴη ὁ κόσμος καὶ νοερόν· ἄριστον γὰρ αὐτὸν βουλόμενος ποιῆσαι ὁ θεὸς ἀκολούθως καὶ ἔμψυχον αὐτὸν ἐποίησε καὶ νοερόν· τά τε γὰρ ἔμ-

ψυχον ἀποτέλεσμα τοῦ μὴ ἐμψύχου ὅλον ὅλου κρεῖττον καὶ τὸ νοερὸν τοῦ μὴ νοεροῦ, ἴσως οὐχ οἷόν τε ὄντος νοῦ ἄνευ ψυχῆς ὑποστῆναι· τῆς δὲ ψυχῆς ταθείσης ἐκ τοῦ μέσου ἐπὶ τὰ πέρατα, συνέβη αὐτὴν τὸ σῶμα τοῦ κόσμου κύκλῳ διὰ παντὸς περιέχειν καὶ περικαλύψαι, ὥστε ὅλῳ τῷ κόσμῳ αὐτὴν παρεκτεῖναι καὶ τούτῳ τῷ τρόπῳ αὐτὸν συνδεῖν τε καὶ συνέχειν, κρατεῖν μέντοι τὰ ἐκτὸς αὐτῆς τῶν ἐντός. ἡ μὲν γὰρ ἐκτὸς ἄσχιστος ἔμεινεν, ἡ δὲ ἐντὸς εἰς ἑπτὰ κύκλους ἐτμήθη ἐξ ἀρχῆς νεμηθεῖσα κατὰ διπλάσια καὶ τριπλάσια διαστήματα· ἔστι τε ἡ μὲν περιεχομένη ὑπὸ τῆς ἀσχίστου μεινάσης σφαίρας ταὐτῷ παραπλησία, ἡ δὲ σχισθεῖσα θατέρῳ. ἡ μὲν γὰρ τοῦ πάντα περιέχοντος οὐρανοῦ κίνησις ἁπλανὴς οὖσα μία τέ ἐστι καὶ τεταγμένη, ἡ μέντοι τῶν ἐντὸς ποικίλη καὶ ἀνατολαῖς τε καὶ δύσεσιν ἀλλοία, διὸ καὶ πλανῆτις καλεῖται· φέρεται δὲ ἡ μὲν ἐκτὸς ἐπὶ τὰ δεξιὰ ἀπ' ἀνατολῆς ἐπὶ δύσιν κινουμένη, ἡ δ' ἐντὸς ἀνάπαλιν ἐπὶ τὰ ἀριστερά, ἀπὸ δύσεως ἐπ' ἀνατολὴν ὑπαντιάζουσα τῷ κόσμῳ. ἐδημιούργησε δὲ ὁ θεὸς καὶ ἀστέρας τε καὶ ἄστρα, καὶ τούτων τὰ μὲν ἁπλανῆ, κόσμον οὐρανοῦ τε καὶ νυκτός, πάμπολλα ὄντα τῷ πλήθει, τὰ δὲ εἰς γένεσιν ἀριθμοῦ καὶ χρόνου καὶ δεῖξιν τῶν ὄντων, ἑπτὰ ὄντα. καὶ γὰρ τὸν χρόνον ἐποίησε τῆς κινήσεως τοῦ κόσμου διάστημα, ὡς ἂν εἰκόνα τοῦ αἰῶνος, ὅς ἐστι μέτρον τοῦ αἰωνίου κόσμου τῆς μονῆς. τὰ δὲ μὴ ἁπλανῆ τῶν ἄστρων τῇ δυνάμει οὐχ ὅμοια. ἥλιος μὲν ἡγεμονεύει πάντων, δεικνύς τε καὶ φαίνων τὰ σύμπαντα· σελήνη δὲ ἐν τάξει δευτέρᾳ θεωρεῖται ἕνεκα τῆς δυνάμεως, οἱ δὲ ἄλλοι πλανῆται ἀναλόγως κατὰ μοῖραν ἕκαστος ἰδίαν. καὶ σελήνη μὲν μηνὸς μέτρον ποιεῖ, ἐκπεριελθοῦσα τὸν ἑαυτῆς κύκλον καὶ καταλαβοῦσα τὸν ἥλιον ἐν τοσούτῳ· ἥλιος δὲ ἐνιαυτῷ· περιελθὼν γὰρ τὸν ζωοφόρον κύκλον πληροῖ τὰς ὥρας τοῦ ἔτους· οἵ τε ἄλλοι καθ' ἕνα ἕκαστον περιόδοις ἰδίαις κέχρηνται, αἵτινες θεωρηταὶ οὐ τοῖς τυχοῦσιν εἰσίν, ἀλλὰ τοῖς πεπαιδευμένοις· ἐκ δὲ πασῶν τῶν περιόδων ὁ τέλειος ἀριθμὸς καὶ χρόνος συμπεραιοῦται, ὁπόταν ἐπὶ τὸ αὐτὸ σημεῖον πάντες οἱ πλανῆται ἐλθόντες ταύτην τὴν τάξιν λάβωσιν, ὥστε εὐθείας νοηθείσης ἀπὸ τῆς ἁπλανοῦς σφαίρας ἐπὶ τὴν γῆν νευούσης κατὰ κάθετον τὰ κέντρα αὐτῶν ἐπὶ ταύτης θεωρεῖσθαι. ἑπτὰ τοίνυν σφαιρῶν οὐσῶν ἐν τῇ πλανωμέν[illegible] ἑπτὰ σώματα

ὁ θεὸς δημιουργήσας ὁρατὰ ἐκ πυρώδους τῆς πλείστης οὐσίας ἐφήρμοσε ταῖς σφαίραις ὑπαρχούσαις ἐκ τοῦ θατέρου κύκλου καὶ πλανωμένου. σελήνην μὲν δὴ τῷ μετὰ γῆν ἐπέθηκε κύκλῳ τῷ πρώτῳ, ἥλιον δὲ εἰς τὸν δεύτερον ἔταξε, φωσφόρον δὲ καὶ τὸν ἱερὸν Ἑρμοῦ λεγόμενον ἀστέρα εἰς τὸν ἰσοταχῆ μὲν ἡλίῳ κύκλον ἰόντα, τούτου δὲ ἀφεστῶτα· ὕπερθεν δὲ τοὺς ἄλλους κατὰ σφαῖραν οἰκείαν· τὸν μὲν βραδύτατον αὐτῶν ὑπὸ τῇ τῶν ἀπλανῶν κειμένου σφαίρᾳ, ὃν Κρόνου τινὲς ἐπονομάζουσιν ἀστέρα, τὸν δὲ βραδυτῆτι δεύτερον μετὰ τοῦτον Διὸς ἐπώνυμον, ὑφ' ὃν τὸν Ἄρεως· ὀγδόη δὲ πᾶσιν ἡ ἄνωθεν δύναμις περιβέβληται. πάντες δὲ οὗτοι νοερὰ ζῶα καὶ θεοὶ καὶ σφαιρικὰ τοῖς σχήμασιν.

XV. Εἰσὶ δὲ καὶ ἄλλοι δαίμονες, οὓς καὶ καλοίη ἄν τις γεννήτους θεούς, καθ' ἕκαστον τῶν στοιχείων, οἱ μὲν ὁρατοί, οἱ δὲ ἀόρατοι, ἔν τε αἰθέρι καὶ πυρὶ ἀέρι τε καὶ ὕδατι, ὡς μηδὲν κόσμου μέρος ψυχῆς ἄμοιρον εἶναι μηδὲ ζώου κρεῖττονος θνητῆς φύσεως· τούτοις δὲ ὑποτέτακται τὰ ὑπὸ σελήνην πάντα καὶ τὰ ἐπίγεια. ὁ μὲν γὰρ θεὸς τοῦ τε παντὸς ὑπάρχει ποιητὴς αὐτὸς καὶ τῶν θεῶν τε καὶ τῶν δαιμόνων, ὃ δὴ πᾶν λύσιν οὐκ ἔχει κατὰ τὴν ἐκείνου βούλησιν· τῶν δὲ ἄλλων οἱ ἐκείνου παῖδες ἡγοῦνται, κατὰ τὴν ἐκείνου ἐντολὴν καὶ μίμησιν πράττοντες ὅσα πράττουσιν, ἀφ' ὧν κληδόνες καὶ ὀττεῖαι καὶ ὀνείρατα καὶ χρησμοὶ καὶ ὅσα κατὰ μαντείαν ὑπὸ θνητῶν τεχνιτεύεται. κεῖται δὲ ἡ μὲν γῆ τῶν ὅλων μέση, περὶ τὸν διὰ παντὸς τεταμένον σφιγγομένη πόλον, ἡμέρας φύλαξ καὶ νυκτός, πρεσβυτάτη τῶν ἐντὸς οὐρανοῦ θεῶν· μετά γε τὴν ψυχὴν τοῦ κόσμου τροφὴν ἡμῖν παρέχουσα δαψιλῆ· περὶ ἣν ὁ κόσμος πολεῖται, ἄστρον τι καὶ αὕτη ὑπάρχουσα, μένουσα δὲ διὰ τὸ ἰσόροποόν τι εἶναι χρῆμα ἐν μέσῳ κείμενον, ὅμοιον τῶν περιεχόντων. ὁ δὲ αἰθὴρ ἐξωτάτω διηρημένος εἴς τε τὴν τῶν ἀπλανῶν σφαῖραν καὶ εἰς τὴν τῶν πλανωμένων· μεθ' ἃς ἡ τοῦ ἀέρος ὑπάρχει, καὶ ἐν μέσῳ ἡ γῆ σὺν τῷ ἑαυτῆς ὑγρῷ.

XVI. Ἐπεὶ διεκεκόσμητο αὐτῷ τὰ πάντα, τρία δὲ τὰ λοιπὰ γένη ζώων ἔλειπεν, ἅπερ ἔμελλε θνητὰ ἔσεσθαι, τό τε πτηνὸν καὶ τὸ ἔνυδρον καὶ τὸ πεζόν, τοῖς ἐκγόνοις αὐτοῦ θεοῖς ἐπέταξε τὴν τούτων ποίησιν, ὅπως μὴ ὑπ' αὐτοῦ πλασθέντα ἄθάνατα γένοιτο. αὐτοὶ δὴ δανεισάμενοι ἀπὸ τῆς πρώτης ὕλης

μόρια ἄττα πρὸς ὡρισμένους χρόνους, ὡς εἰς αὐτὸ πάλιν ἀποδοθησόμενα, ἐδημιούργουν τὰ θνητὰ ζῶα. ἐπεὶ δὲ περὶ τοῦ ἀνθρώπων γένους ὡς συγγενεστάτου θεοῖς πάλιν φροντὶς ἦν τῷ τε πατρὶ πάντων καὶ τοῖς τούτου ἐκγόνοις θεοῖς, κατέπεμψεν ἐπὶ τὴν γῆν τὰς τούτου τοῦ γένους ψυχὰς ὁ τῶν ὅλων δημιουργὸς ἰσαρίθμους τοῖς ἄστροις· ἐμβιβάσας δὲ ὡς εἰς ὄχημα ἄστρον τὸ σύννομον ἁπάσας νόμους τοὺς εἱμαρμένους εἶπεν αὐταῖς νομοθέτου τρόπον, ὅπως αὐτὸς ἀναίτιος ᾖ· ὅτι τὰ πάθη ἀπὸ σώματος προσφύσεται θνητά· πρῶτον μὲν αἰσθήσεις, ἔπειτα δὲ ἡδονὴ καὶ λύπη φόβος τε καὶ θυμός, ὧν κρατήσασαι καὶ μηδαμῶς βιασθεῖσαι αἱ μὲν δίκῃ βιώσονται καὶ εἰς τὸ σύννομον ἄστρον ἀφίξονται, αἱ δὲ κρατηθεῖσαι ὑπὸ ἀδικίας εἰς γυναικὸς ἐν τῇ δευτέρᾳ γενέσει βίον ἐλεύσονται, μὴ παυόμεναι δὲ τὸ τελευταῖον εἰς θηρίων φύσιν· τέλος δὲ αὐταῖς τῶν πόνων ἔσται τὸ νικῆσαι μὲν τὰ προσφύντα, εἰς δὲ τὴν οἰκείαν ἕξιν ἐλθεῖν.

XVII. Οἱ δὲ θεοὶ ἔπλασαν μὲν προηγουμένως τὸν ἄνθρωπον ἐκ γῆς καὶ πυρὸς καὶ ἀέρος καὶ ὕδατος, μοίρας τινὰς δανειζόμενοι εἰς ἀπόδοσιν, συνθέντες δὲ ἀοράτοις γόμφοις ἕν τι σῶμα ἐργασάμενοι, τῆς καταπεμφθείσης ψυχῆς τὸ κύριον ἐνέδησαν εἰς τὴν κεφαλήν, ὥσπερ ἄρουραν ὑποθέντες τὸν ἐγκέφαλον, περὶ δὲ τὸ πρόσωπον ἔθεσαν τὰ τῶν αἰσθητηρίων ὄργανα, ὑπηρεσίαν ἐκτελέσοντα τὴν προσήκουσαν· συνέθεσαν δὲ τὸν μὲν μυελὸν ἐκ τῶν λείων τε καὶ ἀστραβῶν τριγώνων, ἐξ ὧν τὰ στοιχεῖα ἐγένετο, σπέρματος γένεσιν ἐσόμενον· τὸ δὲ ὀστοῦν ἐκ γῆς καὶ μυελοῦ δευθέντων καὶ πολλάκις ὕδατι καὶ πυρὶ βαφέντων· τὰ δὲ νεῦρα ἐξ ὀστοῦ καὶ σαρκός· αὐτὴ δὲ σὰρξ ἐγένετο ἔκ τε ἁλμυροῦ καὶ ὀξέος οἷον ζυμώματος. περιέθηκαν δὲ μυελῷ μὲν τὸ ὀστοῦν, τοῖς δὲ ὀστοῖς πρὸς σύνδεσιν αὐτῶν νεῦρα· καὶ διὰ νεύρων μὲν κάμψεις ἐγένοντο καὶ ἄρθρων συνδέσεις, διὰ δὲ σαρκὸς σκέπη αὐτοῖς ὥσπερ ἐπιπλασομένης, πῃ μὲν λευκῆς, πῃ δὲ πελιᾶς, πρὸς αὐτὸ τὸ εὔχρηστον τῷ σώματι. ἐκ τούτων δὲ καὶ τὰ ἐντὸς συνεπλέχθη σπλάγχνα, κοιλία τε καὶ περὶ ταύτην ἔντερα ἑλιχθέντα, ἄνωθέν τε ἀπὸ στόματος ἀρτηρία καὶ φάρυγξ, ἡ μὲν εἰς στόμαχον, ἡ δὲ εἰς πνεύμονα ἰοῦσα. διοικεῖται δὲ τὰ σιτία κατὰ τὴν γαστέρα πνεύματί τε καὶ θερμῷ τεμνόμενα καὶ μαλαττόμενα καὶ οὕτως ἐπὶ

πᾶν τὸ σῶμα χωροῦντα κατὰ τὰς ὀπτικὰς μεταβολάς· δύο δὲ φλέβες παρὰ τὴν ῥάχιν ἰοῦσαι τὴν κεφαλὴν ἐναντίως κατακλίνουσιν ἀλλήλαις ἀπαντῶσαι, σχίζονταί τε τοὐντεῦθεν εἰς πύλα. ἐργασάμενοι δὲ οἱ θεοὶ τὸν ἄνθρωπον καὶ ἐνθέμενοι τῷ σώματι αὐτοῦ τὴν ψυχὴν δεσπόσουσαν αὐτοῦ, τοῦτο ᾧ ἡγεμονικὸν κατὰ λόγον περὶ τὴν κεφαλὴν καθίδρυσαν, ἔνθα μυελοῦ τε ἀρχαὶ καὶ νεύρων καὶ κατὰ τὰς πείσεις παραμηνύονται περικειμένων καὶ τῶν αἰσθήσεων τῇ κεφαλῇ, ὥσπερ ὑπηρετουσῶν τὸ ἡγεμονικόν. ἐν τούτῳ καὶ τὸ λογιστικὸν τῷ τόπῳ καὶ τὸ κρῖνόν τε καὶ θεωροῦν· τὸ δὲ παθητικὸν τῆς ψυχῆς κατωτέρω ἐποίησαν, τὸ μὲν θυμικὸν περὶ τὴν καρδίαν, τὸ δὲ ἐπιθυμητικὸν περὶ τὸ ἧτρον καὶ τοὺς περὶ τὸν ὀμφαλὸν τόπους, περὶ ὧν ὕστερον εἰρήσεται.

XVIII. Ἱδρύσαντες δὲ περὶ τὸ πρόσωπον τὰ φωσφόρα ὄμματα καθεῖρξαν ἐν αὐτοῖς τοῦ πυρὸς τὸ φωτοειδές, ὅπερ λεῖον ὑπάρχον καὶ πυκνὸν ἀδελφὸν ᾤοντο εἶναι τοῦ μεθημερινοῦ φωτός. τοῦτο δὴ ῥᾷστα δι' ὅλων μὲν τῶν ὀφθαλμῶν, μάλιστα δὲ κατὰ τὸ μέσον αὐτῶν διεκθεῖ, τὸ καθαρώτατόν τε καὶ εἰλικρινέστατον· ὃ γινόμενον συμπαθὲς τῷ ἔξωθεν, ὅμοιον ὁμοίῳ, ὁρατικὴν αἴσθησιν παρέχεται· ὅθεν καὶ τοῦ φωτὸς νύκτωρ ἀπιόντος ἢ σκοτωθέντος οὐκέτι προσφύεται τὸ ἀφ' ἡμῶν ῥεῦμα τῷ πλησίον ἀέρι, συνεχόμενον δὲ ἐντὸς ὁμαλύνει τε καὶ διαχεῖ τὰς ἐν ἡμῖν κινήσεις, ἐπαγωγὸν ὕπνου γινόμενον, παρ' ὃ καὶ μύει τὰ βλέφαρα. πολλῆς μὲν δὴ ἡσυχίας γινομένης βραχύονειροι ὕπνοι ἐμπίπτουσιν, ὑπολειφθεισῶν δέ τινων κινήσεων φαντάσματα συχνὰ γίνεται περὶ ἡμᾶς· καὶ τὰς μὲν ὕπαρ τε καὶ ὄναρ κατ' εὐθυωρίαν γινομένας φαντασίας ὠδὶ συνίστασθαι· ταύταις δὲ ἑπομένως καὶ τὰς κατὰ τῶν κατόπτρων εἰδωλοποιΐας καὶ τῶν ἄλλων ὅσα διαφανῆ καὶ λεῖα οὐκ ἄλλως ἢ κατὰ ἀνάκλασιν συντελεῖσθαι, ὡς ἂν ἔχῃ τὸ κάτοπτρον κυρτότητος ἢ κοιλότητος [ἢ μήκους]· διάφοροι γὰρ ἔσονται φαντασίαι, ἀνταπωθουμένων τῶν φώτων πρὸς τὰ μέρη τὰ ἕτερα, ἀπολισθαινόντων μὲν τῆς κυρτότητος, εἰς δὲ τὴν κοιλότητα συνιόντων. οὕτω γὰρ ἐφ' ὧν μὲν ἐξ ἐναντίων τὸ λαιὸν καὶ τὸ δεξιὸν ὁρᾶται, ἐφ' ὧν δὲ κατὰ ἴσον, ἐφ' ὧν δὲ τὰ κάτω πρὸς [illegible] ἔμπαλιν μεταπίπτει.

XIX. Ἀκοὴ δὲ γέγονε πρὸς φωνῆς [illegible]

μὲν ἀπὸ τῆς περὶ την κεφαλὴν κινήσεως, τελευτῶσα δὲ περὶ ἧπατος ἕδραν· ἡ δὲ φωνή ἐστιν ἡ δι' ὤτων ἐρχομένη ἐγκεφάλου τε καὶ αἵματος, διαδιδομένη δὲ μέχρι ψυχῆς πληγή, ὀξεῖα μὲν ἡ ταχέως κινουμένη, βαρεῖα δὲ ἡ βραδέως, καὶ μεγάλη μὲν ἡ πολλή, μικρὰ δὲ ἡ ὀλίγη. τούτοις δὲ ἑπομένως ἡ τῶν μυκτήρων δύναμις πρὸς τὴν τῶν ὀσμῶν αἴσθησιν συνέστη· ἔστι δὲ ἡ ὀσμὴ τὸ κατιὸν ἀπὸ τῶν ἐν τοῖς μυκτῆρσι φλεβίων πάθος μέχρι τῶν περὶ τὸν ὀμφαλὸν τόπων· εἴδη δὲ ταύτης οὐχ ὑπάρχει ὠνομασμένα ἔξω δυοῖν τοῖν γενικωτάτοιν, εὐώδους τε καὶ δυσώδους, ἅπερ τὴν τοῦ ἀλγεινοῦ τε καὶ ἡδέος ἔχει πρόσρησιν. πᾶσαν δὲ τὴν ὀσμὴν ἀέρος μὲν εἶναι παχυτέραν, ὕδατος δὲ λεπτοτέραν· σημεῖον δέ, ἐν οἷς εἰκότως λέγεται τὸ τῆς ὀσμῆς γένος, ὅτι τούτων ἐστὶ τῶν οὐδέπω μεταβολὴν τελείαν εἰληφότων, ἀλλὰ κοινωνίαν ἐχόντων ἀέρος τε καὶ ὕδατος, ταῦτα δὲ εἶναι κατὰ παπνόν τε καὶ ὁμίχλην· τούτων γὰρ εἰς ἄλληλα ἀμειβόντων ἡ τῆς ὀσφρήσεως αἴσθησις συντελεῖται. τήν γε μὴν γεῦσιν ποικιλωτάτων χυμῶν ἐπιγνώμονα κατεσκεύασαν οἱ θεοί, φλεβία κατατείναντες ἀπ' αὐτῆς μέχρι καρδίας, δοκίμια ἐσόμενα καὶ κριτήρια τῶν χυμῶν· ταῦτα δὲ συγκρινόμενα καὶ διακρινόμενα κατὰ τὰς προσπτώσεις τῶν χυμῶν διορίζει τὴν ἐν τούτοις παραλλαγήν. εἰσὶ δὲ χυμῶν διαφοραὶ ἑπτά· γλυκύς, ὀξύς, στρυφνός, αὐστηρός, ἁλμυρός, δριμύς, πικρός· τούτων δὲ τὸν μὲν γλυκὺν ἐναντίαν φύσιν ἔχειν τοῖς ἄλλοις ἅπασι συμβέβηκε, διαχέοντα οἰκείως τὴν περὶ τὴν γλῶτταν ὑγρότητα· τοὺς δὲ λοιποὺς, τοὺς μὲν κυκῶντάς τε καὶ σπαράττοντας ὀξεῖς, τοὺς δὲ ἐκθερμαίνοντας καὶ εἰς τὰ ἄνω θέοντας δριμεῖς, τοὺς δὲ τὸ ῥυπτικὸν ἔχοντας σφοδρὸν ὥστε συντήκειν πικρούς, τοὺς δὲ ἠρέμα καθαίροντάς τε καὶ ῥύπτοντας ἁλμυρούς, τῶν δὲ συναγόντων τοὺς πόρους καὶ συγκρινόντων τοὺς μὲν τραχυτέρους στρυφνοὺς εἶναι, τοὺς δ' ἧττον τοῦτο ἐργαζομένους αὐστηρούς. ἁπτικὴν δ' εἶναι δύναμιν κατεσκευασμένην ὑπὸ θεῶν ἀντιληπτικὴν θερμῶν τε καὶ ψυχρῶν μαλακῶν τε καὶ σκληρῶν κούφων τε καὶ βαρέων λείων τε καὶ τραχέων, ὡς κρίνειν καὶ τὰς ἐν τούτοις διαφοράς. εἴκοντα μὲν δή φαμεν τὰ παραδεχόμενα τὴν ἁφήν, ἀντίτυπα δὲ ἃ οὐκ εἴκει· τοῦτο δὲ συμβαίνει παρὰ τὰς βάσεις αὐτῶν τῶν

σωμάτων· τὰ μὲν γὰρ ἔχοντα μείζονας μόνιμα καὶ ἕδραῖα, τὰ δὲ ἐπὶ μικροῦ βεβᾶτα εὔεικτα καὶ μαλακὰ καὶ εὐμετάβολα ὄντα τυγχάνει. τραχὺ δὲ εἴη ἂν τὸ ἀνώμαλον μετὰ σκληρότητος, λεῖον δὲ τὸ ὁμαλὸν μετὰ πυκνοῦ· τό γε μὴν θερμοῦ καὶ ψυχροῦ πάθος ἐναντιώτατα ὄντα ἐναντίοις αἰτίοις συνίσταται. τὸ μὲν γὰρ ὀξύτητι τῶν μερῶν καὶ τραχύτητι διατέμνον τὸ θερμὸν πάθος ποιεῖ, τὸ δὲ ψυχρὸν ἀδρομερέστερον τῇ εἰσόδῳ, ἐξωθούντων μὲν τὰ ἐλάττονα καὶ μικρά, βιαζομένων δὲ ἐλθεῖν εἰς τὴν ἐκείνων ἕδραν. σεισμὸς γάρ τις καὶ τρόμος τότε συνίσταται, καὶ τὸ ἐπὶ τούτῳ πάθος ἐν τοῖς σώμασι ῥῖγος ὑπάρχει.

XX. *Βαρὺ δὲ καὶ κοῦφον τῷ μὲν ἄνω καὶ κάτω οὐδαμῶς ὁρίζειν προσήκει· οὐδὲν γὰρ εἶναι τὸ μὲν ἄνω τὸ δὲ κάτω. τοῦ γὰρ παντὸς οὐρανοῦ σφαιροειδοῦς ὄντος καὶ ἀπηκριβωμένου ὁμαλῶς κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν, οὐκ ἐν δίκῃ τὸ μὲν ἄνω τὸ δὲ κάτω τινὰς ὀνομάζειν· ἀλλὰ γὰρ εἶναι βαρὺ μὲν τὸ χαλεπῶς εἰς τὸν παρὰ φύσιν τόπον ἑλκόμενον, κοῦφον δὲ τὸ ῥᾳδίως· καὶ προσέτι βαρὺ μὲν τὸ ἐκ πλειόνων μερῶν συγκείμενον, ἐλαφρὸν δὲ τὸ ἐξ ὀλιγίστων.*

XXI. *Ἀναπνέομεν δὲ τούτῳ τῷ τρόπῳ· περιέστηκε μὲν ἡμῖν ἔξωθεν ἀὴρ πολύς, οὗτος δὲ διὰ τοῦ στόματος καὶ τῶν ῥινῶν καὶ διὰ τῶν ἄλλων τοῦ σώματος πόρων καὶ τῷ λόγῳ θεωρητῶν εἴσω χωρεῖ, θερμανθεὶς δὲ εἰς τὰ ἔξω πρὸς τὸ συγγενὲς σπεύδει· καὶ καθ' ὃ ἂν μέρος ἐξίῃ, ἀντιπεριωθεῖ τὸν ἔξωθεν ἀέρα πάλιν εἰς τὰ ἐντός, οὕτω τε ἀπαύστως τούτου τοῦ κύκλου συντελουμένου ἡ εἰσπνοή τε καὶ ἐκπνοὴ συνίσταται.*

XXII. *Νόσων δὲ αἰτίας εἶναι πολλάς· πρῶτον μὲν τὴν τῶν στοιχείων ἔνδειαν καὶ ὑπερβολὴν μετάστασίν τε εἰς ἄλλους οὐκ οἰκείους τόπους· δεύτερον δὲ τὴν τῶν ὁμογενῶν ἀνάπαλιν γένεσιν, οἷον ἐκ σαρκὸς εἰ γένοιτο αἷμα ἢ χολὴ ἢ φλέγμα· πάντα γὰρ ταῦτα οὐδὲν ἄλλο ἢ σύντηξιν εἶναι. τὸ γὰρ φλέγμα ὑπάρχειν νέας σαρκὸς σύντηξιν· ἱδρῶτα δὲ καὶ τὸ δάκρυον ὥσπερ ὁρόν τινα φλέγματος· τὸ δὲ φλέγμα ἔξω μὲν ἀπολειφθὲν λεύκας καὶ ἀλφοὺς ἀπογεννᾷ, εἴσω δὲ κερασθὲν χολῇ μελαίνῃ τὴν καλουμένην ἱερὰν νόσον ἐπάγει, τὸ δὲ ὀξὺ καὶ ἁλμυρὸν φλέγμα τῶν ἐν φύσει παθῶν αἴτιον· πάντα δὲ τὰ*

φλεγμαίνοντα ὑπὸ χολῆς τοῦτο πέπονθε· τὰ γὰρ μυρία πάθη καὶ πολύτροπα χολή τε καὶ φλέγμα ἀπεργάζεται. τὸν μὲν δὴ συνεχῆ πυρετὸν γίνεσθαι τοῦ πυρὸς πλεονάσαντος, τὸν δὲ ἀμφημερινὸν τοῦ ἀέρος, τριταῖον δὲ ὕδατος, τεταρταῖον δὲ γῆς. ἐξῆς δὲ περὶ ψυχῆς ῥητέον, ἐντεῦθέν ποθεν ἀναλαβόντας τὸν λόγον, εἰ καὶ δόξομεν παλιλογεῖν.

XXIII. Ψυχὴν γὰρ παραλαβόντες ἀνθρωπίνην ἀθάνατον οὖσαν, ὡς δείξομεν, παρὰ τοῦ πρώτου θεοῦ οἱ τὰ θνητὰ γένη δημιουργοῦντες θεοὶ δύο αὐτῇ προσέθεσαν μέρη θνητά· ὡς δὲ μὴ τῆς φλυαρίας τῆς θνητῆς ἀναπιμπλάμενον ᾖ τὸ θεῖον αὐτῆς καὶ ἀθάνατον, κατῴκισαν ἐπὶ τοῦ σώματος ἐπὶ τῆς οἷον ἀκροπόλεως, ἄρχον καὶ βασιλεῦον ἀποφήναντες οἴκησίν τε ἀπονείμαντες αὐτῷ τὴν κεφαλήν, σχῆμα ἔχουσαν μιμούμενον τὸ τοῦ παντός, ὑπέθεσαν δὲ τὸ ἄλλο σῶμα πρὸς ὑπηρεσίαν ὡς ὄχημα προσφύσαντες, καὶ αὐτοῖς δὲ τοῖς θνητοῖς αὐτῆς μέρεσιν οἴκησιν ἄλλην ἄλλῳ ἀπένειμαν. τὸ μὲν γὰρ θυμικὸν ἔταξαν ἐν καρδίᾳ, τὸ δὲ ἐπιθυμητικὸν ἐν τῷ μεταξὺ τόπῳ τοῦ τε πρὸς τὸν ὀμφαλὸν ὄρου καὶ τῶν φρενῶν, καταδήσαντες ὥσπερ τι οἰστροῦν καὶ ἄγριον θρέμμα· τὸν πνεύμονα δὲ ἐμηχανήσαντο τῆς καρδίας χάριν μαλακόν τε καὶ ἄναιμον σηραγγώδη τε καὶ σπόγγῳ παραπλήσιον, ὅπως ἔχοι τι μάλαγμα πηδῶσα ἡ καρδία κατὰ τὴν ζέσιν τοῦ θυμοῦ, τὸ δὲ ἧπαρ πρὸς τὸ διεγείρειν τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς καὶ πρὸς τὸ καταπραῦνειν ἔχον γλυκύτητά τε καὶ πικρότητα· καὶ μὴν πρὸς τὸ δηλοῦν τὴν διὰ τῶν ὀνείρων μαντικήν· ἐμφαίνεσθαι γὰρ ἓν αὐτῷ διὰ τὸ λεῖον καὶ πυκνὸν καὶ λαμπρὸν τὴν ἐκ τοῦ νοῦ φερομένην δύναμιν· τὸν δὲ σπλῆνα τοῦ ἥπατος χάριν, ὅπως καθαίρῃ τε αὐτὸ καὶ παρέχῃ λαμπρόν· τὰς γοῦν ἐπιγινομένας ἐκ τινων νόσων περὶ τὸ ἧπαρ διαφθορὰς εἰς αὐτὸν δέχεσθαι.

XXIV. Ὅτι δὲ τριμερής ἐστιν ἡ ψυχὴ κατὰ τὰς δυνάμεις, καὶ κατὰ λόγον τὰ μέρη αὐτῆς τόποις ἰδίοις διανενέμηται, μάθοιμεν ἂν ἐντεῦθεν. πρῶτον μὲν δὴ τὰ φύσει χωριζόμενα ἕτερα ὑπάρχει· φύσει δὲ χωρίζεται τὸ παθητικὸν καὶ λογιστικόν, εἴ γε τὸ μὲν περὶ τὰ νοητά ἐστι, τὸ δὲ περὶ τὰ λυπηρὰ καὶ ἡδέα, προσέτι τοῦ παθητικοῦ καὶ περὶ τὰ ζῶα ὄντος. ἔπειτά γε μὴν ἕτερα ὄντα τῇ φύσει τό τε παθητικὸν καὶ τὸ λογιστικὸν καὶ τόποις ὀφείλει κεχωρίσθαι. εὑρίσκεται γὰρ μαχόμενα ἀλλήλοις, οὔτε

αὐτοῦ τινὸς πρὸς αὐτὸ μάχεσθαι δυναμένου οὔτε τῶν ἐναντιουμένων πρὸς ἄλληλα περὶ τὸ αὐτὸ κατὰ τὸν αὐτὸν χρόνον δυναμένων συστῆναι. ὁρᾶται δέ γε ἐπὶ μὲν τῆς Μηδείας ὁ θυμὸς λογισμῷ μαχόμενος· λέγει γοῦν τὸ

καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά,
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων·

ἐπὶ δὲ τοῦ Λαΐου τὸν Χρύσιππον ἁρπάζοντος ἐπιθυμία λογισμῷ μαχομένη· λέγει γὰρ οὕτως·

αἲ αἲ τόδ' ἤδη θεῖον ἀνθρώποις κακόν,
ὅταν τις εἰδῇ τἀγαθόν, χρῆται δὲ μή.

ἔτι δὲ τὸ ἕτερον εἶναι τὸ λογιστικὸν τοῦ παθητικοῦ παρίσταται κἀκ τοῦ ἑτέραν μὲν ἐπιμέλειαν εἶναι τοῦ λογιστικοῦ, ἑτέραν δὲ τοῦ παθητικοῦ· τοῦ μὲν διὰ διδασκαλίας, τοῦ δὲ διὰ τῆς τοῦ ἔθους ἀσκήσεως.

XXV. Τὴν δὲ ψυχὴν ἀθάνατον ἀποφαίνει τοῦτον ἐπιὼν τὸν τρόπον. ἡ ψυχὴ ὅτῳ ἂν προσγένηται, ἐπιφέρει τούτῳ τὸ ζῆν ὡς σύμφυτον ὑπάρχον ἑαυτῇ· τὸ δὲ ἐπιφέρον τινὶ τὸ ζῆν ἀνεπίδεκτόν ἐστι θανάτου· τὸ δὲ τοιοῦτον ἀθάνατον. εἰ δὲ ἀθάνατον ἡ ψυχή, καὶ ἀνώλεθρον ἂν εἴη· ἀσώματος γάρ ἐστιν οὐσία, ἀμετάβλητος κατὰ τὴν ὑπόστασιν καὶ νοητὴ καὶ ἀειδὴς καὶ μονοειδής· οὐκοῦν ἀσύνθετος, ἀδιάλυτος, ἀσκέδαστος· τὸ δὲ σῶμα πᾶν τοὐναντίον αἰσθητόν, ὁρατόν, σκεδαστόν, σύνθετον, πολυειδές. καὶ γὰρ δὴ καὶ ἡ ψυχὴ διὰ μὲν τοῦ σώματος πρὸς τῷ αἰσθητῷ γινομένη ἰλιγγιᾷ τε καὶ ταράττεται καὶ οἷον μεθύει, πρὸς δὲ τῷ νοητῷ αὐτὴ καθ' αὑτὴν γινομένη καθίσταται καὶ ἠρεμεῖ· πρὸς ᾧ δὴ γινομένη ταράττεται, τούτῳ οὐκ ἔοικεν· ὥστε μᾶλλον τῷ νοητῷ ἔοικε, τὸ δὲ νοητὸν ἀσκέδαστον τῇ φύσει καὶ ἀνώλεθρον. καὶ μὴν ἡγεμονεύει ἡ ψυχὴ φύσει· τὸ δὲ τῇ φύσει ἡγεμονικὸν τῷ θείῳ ἔοικεν· ὥστε ψυχὴ τῷ θείῳ ἐοικυῖα ἀνώλεθρος ἂν εἴη καὶ ἄφθαρτος. τά τε ἄμεσα ἐναντία καὶ μὴ καθ' αὑτὰ ἀλλὰ κατὰ συμβεβηκὸς πέφυκεν ἐξ ἀλλήλων γίνεσθαι· ἐναντίον δὲ τοῦτο, ὃ καλοῦσιν οἱ ἄνθρωποι ζῆν, τῷ τεθνάναι· ὡς οὖν ὁ θάνατος διάκρισις ψυχῆς ἀπὸ σώματος, οὕτω καὶ ἡ ζωὴ σύνοδος ψυχῆς, οὔσης δηλονότι πρόσθεν, καὶ σώματος· εἰ δὲ καὶ ἔσται μετὰ θάνατον καὶ ἣν πρὸ τοῦ περιπεσεῖν σώματι, πιθανώτατον ἀΐδιον αὐτὴν εἶναι, οὐ γὰρ οἷόν τε τὸ φθεροῦν αὐτὴν νοῆσαι. εἴ γε μὴν αἱ μαθήσεις ἀναμνήσεις εἰσίν, ἀθά-

νατος ἂν εἴη ἡ ψυχή· ὅτι δὲ αἱ μαθήσεις ἀναμνήσεις, τοῦτον ἂν ἐπαχθείημεν τὸν τρόπον· οὐ γὰρ ἂν ἄλλως μάθησις ὑποσταίη, ἢ κατὰ ἀνάμνησιν τῶν πάλαι γνωσθέντων. εἰ γὰρ ἀπὸ τῶν κατὰ μέρος ἐνενοοῦμεν τὰς κοινότητας, πῶς ἂν τὰ κατὰ μέρος διωδεύσαμεν ἄπειρα ὑπάρχοντα, ἢ πῶς ἀπ' ὀλίγων διεψεύσθημεν γὰρ ἄν, οἷον φέρε κρίναντες τὸ ἀναπνοῇ χρώμενον μόνον ζῶον εἶναι· ἢ πῶς ἂν τὸ ἀρχικὸν εἶεν αἱ ἔννοιαι; ἀναμνηστικῶς οὖν νοοῦμεν ἀπὸ μικρῶν αἰθυγμάτων, ἀπό τινων κατὰ μέρος ὑποπεσόντων ἀναμιμνησκόμενοι τῶν πάλαι ἐγνωσμένων, ὧν λήθην ἐλάβομεν ἐνσωματωθέντες. ἔτι δὲ ἡ ψυχὴ οὐ φθείρεται ὑπὸ τῆς ἰδίας κακίας, οὐδὲ ὑπὸ τῆς ἄλλου φθείροιτ' ἄν, οὐδ' ἁπλῶς ὑπ' ἄλλου, οὕτω δὲ ἔχουσα ἄφθαρτον ἂν εἴη. τό γε μὴν αὐτοκίνητον ἀρχικῶς ἀεικίνητον, τὸ δὲ τοιοῦτον ἀθάνατον· αὐτοκίνητον δὲ ἡ ψυχή, τὸ δὲ αὐτοκίνητον ἀρχὴ πάσης κινήσεως καὶ γενέσεως, ἀρχὴ δὲ ἀγένητον καὶ ἀνώλεθρον· ὥστε ἥ τε τῶν ὅλων ψυχὴ τοιαύτη ἂν εἴη καὶ ἡ ἀνθρωπίνη, τοῦ αὐτοῦ γε πράματος ἀμφότεραι μεταλαβοῦσαι. αὐτοκίνητον δέ φησι τὴν ψυχήν, ὅτι σύμφυτον ἔχει τὴν ζωὴν ἀεὶ ἐνεργοῦσαν καθ' αὑτήν. ὅτι μὲν οὖν αἱ λογικαὶ ψυχαὶ ἀθάνατοι ὑπάρχουσι κατὰ τὸν ἄνδρα τοῦτον, βεβαιώσαιτ' ἄν τις· εἰ δὲ καὶ αἱ ἄλογοι, τοῦτο τῶν ἀμφισβητουμένων ὑπάρχει. πιθανὸν γὰρ τὰς ἀλόγους ψυχάς, ψιλῇ τε φαντασίᾳ ἐλαυνομένας καὶ οὔτε λογισμῷ οὔτε κρίσει χρωμένας, οὔτε θεωρήμασι καὶ τῇ τούτων συναγωγῇ οὔτε καθολικαῖς διαλήψεσι, παντελῶς δὲ ἀνεννοήτους οὔσας καὶ τῆς νοητῆς φύσεως, μήτε τῆς αὐτῆς οὐσίας εἶναι ταῖς λογικαῖς, θνητάς τε καὶ φθαρτὰς ὑπάρχειν. τῷ δὲ ἀθανάτους εἶναι τὰς ψυχὰς λόγῳ ἠκολούθησε τὸ εἰσκρίνεσθαι αὐτὰς τοῖς σώμασι, παρεμφυομένας ταῖς τῶν ἐμβρύων διαπλαστικαῖς φύσεσι, καὶ διαμείβειν πολλὰ σώματα καὶ ἀνθρώπινα καὶ οὐκ ἀνθρώπινα, ἢ ἀριθμοὺς μενούσας ἢ βουλήσει θεῶν ἢ δι' ἀκολασίαν ἢ διὰ φιλοσωματίαν· ἔχει δέ πως οἰκειότητα πρὸς ἄλληλα σῶμα καὶ ψυχή, ὡς πῦρ καὶ ἄσφαλτος. καὶ ἡ θεῶν δὲ ψυχὴ κέκτηται καὶ αὐτὴ τό τε κριτικόν, ὃ καὶ γνωστικὸν ἂν καλοῖτο, καὶ μὴν τὸ ὁρμητικόν τε, ὃ καὶ παραστατικὸν ἄν τις ὀνομάσειε, καὶ τὸ οἰκειωτικόν· αἵτινες δυνάμεις οὖσαι καὶ ἐν ταῖς ἀνθρωπίναις ψυχαῖς μετὰ τὸ ἐνσωματωθῆναι οἷον μεταβολὴν λαμβάνουσιν, ἡ μὲν οἰκειωτικὴ εἰς τὸ ἐπιθυμητικόν, ἡ δὲ ὁρμητικὴ εἰς τὸ θυμοειδές.

XXVI. Περὶ δὲ εἱμαρμένης τοιαῦτά τινα τῷ ἀνδρὶ ἀρέσκει. πάντα μέν φησιν ἐν εἱμαρμένῃ εἶναι, οὐ μὴν πάντα καθειμάρθαι. ἡ γὰρ εἱμαρμένη νόμου τάξιν ἐπέχουσα οὐχ οἷον λέγει, διότι ὁ μὲν τάδε ποιήσει, ὁ δὲ τάδε πείσεται· εἰς ἄπειρον γὰρ τοῦτο, ἀπείρων μὲν ὄντων τῶν γεννωμένων, ἀπείρων δὲ τῶν περὶ αὐτοὺς συμβαινόντων· ἐπεὶ καὶ τὸ ἐφ' ἡμῖν οἰχήσεται καὶ ἔπαινοι καὶ ψόγοι καὶ πᾶν τὸ τούτοις παραπλήσιον· ἀλλὰ διότι ἥτις ἂν ἕληται ψυχὴ τοιοῦτον βίον καὶ τάδε τινὰ πράξει, τάδε τινὰ αὐτῇ ἕψεται. ἀδέσποτον οὖν ἡ ψυχὴ καὶ ἐπ' αὐτῇ μὲν τὸ πρᾶξαι ἢ μή, καὶ οὐ κατηνάγκασται τοῦτο, τὸ δὲ ἑπόμενον τῇ πράξει καθ' εἱμαρμένην συντελεσθήσεται· οἷον τῷ· Πάρις ἁρπάσει τὴν Ἑλένην, ἐπ' αὐτῷ ὄντι, ἀκολουθήσει τό· πολεμήσουσι περὶ τῆς Ἑλένης οἱ Ἕλληνες. οὕτω γὰρ καὶ ὁ Ἀπόλλων τῷ Λαΐῳ προεῖπεν·

εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς·

ἐν τῷ θεσμῷ δὴ περιέχεται μὲν καὶ ὁ Λάϊος καὶ τὸ φῦσαι αὐτὸν παῖδα, καθείμαρται δὲ τὸ ἑπόμενον. ἡ δὲ τοῦ δυνατοῦ φύσις πέπτωκε μέν πως μεταξὺ τοῦ τε ἀληθοῦς καὶ τοῦ ψεύδους, ἀορίστῳ δὲ ὄντι αὐτῷ τῇ φύσει ὥσπερ ἐποχεῖται τὸ ἐφ' ἡμῖν· ὃ δ' ἂν ἑλομένων ἡμῶν γένηται, τοῦτο ἔσται ἢ ἀληθὲς ἢ ψεῦδος· τὸ δὲ δυνάμει [τοῦτ' ἐστὶ] τοῦ καθ' ἕξιν καὶ κατ' ἐνέργειαν λεγομένου διήνεγκε. τὸ μὲν γὰρ δυνάμει ἐπιτηδειότητά τινα ἀποσημαίνει πρός τινα οὔπω τὴν ἕξιν ἔχοντα· ὡς ὁ παῖς δυνάμει ῥηθήσεται καὶ γραμματικὸς καὶ αὐλητὴς καὶ τέκτων, ἔσται δὲ τὸ τηνικάδε ἐν ἕξει ἑνός τινος ἢ δυοῖν τούτων, ὁπόταν μάθῃ καὶ κτήσηταί τινα τῶν ἕξεων· κατ' ἐνέργειαν δὲ ὁπόταν ἐνεργῇ ἀπὸ τῆς ἕξεως ἐκείνης, ἣν κέκτηται· τὸ δὲ δυνατὸν οὐδὲν τούτων, ἀορισταῖνον δὲ τῷ ἐφ' ἡμῖν κατὰ τὴν ἐφ' ὁπότερον ῥοπὴν λαμβάνει τὸ ἀληθεύειν ἢ μή.

XXVII. Ἐξῆς δ' ἐπὶ κεφαλαίων περὶ τῶν ἠθικῶς τῷ ἀνδρὶ εἰρημένων ῥητέον. τὸ μὲν δὴ τιμιώτατον καὶ μέγιστον ἀγαθὸν οὔτε εὑρεῖν ᾤετο εἶναι ῥᾴδιον οὔτε εὑρόντας ἀσφαλὲς εἰς πάντας ἐκφέρειν· πάνυ γοῦν ὀλίγοις τῶν γνωρίμων καὶ τοῖς γε προ[illegible] θεῖσι τῆς περὶ τοῦ ἀγαθοῦ ἀκροάσεως μετέδωκε· τὸ μέντοι [illegible] τερον ἀγαθόν, εἴ τις ἀκριβῶς τὰ αὐτοῦ συγγράμματα ἀναλ[illegible] ἐτίθετο ἐν τῇ ἐπιστήμῃ καὶ θεωρίᾳ τοῦ πρώτου ἀγαθοῦ, [illegible] θεόν τε καὶ νοῦν τὸν πρῶτον προσαγορεύσαι [illegible]

τὰ ὀπωσοῦν παρ' ἀνθρώποις ἀγαθὰ νομιζόμενα ταύτης ὑπελάμβανε τυγχάνειν τῆς προσρήσεως τῷ ὀπωσοῦν μετέχειν ἐκείνου τοῦ πρώτου καὶ τιμιωτάτου, ὅνπερ τρόπον καὶ τὰ γλυκέα καὶ τὰ θερμὰ κατὰ μετουσίαν τῶν πρώτων τὴν ἐπωνυμίαν ἔχειν· μόνα δὲ τῶν ἐν ἡμῖν ἐφικνεῖσθαι αὐτοῦ τῆς ὁμοιότητος νοῦν καὶ λόγον, διὸ καὶ τὸ ἡμέτερον ἀγαθὸν καλὸν εἶναι καὶ σεμνὸν καὶ θεῖον καὶ ἐράσμιον καὶ σύμμετρον καὶ δαιμονίως πως καλούμενον· τῶν δὲ λεγομένων ὑπὸ τῶν πολλῶν ἀγαθῶν, οἷον ὑγείας κάλλους τε καὶ ἰσχύος καὶ πλούτου καὶ τῶν παραπλησίων μηδὲν εἶναι καθάπαξ ἀγαθόν, εἰ μὴ τύχοι τῆς ἀπὸ τῆς ἀρετῆς χρήσεως· χωρισθέντα γὰρ ταύτης ὕλης μόνον ἐπέχειν τάξιν, πρὸς κακοῦ γινόμενα τοῖς φαύλως αὐτοῖς χρωμένοις· ἔσθ' ὅτε δὲ αὐτὰ καὶ θνητὰ ὠνόμαζεν ἀγαθά. τὴν δ' εὐδαιμονίαν οὐκ ἐν τοῖς ἀνθρωπίνοις ἡγεῖτο εἶναι [τοῖς] ἀγαθοῖς ἀλλ' ἐν τοῖς θείοις τε καὶ μακαρίοις· ὅθεν δὴ καὶ μεγάλων τε καὶ θαυμασίων τὰς τῷ ὄντι φιλοσόφους ψυχὰς ἔφασκεν ἀναμέστους καὶ μετὰ τὴν τοῦ σώματος διάλυσιν συνεστίους θεοῖς γινομένας καὶ συμπεριπολούσας καὶ τὸ τῆς ἀληθείας πεδίον θεωμένας, ἐπείπερ καὶ ἐν τῷ ζῆν ἐφίεντο τῆς ἐπιστήμης αὐτοῦ καὶ τὴν ἐπιτήδευσιν αὐτοῦ προετίμων, ἀφ' ἧς ὥσπερ τι ὄμμα ψυχῆς ἐκκαθηραμένους καὶ ἀναζωπυρήσαντας ἀπολλύμενόν τε καὶ ἀποτυφλούμενον κρεῖττον ὃν σώζεσθαι μυρίων ὀμμάτων, δυνατοὺς γίνεσθαι ἐπορέξασθαι τῆς τοῦ λογικοῦ παντὸς φύσεως. ὡμοιῶσθαι γὰρ τοὺς ἄφρονας τοῖς ὑπὸ γῆν ἀνθρώποις κατῳκισμένοις καὶ φῶς μὲν μηδέποτε λαμπρὸν ἑωρακόσιν, ἀμυδρὰς δέ τινας σκιὰς ὁρῶσι τῶν παρ' ἡμῖν σωμάτων, οἰομένοις δὲ σαφῶς ἀντιλαμβάνεσθαι τῶν ὄντων. ὡς γὰρ τούτους, τυχόντας τῆς ἐκ τοῦ ζόφου ἀνόδου καὶ εἰς τὸ καθαρὸν φῶς προελθόντας, εὐλόγως καταγνώσεσθαι τῶν τότε φανέντων καὶ πολὺ πρόσθεν αὐτῶν ὡς ἐξηπατημένων· οὕτω δὲ καὶ τοὺς ἀπὸ βιωτικοῦ ζόφου μεταβαίνοντας ἐπὶ τὰ κατ' ἀλήθειαν θεῖα καὶ καλὰ τῶν μὲν πάλαι θαυμασθέντων αὐτοῖς καταφρονήσειν, τῆς δὲ τούτων θεωρίας σφοδροτέραν ἕξειν ὄρεξιν· οἷς συνῳδόν ἐστι τὸ λέγειν, αὐτὸ μόνον εἶναι τὸ καλὸν ἀγαθόν, καὶ τὴν ἀρετὴν αὐταρκῆ πρὸς εὐδαιμονίαν, καὶ διότι μὲν τὸ ἀγαθὸν ἐν ἐπιστήμῃ τοῦ πρώτου καὶ καλόν ἐστι, δι' ὅλων συντάξεων δεδήλωται, τὰ δὲ κατὰ μετοχὴν ἐν τῷ πρώτῳ τῶν Νόμων οὕτω πως·

διττὰ δὲ ἀγαθά ἐστι, τὰ μὲν ἀνθρώπινα, τὰ δὲ θεῖα, καὶ τὰ ἐξῆς τούτοις· εἰ δέ τι κεχωρισμένον καὶ τοῦ πρώτου τῆς οὐσίας ἀμέτοχον ὑπάρχει, καὶ τοῦτο ὑπὸ τῶν ἀνοήτων ἀγαθὸν ὠνόμασται, τοῦτο δέ φησι μεῖζον εἶναι τῷ ἔχοντι κακὸν ἐν Εὐθυδήμῳ. ὅτι δὲ καὶ [κατὰ] τὰς ἀρετὰς ἡγεῖτο εἶναι δι' αὐτὰς αἱρετάς, ὡς ἀκόλουθόν γε ληπτέον τῷ μόνον αὐτὸν ἡγεῖσθαι τὸ καλὸν ἀγαθόν· καὶ δὴ ἐν πλείστοις τοῦτο αὐτῷ ἐπιδέδεικται καὶ μάλιστα ἐν ὅλῃ τῇ Πολιτείᾳ. τὸν μὲν γὰρ ἐπιστήμην ἔχοντα τὴν προειρημένην εὐτυχέστατον εἶναι καὶ εὐδαιμονέστατον, οὐχ ἕνεκα τῶν τιμῶν, ὧν τοιοῦτος ὢν λήψεται, οὐδὲ μισθῶν ἕνεκα, ἀλλὰ κἂν πάντας λανθάνῃ ἀνθρώπους κἂν τὰ λεγόμενα κακὰ εἶναι οἷον ἀτιμίαι καὶ φυγαὶ καὶ θάνατοι συμβαίνωσι· τὸν δὲ χωρὶς ταύτης τῆς ἐπιστήμης τὰ νομιζόμενα ἀγαθὰ πάντα κεκτημένον, οἷον πλοῦτον καὶ βασιλείαν μεγάλην καὶ σώματος ὑγείαν καὶ εὐρωστίαν καὶ κάλλος, μηδέν τι μᾶλλον εἶναι εὐδαίμονα.

XXVIII. Οἷς πᾶσιν ἀκόλουθον τέλος ἐξέθετο ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατόν· ποικίλως δὲ τοῦτο χειρίζει. ποτὲ μὲν γὰρ ὁμοίωσιν θεῷ λέγει τὸ φρόνιμον καὶ δίκαιον καὶ ὅσιον εἶναι, ὡς ἐν Θεαιτήτῳ· διὸ καὶ πειρᾶσθαι χρὴ[ναι] ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα· φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι· ποτὲ δὲ μόνον τὸ δίκαιον εἶναι, ὡς ἐν τῷ τελευταίῳ τῆς Πολιτείας· οὐ γὰρ δὴ ὑπὸ θεῶν ποτὲ ἀμελεῖται, ὃς ἂν προθυμεῖσθαι θέλῃ δίκαιος γενέσθαι καὶ ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἄνθρωπον ὁμοιοῦσθαι θεῷ. ἐν δὲ τῷ Φαίδωνι ὁμοίωσιν θεῷ λέγει τὸ σώφρονα ἅμα καὶ δίκαιον γενέσθαι, οὕτω πως· οὐκοῦν εὐδαιμονέστατοι, ἔφη, καὶ μακάριοί εἰσι καὶ εἰς βέλτιστον τόπον ἰόντες οἱ τὴν δημοτικήν τε καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες, ἣν δὴ καλοῦσι σωφροσύνην τε καὶ δικαιοσύνην. ποτὲ μὲν δὴ τὸ τέλος ὁμοιωθῆναι θεῷ λέγει, ποτὲ δ' ἔπεσθαι· ὡς ὁπόταν εἴπῃ· ὁ μὲν δὴ θεός, καθάπερ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ τὰ τούτοις ἑξῆς· ποτὲ δὲ ἀμφότερα, ὡς ὁπότ' ἂν φῇ· τὴν δὲ θεῷ ἑπομένην τε καὶ εἰκασμένην ψυχὴν καὶ τὰ τούτοις ἑξῆς. καὶ γάρ τοι τῆς ὠφελείας ἀρχὴ τὸ ἀγαθόν, τοῦτο δὲ ἐκ θεοῦ εἴρηται· ἀκόλουθον οὖν τῇ ἀρχῇ τὸ τέλος εἴη ἂν τὸ ἐξομοιωθῆναι θεῷ, θεῷ δηλονότι τῷ ἐπουρανίῳ, μὴ τῷ μὰ Δία ὑπερουρανίῳ, ὃς οὐκ ἀρετὴν ἔχει, ἀμείνων δ' ἐστὶ ταύτης· ὅθεν ὀρθῶς ἄν τις

φαίη, τὴν μὲν κακοδαιμονίαν τοῦ δαίμονος εἶναι κάκωσιν, τὴν δὲ εὐδαιμονίαν τοῦ δαίμονος εὐεξίαν. ἐφικοίμεθα δ' ἂν τοῦ γενέσθαι ὅμοιοι θεῷ φύσει τε χρησάμενοι τῇ προσηκούσῃ, ἔθεσί τε καὶ ἀγωγῇ καὶ ἀσκήσει τῇ κατὰ νόμον, καὶ τὸ κυριώτατον λόγῳ καὶ διδασκαλίᾳ καὶ θεωρημάτων παραδόσει, ὥστε ἐξίστασθαι μὲν τὰ πολλὰ τῶν ἀνθρωπίνων πραγμάτων, ἀεὶ δὲ εἶναι πρὸς τοῖς νοητοῖς· προτέλεια δὲ καὶ προκαθάρσια τοῦ ἐν ἡμῖν δαίμονος, εἰ μέλλει τὰ μείζω μυεῖσθαι μαθήματα, εἴη ἂν τὰ διὰ μουσικῆς καὶ ἀριθμητικῆς τε καὶ ἀστρονομίας καὶ γεωμετρίας, συνεπιμελουμένων ἡμῶν καὶ τοῦ σώματος διὰ γυμναστικῆς, ἥτις καὶ πρὸς πόλεμον καὶ πρὸς εἰρήνην εὔθετα τὰ σώματα παρασκευάσει.

XXIX. Θείου δὲ χρήματος τῆς ἀρετῆς ὑπαρχούσης, αὐτὴ μέν ἐστι διάθεσις ψυχῆς τελεία καὶ βελτίστη, εὐσχήμονα καὶ σύμφωνον καὶ βέβαιον παρέχουσα τὸν ἄνθρωπον ἐν τῷ λέγειν καὶ πράττειν καθ' ἑαυτὸν καὶ πρὸς ἄλλους· τὼ δὲ εἴδη αὐτῆς λογικαί, αἱ δὲ περὶ τὸ ἄλογον ψυχῆς μέρος συνιστάμεναι, οἷον ἀνδρία καὶ σωφροσύνη, περὶ μὲν τὸ θυμικὸν τῆς ἀνδρίας συνισταμένης, περὶ δὲ τὸ ἐπιθυμητικὸν τῆς σωφροσύνης. ἑτέρου γὰρ ὄντος τοῦ τε θυμικοῦ καὶ τοῦ * ἐπιθυμητικοῦ καὶ τοῦ * λογιστικοῦ, διάφορος ἂν εἴη καὶ ἡ ἑκάστου τελειότης· τοῦ μὲν δὴ λογιστικοῦ μέρους τελειότης ἐστὶν ἡ φρόνησις, τοῦ δὲ θυμικοῦ ἡ ἀνδρία, τοῦ δὲ ἐπιθυμητικοῦ ἡ σωφροσύνη. ἡ μὲν δὴ φρόνησίς ἐστιν ἐπιστήμη ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων, ἡ δὲ σωφροσύνη τάξις περὶ τὰς ἐπιθυμίας καὶ τὰς ὀρέξεις καὶ τὴν εὐπείθειαν αὐτῶν πρὸς τὸ ἡγεμονικόν, τοῦτο δὲ εἴη ἂν τὸ λογιστικόν· ὅταν δὲ φῶμεν τάξιν τινὰ εἶναι καὶ εὐπείθειαν τὴν σωφροσύνην, τοιοῦτόν τι παρίσταμεν, ὅτι δύναμίς τίς ἐστι, καθ' ἣν τεταγμένως καὶ εὐπειθῶς ἔχουσιν αἱ ὀρέξεις πρὸς τὸ φύσει δεσποτικόν, τουτέστι τὸ λογιστικόν. ἡ δὲ ἀνδρία ἐστὶ δόγματος ἐννόμου σωτηρία * περὶ τοῦ * δεινοῦ τε καὶ μὴ δεινοῦ, τουτέστι διασωστικὴ δύναμις δόγματος ἐννόμου. ἡ δὲ δικαιοσύνη ἐστὶ συμφωνία τις τούτων πρὸς ἄλληλα, δύναμις οὖσα, καθ' ἣν ὁμολογεῖ καὶ συμφωνεῖ πρὸς ἄλληλα τὰ τρία μέρη τῆς ψυχῆς καὶ ἕκαστον πρὸς τῷ οἰκείῳ γίνεται καὶ ἐπιβάλλοντι [τε καὶ] κατ' ἀξίαν, ὡς ἂν παντέλειά τις οὖσα τῶν τριῶν ἀρετῶν, φρονήσεως, ἀνδρίας, σωφροσύνης· ἄρχοντος μὲν τοῦ λογισμοῦ, τῶν

δὲ λοιπῶν μερῶν τῆς ψυχῆς κατ' οἰκείαν ἰδιότητα κατεσταλμένων ὑπὸ τοῦ λογισμοῦ καὶ πειθηνίων αὐτῷ γεγενημένων, ὅθεν καὶ ἀντακολουθεῖν ἡγητέον τὰς ἀρετάς. ἡ γὰρ ἀνδρία δόγματος ἐννόμου διασωστικὴ ὑπάρχουσα λόγου ὀρθοῦ διασωστική ἐστι, τὸ γὰρ ἔννομον δόγμα ὀρθός τίς ἐστι λόγος· ὁ δὲ ὀρθὸς λόγος ἀπὸ φρονήσεως γίνεται, καὶ μὴν καὶ ἡ φρόνησις μετὰ ἀνδρίας ὑφίσταται· ἐπιστήμη γάρ ἐστιν ἀγαθῶν· οὐδεὶς δὲ δύναται τὸ ἀγαθὸν ὁρᾶν ὑπὸ δειλίας ἐπισκοτούμενος καὶ τῶν συνακολουθούντων τῇ δειλίᾳ παθῶν, παραπλησίως οὐδὲ μετὰ ἀκολασίας φρόνιμός τις δύναται εἶναι, καὶ καθόλου ἐάν τις διὰ τοῦ ἡττᾶσθαι ὑπὸ πάθους ποιῇ τι παρὰ τὸν ὀρθὸν λόγον, ὑπὸ ἀμαθίας καὶ ἀφροσύνης τοῦτο πάσχειν φησὶν αὐτὸν ὁ Πλάτων· ὥστε οὐκ ἂν δύναιτό τις φρόνησιν ἔχειν ἀκόλαστος ὢν καὶ δειλός. ἀχώριστοι οὖν εἰσὶν αἱ ἀρεταὶ ἀλλήλων αἱ τέλειαι.

XXX. Λέγονται γὰρ καὶ ἄλλως ἀρεταί, αἱ οἷον εὐφυΐαι καὶ προκοπαὶ πρὸς ταύτην, ὁμωνυμοῦσαι ταῖς τελειότησι κατὰ τὴν ὁμοιότητα τὴν πρὸς αὐτάς. οὕτω γοῦν καὶ στρατιώτας ἀνδρείους τινὰς καλοῦμεν, καί φαμεν ἐνίοτε ἀνδρείους τινὰς ὄντας ἄφρονας ὑπάρχειν, περὶ τῶν οὐ τελείων ἀρετῶν ποιούμενοι τὸν λόγον. αἱ δὴ τέλειαι ἀρεταὶ δῆλον ὅτι οὔτε ἐπιτείνονται οὔτε ἀνίενται, αἱ μέντοι γε κακίαι καὶ ἐπίτασιν δέχονται καὶ ἄνεσιν· ἄλλος γὰρ ἄλλου ἀφρονέστερος καὶ ἀδικώτερος· ἀλλ' οὐδὲ συνέπονται αἱ κακίαι ἀλλήλαις· εἰσὶ γάρ τινες ἐναντίαι, εἰ οὐκ ἂν εἶεν περὶ τὸν αὐτόν. οὕτω γὰρ ἔχει θρασύτης πρὸς δειλίαν, καὶ ἀσωτία πρὸς φιλαργυρίαν, καὶ ἄλλως ἀδυνάτου ὄντος τοῦ ὑφεστάναι τινὰ ἄνθρωπον πάσῃ κακίᾳ συνεχόμενον· οὐδὲ γὰρ σῶμα οἷόν τε εἶναι ἔχον πάσας τὰς τοῦ σώματος κακίας ἐν ἑαυτῷ, παραδεκτέον δὲ καὶ μεταξύ τινα διάθεσιν μήτε φαύλην μήτε σπουδαίαν· οὐδὲ γὰρ πάντας ἀνθρώπους ἢ σπουδαίους εἶναι ἢ φαύλους. τοὺς γὰρ ἐφ' ἱκανὸν προκόπτοντας τοιούτους εἶναι· οὐ γὰρ ῥᾴδιον εὐθέως ἀπὸ κακίας ἐπ' ἀρετὴν μεταβῆναι· πολλὴν γὰρ εἶναι τὴν διάστασιν πρὸς ἄλληλα τῶν ἄκρων καὶ ἐναντίωσιν. ἡγητέον καὶ τῶν ἀρετῶν τὰς μὲν εἶναι προηγουμένας, τὰς δὲ ἑπομένας· ἡγουμένας μὲν τὰς ἐν τῷ λογιστικῷ, ἀφ' ὧν καὶ αἱ λοιπαὶ τὸ τέλειον λαμβάνουσιν, ἑπομένας δὲ τὰς ἐν τῷ παθητικῷ. αὗται γὰρ πράττουσι τὰ καλὰ κατὰ λόγ[illegible] τὸν ἐν αὐταῖς· οὐ γὰρ ἔχουσιν· ἀλλὰ κατὰ τὸν ὑπὸ τῆς [illegible]

αὐταῖς, ἐξ ἔθους ἐγγινόμεναι καὶ ἀσκήσεως· καὶ ἐπεὶ οὔτε ἐπιστήμη οὔτε τέχνη ἐν ἄλλῳ μέρει τῆς ψυχῆς συνίσταται ἢ ἐν μόνῳ τῷ λογιστικῷ, αἱ μὲν περὶ τὸ παθητικὸν ἀρεταὶ οὐχ ὑπάρχουσι διδακταί, ὅτι μήτε τέχναι μήτε ἐπιστῆμαι εἰσιν· οὐδὲ γὰρ ἴδιον θεώρημα ἔχουσιν· ἡ μέντοι φρόνησις, ἐπιστήμη ὑπάρχουσα, τὰ οἰκεῖα ἑκάστῃ ἐνδίδωσιν, ὡς καὶ ὁ κυβερνήτης τοῖς ναύταις τινὰ ὑπαγορεύει ὑπ' αὐτῶν μὴ ὁρώμενα, οἱ δὲ πείθονται αὐτῷ· ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ στρατιώτου καὶ ἐπὶ στρατηγοῦ. ἐπιτεινομένων δὲ καὶ ἀνιεμένων τῶν κακιῶν, οὐδὲ τὰ ἁμαρτήματα ἴσα ἂν εἴη, ἀλλὰ τὰ μὲν μείζω, τὰ δὲ ἐλάττω, οἷς ἀκολούθως καὶ παρὰ τῶν νομοθετῶν τὰ μὲν μᾶλλον κολάζεται, τὰ δὲ ἧττον. καίτοι γε ἀκρότητες αἱ ἀρεταὶ ὑπάρχουσαι διὰ τὸ τέλειαι εἶναι καὶ ἐοικέναι τῷ εὐθεῖ, κατ' ἄλλον τρόπον μεσότητες ἂν εἶεν, τῷ ὁρᾶσθαι περὶ πάσας ἢ τάς γε πλείστας καθ' ἑκάστην ἑκατέρωθεν δύο κακίας, τὴν μὲν καθ' ὑπερβολήν, τὴν δὲ κατ' ἔνδειαν, ὡς ἐπὶ τῆς ἐλευθεριότητος ὁρᾶται ἐπὶ θάτερα μὲν μικρολογία, ἐπὶ θάτερα δὲ ἀσωτία. γίνεται γὰρ ἐν τοῖς πάθεσιν ἀμετρία κατὰ τὸ ὑπερβάλλειν τὸ προσῆκον ἢ ἐλλείπειν· οὔτε γὰρ ὁ μηδὲ γονέων ὑβριζομένων ὀργιζόμενος ἀπαθὴς ἂν τις εἴη, οὔτε ὁ ἐπὶ πᾶσι καὶ τοῖς τυχοῦσι μετριοπαθής, ἀλλὰ πᾶν τοὐναντίον· πάλιν δὲ ὁμοίως γονέων τελευτησάντων ὁ μὲν μὴ λυπούμενος ἀπαθής, ὁ δ' ὥστε καὶ καταφθίνειν ὑπὸ τῆς λύπης, ὑπερπαθής τε καὶ ἀμετροπαθής, ὁ δὲ λυπούμενος μέν, μετρίως δὲ τοῦτο πάσχων, μετριοπαθής. καὶ μὴν ὁ πάντα φοβούμενος, καὶ πέρα τοῦ μετρίου, δειλός, ὁ δὲ μηδὲν φοβούμενος θρασύς, ἀνδρεῖος δὲ ὁ μετρίως ἔχων περί τε θάρρη καὶ φόβους· καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος. ἐπεὶ οὖν τὸ μὲν μέτριον ἐν τοῖς πάθεσι τὸ βέλτιστόν ἐστιν, οὐκ ἄλλο δέ ἐστι τὸ μέτριον ἢ τὸ μέσον ὑπερβολῆς καὶ ἐλλείψεως, διὰ τοῦτο διὰ μεσότητος αἱ τοιαῦται ἀρεταί, διότι μέσως ἔχοντας ἡμᾶς ἐν τοῖς πάθεσι παρέχονται.

XXXI. Ἐπεὶ δὲ καί, εἴ τι ἄλλο ἐφ' ἡμῖν ἐστὶ καὶ ἀδέσποτον, καὶ ἡ ἀρετὴ τοιοῦτον ὑπάρχει — οὐδὲ γὰρ ἂν ἐπαινετὸν ἦν τὸ καλόν, εἰ ἐκ φύσεως ἢ τινος θείας μοίρας παρεγένετο — καὶ ἑκούσιον ἂν εἴη ἡ ἀρετή, καθ' ὁρμήν τινα συνισταμένη διάπυρον καὶ γενναίαν καὶ ἔμμονον· τῷ δὴ τὴν ἀρετὴν ἑκούσιον εἶναι ἕπεται τὸ τὴν κακίαν ἀκούσιον ὑπάρχειν. τίς γὰρ ἂν ἑκὼν ἐν τῷ καλλίστῳ ἑαυτοῦ μέρει καὶ τιμιωτάτῳ ἕλοιτο ἔχειν τὸ μέγι-

στον τῶν κακῶν; εἰ δέ τις ἐπὶ κακίαν ὁρμᾷ, πρῶτον μὲν οὐχ ὡς ἐπὶ κακίαν αὐτὴν ὁρμήσει, ἀλλ' ὡς ἐπ' ἀγαθόν· εἰ δὲ καὶ παραγίνεταί τις ἐπὶ κακίαν [πάντως ὁ τοιοῦτος ἐξηπάτηται] ὡς δι' ἐλάττονός τινος κακοῦ ἀποικονομησόμενος μεῖζον ἀγαθόν, καὶ ταύτῃ ἀκουσίως ἐλεύσεται· ἀδύνατον γὰρ ὁρμᾶν τινὰ ἐπὶ κακὰ βουλόμενον ἔχειν αὐτά, οὔτε ἐλπίδι ἀγαθοῦ οὔτε φόβῳ μείζονος κακοῦ. καὶ ὅσα δὴ ἀδικεῖ ὁ φαῦλος, ἀκούσια ὑπάρχει· τῆς γὰρ ἀδικίας ἀκουσίου οὔσης, πολὺ μᾶλλον τὸ ἀδικεῖν ἀκούσιον ἂν εἴη, ὅσῳ καὶ μεῖζον κακὸν ἂν τυγχάνοι τὸ ἐνεργεῖν αὐτὸν κατὰ ἀδικίαν τοῦ ἔχειν αὐτὴν ἠρεμοῦσαν. καίτοι δὲ ἀκουσίων ὄντων τῶν ἀδικημάτων, κολαστέον τοὺς ἀδικοῦντας καὶ διαφόρως· αἵ τε γὰρ βλάβαι διάφοροι, καὶ τὸ ἀκούσιον ἐν ἀγνοίᾳ τινὶ ἢ πάθει κεῖται, ἅπαντα δὲ τὰ τοιαῦτα ἔξεστιν ἀποτρίψασθαι καὶ λόγῳ καὶ ἤθεσιν ἀστείοις καὶ μελέτῃ. τοσοῦτον δὲ κακὸν ἀδικία, ὥστε φευκτότερον εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι· τὸ μὲν γὰρ πονηροῦ ἔργον, τὸ δὲ ἀδικεῖσθαι πάθος ἀσθενοῦς. αἰσχρὸν μὲν δὴ ἑκάτερον, τὸ δὲ ἀδικεῖν τοσούτῳ κάκιον, ὅσῳπερ καὶ αἴσχιον· λυσιτελεῖ δὲ τῷ ἀδικοῦντι ὑποσχεῖν δίκην, ὡς καὶ τῷ νενοσηκότι ὑποσχεῖν ἰατρῷ τὸ σῶμα εἰς θεραπείαν· πᾶσα γὰρ κόλασις ἰατρεία τίς ἐστιν ἡμαρτηκυίας ψυχῆς.

XXXII. Ἑπεὶ δὲ αἱ πλεῖσται ἀρεταὶ περὶ πάθη γίνονται, διοριστέον καὶ περὶ τοῦ πάθους, ὁποῖόν τι ὑπάρχει. ἔστι τοίνυν πάθος κίνησις ἄλογος ψυχῆς ὡς ἐπὶ κακῷ ἢ ὡς ἐπ' ἀγαθῷ. ἄλογος μὲν οὖν εἴρηται κίνησις, ὅτι οὐ κρίσεις τὰ πάθη οὐδὲ δόξαι, ἀλλὰ τῶν ἀλόγων τῆς ψυχῆς μερῶν κινήσεις· ἐν γὰρ τῷ παθητικῷ τῆς ψυχῆς συνίσταται, καὶ τὰ ἡμέτερα ἔργα οὐδὲ ἐφ' ἡμῖν. ἄκουσι γοῦν ἐν ἡμῖν ἐγγίνεται πολλάκις καὶ ἀντιτείνουσιν· ἔσθ' ὅτε δὲ καὶ γινώσκοντες, ὅτι οὐ λυπηρὰ τὰ προσπεπτωκότα οὐδὲ ἡδέα οὐδὲ μὴν φοβερά, οὐδὲν ἧττον ἀγόμεθα ὑπ' αὐτῶν, οὐκ ἂν παθόντες ταῦτα, εἰ κρίσεσι τὰ αὐτὰ ἦν· ταύτας γὰρ ἀποβάλλομεν καταγνόντες αὐτῶν, εἴτε δεόντως εἴτε μὴ δεόντως. ἐπ' ἀγαθῷ δὲ ἢ καὶ ἐπὶ κακῷ, ἐπειδὴ κατ' ἔμφασιν ἀδιαφόρου πράγματος οὐ κινεῖται πάθος· πάντα γὰρ συνίσταται ἢ κατὰ ἀγαθοῦ ἔμφασιν ἢ κατὰ κακοῦ. ἀγαθὸν γὰρ ἐὰν μὲν παρεῖναι ὑπολάβωμεν, ἡδόμεθα, ἐὰν δὲ μέλλειν, ἐπιθυμοῦμεν· καὶ κακὸν ἐὰν μὲν παρεῖναι ὑπολάβωμεν, λυπούμεθα, τὸ δὲ μέλλον φοβούμεθα. ἔστι δὲ πάθη ἁπλᾶ καὶ στοιχειώδη δύο, ἡδονή τε καὶ λύπη,

τἆλλα δὲ ἐκ τούτων πέπλασται. οὐ γὰρ συναριθμητέον τούτοις φύβον καὶ ἐπιθυμίαν ὡς ἀρχικὰ ὑπάρχοντα καὶ ἁπλᾶ. ὅ τε γὰρ φοβούμενος οὐ παντελῶς ἐστέρηται ἡδονῆς· οὐδὲ γὰρ τὸν τυχόντα ἄν τις διαγένοιτο χρόνον, ἀπογινώσκων ἀπαλλαγὴν ἢ κουφισμὸν τοῦ κακοῦ· πλεονάζει μέντοι ἐν τῷ λυπεῖσθαι καὶ ὀχλεῖσθαι, καὶ διὰ τοῦτο συνῆπται τῇ λύπῃ· ὅ τε ἐπιθυμῶν ἐν προσδοκίᾳ μένων τοῦ τεύξεσθαι ἥδεται, οὐ παντελῶς δὲ θαρρῶν οὐδ' ἔχων βέβαιον τὴν ἐλπίδα ἄχθεται. ἐπιθυμίας δὴ καὶ φόβου μὴ ὄντων ἀρχικῶν, ἀνενδοιάστως συγχωρηθήσεται τὸ μηδὲ τῶν ἄλλων παθῶν τι ἁπλοῦν εἶναι, οἷον ὀργὴν λέγω καὶ πόθον καὶ ζῆλον καὶ ὅσα τοιαῦτα· ἐν τούτοις γὰρ ἑνορᾶται ἡδονὴ καὶ λύπη ὡς ἂν ἐκ τούτων μεμιγμένοις. τῶν δὲ παθῶν τὰ μέν ἐστιν ἄγρια, τὰ δὲ ἥμερα· καὶ ἥμερα μὲν ὅσα κατὰ φύσιν ὑπάρχει τῷ ἀνθρώπῳ ἀναγκαῖά τε καὶ οἰκεῖα· οὕτω δ' ἔχει, ἕως ἂν σύμμετρα ὑπάρχῃ· προσελθούσης δ' αὐτοῖς ἀμετρίας, ἡμαρτημένα ὑπάρξει. τοιαῦτά ἐστιν ἡδονή, λύπη, θυμός, ἔλεος, αἰσχύνη· οἰκεῖον γὰρ τὸ ἡσθῆναι ἐπὶ τοῖς κατὰ φύσιν, λυπηθῆναι δὲ ἐπὶ τοῖς ἐναντίοις· καὶ ὁ μὲν θυμὸς πρὸς τὸ ἀμύνεσθαι καὶ τιμωρεῖσθαι τοὺς ἐχθροὺς ἀναγκαῖος, ὁ δὲ ἔλεος οἰκεῖος φιλανθρωπίᾳ, αἰσχύνη δὲ πρὸς ἀναχώρησιν ἀπὸ τῶν αἰσχρῶν ἐπιτήδειος. ἄλλα δ' ἄγριά ἐστι πάθη, ἅπερ παρὰ φύσιν ἐστίν, ἐκ διαστροφῆς συστάντα καὶ ἐθῶν μοχθηρῶν· ταῦτα δ' ὑπάρχει γέλως καὶ ἐπιχαιρεκακία καὶ μισανθρωπία, ἃ καὶ ἐπιτεινόμενα καὶ ἀνιέμενα καὶ ὁπωσποτοῦν ἔχοντα διημαρτημένα ὄντα τυγχάνει, μετριότητα μὴ δεχόμενα. περὶ δὲ ἡδονῆς καὶ λύπης φησὶν ὁ Πλάτων, ὅτι ταῦτα τὰ πάθη φύσει πως ἀρχῆθεν ἐν ἡμῖν κινηθέντα φέρεται, τῆς μὲν λύπης καὶ τῆς ἀλγηδόνος ἐπιγινομένων παρὰ φύσιν κινουμένοις, τῆς δὲ ἡδονῆς εἰς τὸ κατὰ φύσιν ἀποκαθισταμένοις· οἴεται δὲ κατὰ φύσιν κατάστημα εἶναι τὸ μέσον ἀλγηδόνος τε καὶ ἡδονῆς, οὐθετέρῳ ἐκείνων ὂν τὸ αὐτό, ἐν ᾧ καὶ τὸν πλείω χρόνον ὑπάρχομεν. διδάσκει δὲ καὶ διότι πολλά ἐστιν εἴδη ἡδονῶν, τὰ μὲν διὰ τοῦ σώματος, τὰ δὲ διὰ τῆς ψυχῆς· τῶν δὲ ἡδονῶν τὰς μὲν μίγνυσθαι τοῖς ἐναντίοις, τὰς δὲ παραμένειν καθαράς τε καὶ εἰλικρινεῖς· καὶ τὰς μὲν ἀναμνηστικάς, τὰς δὲ μετ' ἐλπίδος γινομένας· καὶ τὰς μὲν αἰσχράς, ὅσαι ἀκόλαστοί τε καὶ μετὰ ἀδικίας, τὰς δὲ μετρίας καὶ ἀμωσγέπως μετεχούσας τοῦ ἀγαθοῦ, οἷον τήν τε εὐφροσύνην τὴν ἐπὶ τοῖς ἀγαθοῖς καὶ τὰς

ἐν ταῖς ἀρεταῖς ἡδονάς. πεφυκυιῶν δὲ πολλῶν ἀδοκίμων ἡδονῶν, οὐ ζητητέον εἰ τῶν ἁπλῶς ἀγαθῶν δύναται εἶναι· ἐξίτηλος γὰρ φαίνεται καὶ οὐδενὸς ἀξία, ἐπιγεννηματικὴ τῇ φύσει ὑπάρχουσα καὶ οὐδὲν οὐσιῶδες οὐδὲ προηγούμενον ἔχουσα, συνυπάρχουσα δὲ τῷ ἐναντίῳ· μίγνυται γὰρ ἡδονὴ καὶ λύπη, οὐκ ἂν δὲ συνέβαινε τοῦτο, εἰ τὸ μὲν ἁπλῶς ἦν ἀγαθόν, θάτερον δὲ κακόν.

XXXIII. Φιλία δὲ ἡ μάλιστα καὶ κυρίως λεγομένη οὐκ ἄλλη τίς ἐστι τῆς συνισταμένης κατ' εὔνοιαν ἀντίστροφον· αὕτη δὲ ὑφίσταται, ὅταν ἐπίσης ἑκάτερος βούληται τὸν πλησίον καὶ ἑαυτὸν εὖ πράττειν. ἡ δὲ ἰσότης αὕτη οὐκ ἄλλως σώζεται ἢ κατὰ τὴν τοῦ ἤθους ὁμοιότητα· τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ μετρίῳ ὄντι φίλον ὑπάρχει, τὰ δὲ ἄμετρα οὔτε ἀλλήλοις οὔτε τοῖς συμμέτροις δύναται ἐφαρμόσαι. εἰσὶ δέ τινες καὶ ἄλλαι νομιζόμεναι φιλίαι, οὐ μὴν καὶ οὖσαι, ὑπὸ τῆς ἀρετῆς οἷον ἐπικεχρωσμέναι· ἥ τε φυσικὴ τῶν γονέων πρὸς τὰ ἔκγονα καὶ ἡ τῶν συγγενῶν πρὸς ἀλλήλους καὶ ἡ λεγομένη πολιτικὴ καὶ ἡ ἑταιρική, αὗται δὲ οὐκ ἀεὶ ἔχουσι τὸ ἀντίστροφον τῆς εὐνοίας. εἶδος δέ πως φιλίας ἐστὶ καὶ τὸ ἐρωτικόν· ἔστι δὲ ἐρωτικὴ ἡ μὲν ἀστεία, ἡ τῆς σπουδαίας ψυχῆς, ἡ δὲ φαύλη, ἡ τῆς κακῆς, μέση δὲ ἡ τῆς μέσως διακειμένης. ὥσπερ οὖν τρεῖς εἰσὶν ἕξεις ψυχῆς λογικοῦ ζώου, ἡ μὲν ἀγαθή, ἡ δὲ φαύλη, τρίτη δὲ τούτων μέση, οὕτω καὶ τρεῖς ἐρωτικαὶ εἶεν ἂν κατ' εἶδος ἀλλήλων διαφέρουσαι· τὸ δ' εἶναι τρεῖς αὐτὰς δηλοῦσι μάλιστα οἱ σκοποὶ διαφέροντες ἀλλήλων. ἡ μὲν γὰρ φαύλη μόνου τοῦ σώματός ἐστι, τοῦ ἡδέος ἡττωμένη καὶ ταύτῃ βοσκηματώδης ὑπάρχουσα· ἡ δὲ ἀστεία ψιλῆς τῆς ψυχῆς ἕνεκεν, ᾗ ἐνορᾶται ἐπιτηδειότης πρὸς ἀρετήν· ἡ δὲ μέση τοῦ συναμφοτέρου, ὀρεγομένη μὲν τοῦ σώματος, ὀρεγομένη δὲ καὶ τοῦ κάλλους τῆς ψυχῆς. ὁ δὲ ἀξιέραστος καὶ αὐτὸς μέσος τις ὑπάρχει οὔτε φαῦλος ὢν οὔτε ἀστεῖος, ὅθεν καὶ σωματοποιούμενον Ἔρωτα δαίμονά τινα μᾶλλον φατέον ἢπερ θεὸν μηδέποτε ἐν γηΐνῳ σώματι γεγενημένον, διαπορθμεύοντα τὰ παρὰ θεῶν ἀνθρώποις καὶ ἀνάπαλιν. κοινῶς δὲ τῆς ἐρωτικῆς εἰς τὰς τρεῖς ἰδέας διῃρημένης τὰς προειρημένας, ἡ τοῦ ἀγαθοῦ τοίνυν ἐρωτικὴ ἀπηλλαγμένη πάθους τεχνική τις ὑπάρχει, ὅθεν καὶ ἐν τῷ λογιστικῷ συνίσταται τῆς ψυχῆς· θεωρήματα δ' αὐτῆς τὸ γνῶναί τε τὸν ἀξιέραστον καὶ κτήσασθαι καὶ χρήσασθαι· ἐπικρίνει δὲ αὐτὸν ἐκ τῶν προθέσεων αὐτοῦ καὶ ὁρμῶν, εἰ εὐγενεῖς, εἰ ἐπὶ

τὸ καλὸν γινόμεναι, εἰ σφοδραί τε καὶ διάπυροι· κτήσεται δὲ αὐτὴν ὁ κτώμενος οὐ θρύπτων οὐδ' ἐπαινῶν τὰ παιδικά, ἀλλὰ μᾶλλον κωλύων καὶ ἐνδεικνύμενος, ὅτι οὐ βιωτὸν αὐτῷ οὕτως ἔχοντι ὡς νῦν ἔχει· ὅταν δ' ἔλῃ τὸν ἐρώμενον, χρήσεται αὐτῷ παρεγγυῶν ταῦτα, δι' ὧν ἀσκηθεὶς ἔσται τέλειος, τέλος δὲ αὐτοῖς τὸ ἀντὶ ἐραστοῦ καὶ ἐρωμένου γενέσθαι φίλους.

XXXIV. *Τῶν δὲ πολιτειῶν φησὶ τὰς μὲν ἀνυποθέτους εἶναι, ἃς ἐν τῇ Πολιτείᾳ διεξῆλθεν· ἐν γὰρ ταύτῃ προτέραν μὲν ὑπέγραψε τὴν ἀπόλεμον, δευτέραν δὲ τὴν φλεγμαίνουσαν καὶ πολεμικήν, ζητῶν, τίνες ἂν εἶεν αἱ βέλτισται τούτων καὶ πῶς ἂν συσταῖεν. ἔστι δέ που παραπλησίως τῇ διαιρέσει τῆς ψυχῆς καὶ ἡ πολιτεία διῃρημένη τριχῇ, εἴς τε τοὺς φρουροὺς καὶ εἰς τοὺς ἐπικούρους καὶ εἰς τοὺς δημιουργούς, ὧν τοῖς μὲν τὸ βουλεύεσθαι καὶ ἄρχειν ἀποδίδωσι, τοῖς δὲ τὸ προπολεμεῖν εἰ δέοι, οὓς κατὰ τὸ θυμικὸν τακτέον ὥσπερ συμμαχοῦντας τῷ λογιστικῷ· τοῖς δὲ τὰς τέχνας καὶ τὰς ἄλλας ἐργασίας, τοὺς δὲ ἄρχοντας ἀξιοῖ φιλοσόφους εἶναι καὶ θεωρητικοὺς τοῦ πρώτου ἀγαθοῦ. μόνως γὰρ οὕτως κατὰ τρόπον διοικήσειν αὐτοὺς πάντα· οὐ γάρ ποτε κακῶν λήξειν τὰ πράγματα τὰ ἀνθρώπινα, εἰ μὴ οἱ φιλόσοφοι βασιλεύσειαν ἢ οἱ λεγόμενοι βασιλεῖς ἀπό τινος θείας μοίρας ὄντως φιλοσοφήσειαν. ἄριστα γὰρ καὶ μετὰ δικαιοσύνης ἐπανάξειν τὰς πόλεις τὰ τηνικάδε, ὅταν ἕκαστον μέρος αὐτονομῇ, ὥστε προβουλεύειν μὲν τοὺς ἄρχοντας τοῦ λαοῦ, τοὺς δὲ συμμάχους τούτοις ὑπηρετεῖν καὶ τούτων προμάχεσθαι, τούτοις δὲ εὐπειθῶς συνέπεσθαι τοὺς λοιπούς. πέντε δέ φησιν εἶναι πολιτείας, τήν τε ἀριστοκρατικήν, ὁπόταν οἱ ἄριστοι ἄρχωσι, καὶ δευτέραν τὴν τιμοκρατικήν, φιλοτίμων ὄντων τῶν ἀρχόντων, καὶ τρίτην τὴν ὀλιγαρχικήν, καὶ μετὰ ταύτην τὴν δημοκρατικήν, τελευταίαν δὲ τὴν τυραννίδα, χειρίστην ὑπάρχουσαν. ὑπογράφει δὲ καὶ ἄλλας πολιτείας ἐξ ὑποθέσεως, ὧν ἐστὶν ἥ τε ἐν Νόμοις καὶ ἡ ἐκ διορθώσεως ἐν Ἐπιστολαῖς, ἣ χρῆται πρὸς τὰς νενοσηκυίας πόλεις τὰς ἐν τοῖς Νόμοις, ἤδη καὶ τόπον ἀφωρισμένον ἐχούσας καὶ ἀνθρώπους λογάδας ἀπὸ πάσης ἡλικίας, ὥστε κατὰ τὰς διαφορὰς τῆς φύσεως αὐτῶν καὶ τῶν τόπων παιδείας τε οἰκείας δεῖσθαι καὶ ἀγωγῆς καὶ ὁπλίσεως. οἱ μὲν γὰρ παραθαλάττιοι καὶ ναυτίλλοιντο ἂν καὶ ναυμαχοῖεν, οἱ δὲ ἐν μεσογαίᾳ οἰκοῦντες πρὸς πεζομαχίαν ἁρμόττοιντο ἂν καὶ ὅπλισιν ἢ κουφοτέραν, ὡς*

οἱ ὄρειοι, ἢ βαρυτέραν, ὡς ἐν γεωλόφοις οἰκοῦντες πεδίοις· ἔνιοι δ' αὐτῶν καὶ ἱππασίαν ἂν ἐπασκοῖεν. ἐν ταύτῃ δὲ τῇ πόλει οὐδὲ κοινὰς εἶναι τὰς γυναῖκας νομοθετεῖ. ἔστιν οὖν πολιτικὴ ἀρετὴ θεωρητική τε καὶ πρακτικὴ καὶ προαιρετικὴ τοῦ ἀγαθὴν ποιεῖν πόλιν καὶ εὐδαίμονα καὶ ὁμονοοῦσάν τε καὶ συμφωνοῦσαν, ἐπιτακτική τις οὖσα καὶ ἔχουσα ὑποβεβλημένας πολεμικήν τε καὶ στρατηγικὴν καὶ δικαστικήν· σκέπτεται γὰρ ἡ πολιτικὴ ἄλλα τε μυρία καὶ δὴ καὶ αὐτὸ τοῦτο, εἴτε πολεμητέον εἴτε μή.

XXXV. Ὁποῖος δέ ἐστιν ὁ φιλόσοφος προειρημένου, τούτου διαφέρει ὁ σοφιστὴς τῷ μὲν τρόπῳ, ὅτι μισθαρνίᾳ τῶν νέων καὶ τῷ μᾶλλον νομίζεσθαι βούλεσθαι ἢ εἶναι καλὸς καὶ ἀγαθός· τῇ δὲ ὕλῃ, ὅτι ὁ μὲν φιλόσοφος περὶ τὰ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα καταγίνεται, ὁ δὲ σοφιστὴς περὶ τὸ μὴ ὂν πραγματεύεται, ἀναχωρῶν εἰς τόπον διὰ τὸ σκοτεινὸν δυσδιόρατον. τῷ γὰρ ὄντι οὐκ ἀντίκειται τὸ μὴ ὄν· τοῦτο γὰρ ἀνύπαρκτον καὶ ἀνεννόητον καὶ μηδεμίαν ἔχον ὑπόστασιν, ὃ καὶ εἴ τις εἰπεῖν ἢ νοῆσαι βιάζοιτο, περιτραπήσεται διὰ τὸ μάχην αὐτὸ ἐν ἑαυτῷ περιέχειν. ἔστι δὲ τὸ μὴ ὄν, καθ' ὃ ἐξακούεται, οὐ ψιλὴ ἀπόφασις τοῦ ὄντος, ἀλλὰ μετὰ συνεμφάσεως τῆς πρὸς ἕτερον, ὅπερ καὶ τῷ τρόπῳ ὄντι παρέπεται· ὡς εἰ μὴ καὶ αὐτὰ μετελάμβανε τοῦ μὴ ὄντος, οὐκ ἂν ἐχωρίζετο τῶν ἄλλων· νῦν δὲ ὅσαπέρ ἐστι τὰ ὄντα, τοσαυταχῶς καὶ τὸ μὴ ὄν· τὸ γὰρ μὴ τί ὂν οὐκ ἔστιν ὄν.

XXXVI. Τοσαῦτα ἀπαρκεῖ πρὸς εἰσαγωγὴν εἰς τὴν Πλάτωνος δογματοποιΐαν εἰρῆσθαι· ὧν ἴσως τὰ μὲν τεταγμένως εἴρηται, τὰ δὲ σποράδην καὶ ἀτάκτως· ὥστε μέντοι ἀπὸ τῶν εἰρημένων θεωρητικούς τε καὶ εὑρετικοὺς ἐξ ἀκολουθίας καὶ τῶν λοιπῶν αὐτοῦ δογμάτων γενέσθαι.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ

βίος Πλάτωνος.

I. Ὁ μὲν Ἀριστοτέλης ἀρχόμενος τῆς ἑαυτοῦ θεολογίας φησίν· πάντες ἄνθρωποι εἰδέναι ὀρέγονται φύσει, σημεῖον δὲ ἡ τῶν αἰσθήσεων ἀγάπησις· ἐγὼ δὲ τῆς τοῦ Πλάτωνος φιλοσοφίας ἀρχόμενος φαίην ἂν τοῦτο μειζόνως, ὅτι πάντες ἄνθρωποι τῆς Πλάτωνος φιλοσοφίας ὀρέγονται, χρηστὸν παρ' αὐτῆς ἅπαντες ἀρύσασθαι βουλόμενοι, καὶ κάτοχοι τοῖς ταύτης νάμασιν εἶναι σπουδάζοντες, καὶ τῶν Πλατωνικῶν ἐνθουσιασμῶν πλήρεις ἑαυτοὺς καταστήσαντες. τέσσαρες δέ εἰσιν οὗτοι παρ' αὐτῷ ἐν τέτρασι διαλόγοις· εἷς μὲν ἐν Τιμαίῳ, ὃν ἐνθουσιᾷ θεόληπτος γενόμενος καὶ ὑποκρινόμενος τὸν δημιουργὸν πρὸς τὰ οὐράνια δημηγοροῦντα περὶ τῆς τῶν τῇδε διοικήσεως, οὓς νέους θεοὺς καλεῖ· διὸ καὶ ὁ Ἰάμβλιχος ὑπομνηματίζων τὸν διάλογον ἐπέγραψεν εἰς τὴν δημηγορίαν τοῦ Διός. δεύτερος ἐνθουσιασμός ἐστιν ἐν τῇ Πολιτείᾳ, ἔνθα μουσόληπτος γεγονὼς ὑπεκρίθη τὰς Μούσας διεξιούσας τὴν λύσιν τῆς ὑπ' αὐτοῦ συστάσης πολιτείας, ἔνθα φησίν· παντὶ γὰρ γενομένῳ καὶ φθορὰ ἕπεται ἐξ ἀνάγκης. τρίτος ἐνθουσιασμὸς ὁ ἐν Φαίδρῳ, ἔνθα ὑπὸ τὴν πλάτανον ὁ Σωκράτης φιλοσοφῶν περὶ τοῦ Ἔρωτος νυμφόληπτος ἐγένετο. τέταρτος ὁ ἐν Θεαιτήτῳ, ὅπου κατὰ φιλοσοφίαν ἐνεθουσίασε, τὸν κορυφαῖον ὑποκρινόμενος φιλόσοφον, τουτέστι τὸν θεωρητικόν. τούτων τοίνυν ἕνεκεν πάντες τῇ τοῦ Πλάτωνος φιλοσοφίᾳ προστρέχουσι· φέρε δὲ καὶ τὸ γένος εἴπωμεν τοῦ φιλοσόφου, οὐ πολυκοΐας χάριν, ἀλλ' ὠφελείας καὶ παιδεύσεως μᾶλλον τῶν προσιόντων αὐτῷ· οὐ γάρ τις οὗτος Οὖτις, ἀλλὰ μᾶλλον πολλῶν ἐπίστροφος ἦν ἀνθρώπων. λέγεται γὰρ ὁ Πλάτων υἱὸς γενέσθαι πατρὸς μὲν Ἀρίστωνος τοῦ Ἀριστοκλέους, ἀφ' οὗ τὸ γένος εἰς Σόλωνα τὸν νομοθέτην ἀνέφερεν· διὸ καὶ κατὰ ζῆλον προγονικὸν Νόμους ἔγραψεν ἐν ιβ' βιβλίοις

καὶ Πολιτείας σύστασιν ἐν ι΄[α]· μητρὸς δὲ προῆλθε Περικτιόνης, ἥτις ἀπὸ Νηλέως τοῦ Κόδρου κατήγετο. φασὶν οὖν, ὅτι φάσμα Ἀπολλωνιακὸν συνεγένετο τῇ μητρὶ αὐτοῦ τῇ Περικτιόνῃ, καὶ ἐν νυκτὶ φανὲν τῷ Ἀρίστωνι ἐκέλευσεν αὐτῷ μὴ μιγνύναι τῇ Περικτιόνῃ μέχρι τοῦ χρόνου τῆς ἀποτέξεως· ὁ δ' οὕτω πεποίηκεν. καὶ γεννηθέντα τὸν Πλάτωνα λαβόντες οἱ γονεῖς βρέφος ὄντα τεθείκασιν ἐν τῷ Ὑμηττῷ, βουλόμενοι ὑπὲρ αὐτοῦ τοῖς ἐκεῖ θεοῖς Πανὶ καὶ Νύμφαις καὶ Ἀπόλλωνι νομίῳ θῦσαι, καὶ πειμένου αὐτοῦ μέλιτται προσελθοῦσαι πεπληρώκασιν αὐτοῦ τὸ στόμα κηρίων μέλιτος, ἵνα ἀληθὲς περὶ αὐτοῦ γένηται τὸ

τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

καλεῖ δ' αὐτὸν πατρόθεν καὶ τοῖς κύκνοις ὁμόδουλον, ὡς ἐξ Ἀπόλλωνος προελθών· Ἀπολλωνιακὸν γὰρ τὸ ὄρνεον.

II. Ἐν ἡλικίᾳ δὲ γενόμενος πρῶτον μὲν ἐφοίτησε Διονυσίῳ τῷ γραμματιστῇ πρὸς μάθησιν κοινῶν γραμμάτων, οὗ καὶ ἐν Ἐρασταῖς μέμνηται, ἵνα μηδὲ Διονύσιος ὁ διδάσκαλος ἄμοιρος εἴη τῆς παρὰ Πλάτωνι μνήμης. εἶτα μετ' ἐκεῖνον γυμναστῇ μὲν ἐχρήσατο διδασκάλῳ Ἀρίστωνι τῷ Ἀργείῳ, ὑφ' οὗ καὶ Πλάτων, ὥς φασι, μετωνομάσθη, πρότερον Ἀριστοκλῆς λεγόμενος τῷ τοῦ πάππου ὀνόματι· ἐπλήθη δ' οὕτω διὰ τὸ δύο μόρια τοῦ σώματος ἔχειν πλατύτατα, τό τε στέρνον καὶ τὸ μέτωπον, ὡς δηλοῦσι πανταχοῦ αἱ ἀνακείμεναι αὐτοῦ εἰκόνες οὕτω φαινόμεναι. ἄλλοι δέ φασι μὴ διὰ τοῦτο μετονομασθῆναι αὐτόν, ἀλλὰ διὰ τὸ πλατὺ καὶ κεχυμένον καὶ ἀναπεπταμένον τοῦ ἀνακειμένου χαρακτῆρος, καθάπερ φασὶ καὶ Θεόφραστον οὕτω μετονομασθῆναι διὰ τὸ θεῖον τῆς φράσεως, πρότερον Τύρταμον λεγόμενον. μουσικῆς δὲ διδάσκαλον ἔσχε Δράκοντα τὸν Δάμωνος μαθητήν· μέμνηται δὲ τούτου ἐν τῇ Πολιτείᾳ. τρία δὲ καὶ ταῦτα ἐπαιδεύοντο οἱ Ἀθήνησι παῖδες, φησὶ δὲ γράμματα, μουσικήν, παλαίειν, οὐχ ἁπλῶς, ἀλλὰ γράμματα μὲν διὰ τὸ κοσμεῖν τὸν λόγον τὸν ἐν αὐτοῖς, μουσικὴν διὰ τὸ τιθασσεύειν τὸν θυμόν, παλαίειν δὲ καὶ γυμνάζεσθαι διὰ τὸ ἀναρρωννύναι τὰ τῆς ἐπιθυμίας χαλαρόν. καὶ ὁ Ἀλκιβιάδης δὲ παρ' αὐτῷ τὰ τρία ταῦτα φαίνεται παιδευθείς· διὸ καί φησι πρὸς αὐτὸν Σωκράτης· αὐλεῖν δὲ οὐκ ἐβούλου, καὶ τὰ ἑξῆς. ἐφοίτησε δὲ καὶ παρὰ γραφεῦσι, παρ' ὧν ὠφελήθη τὴν μῖξιν τῶν χρωμάτων, ὧν ἐν Τιμαίῳ μέμνηται.

III. Μετὰ ταῦτα δὲ καὶ παρὰ τοῖς τραγικοῖς ἐπαιδεύθη,

παιδευταῖς ὀνομαζομένοις εἶναι τῆς Ἑλλάδος· προσῆλθε δὲ τούτοις διὰ τὸ ἀπὸ τῆς τραγικῆς γνωμικὸν καὶ σεμνὸν καὶ τὸ ἡρωϊκὸν τῶν ὑποθέσεων. καὶ τοῖς διθυράμβοις δὲ πρὸς τιμὴν τοῦ Διονύσου, ἐφόρου λεγομένου τῆς γενέσεως, ὠμίλησε· τούτῳ γὰρ ὁ διθύραμβος ἀνέκειτο, ἀφ' οὗ καὶ τὸ ὄνομα εἶχεν. διθύραμβος γὰρ ὁ Διόνυσος ὡς ἐκ δύο θυρῶν ἐξελθών, τῆς τε Σεμέλης καὶ τοῦ μηροῦ τοῦ Διός. εἰώθεισαν γὰρ οἱ ἀρχαῖοι τὰ αἰτιατὰ ὀνομάζειν τοῖς τῶν αἰτίων ὀνόμασι, καθάπερ καὶ τὸν Διόνυσον καλοῦσιν· διὸ καὶ ὁ Πρόκλος περὶ τούτου φησίν·

ὅσσ' εἶδον τεκέεσσιν ἐφημίξαντο τοκεῦσιν.

ὅτι δὲ τοὺς διθυράμβους ὁ Πλάτων ἤσκητο, δῆλον ἐκ τοῦ Φαίδρου τοῦ διαλόγου πάνυ πνέοντος τοῦ διθυραμβώδους χαρακτῆρος, ἅτε τοῦ Πλάτωνος τοῦτον πρῶτον γράψαντος διάλογον, ὡς λέγεται. ἔχαιρε δὲ πάνυ καὶ Ἀριστοφάνει τῷ κωμικῷ καὶ Σώφρονι, παρ' ὧν καὶ τὴν μίμησιν τῶν προσώπων ἐν τοῖς διαλόγοις ὠφελήθη· λέγεται δ' οὕτως αὐτοῖς χαίρειν, ὥστε καὶ ἡνίκα ἐτελεύτησεν εὑρεθῆναι ἐν τῇ κλίνῃ αὐτοῦ Ἀριστοφάνην καὶ Σώφρονα. καὶ ἐπίγραμμα δὲ τοιοῦτον εἰς Ἀριστοφάνην αὐτὸς πεποίηκεν·

αἱ Χάριτες τέμενός τι λαβεῖν ὅπερ οὔτι πεσεῖται
ζητοῦσαι ψυχὴν εὗρον Ἀριστοφάνους.

ἐκωμῴδησε δ' αὐτὸν ἐν τῷ Συμποσίῳ τῷ διαλόγῳ ὡς κωμῳδίαν ὠφεληθείς· καὶ γὰρ ποιήσας αὐτὸν ὑμνοῦντα τὸν Ἔρωτα εἰσάγει αὐτὸν μεταξὺ λυγγὶ περιπεσόντα καὶ μὴ δυνάμενον πληρῶσαι τὸν ὕμνον. ἐποίησε δὲ καὶ τραγικὰ ποιήματα καὶ διθυραμβικὰ καὶ ἄλλα τινά, ἅπερ πάντα κατέκαυσε τῆς Σωκράτους πειραθεὶς διατριβῆς, εἰπών τι τοιοῦτον ἔπος·

Ἥφαιστε, πρόμολ' ὧδε, Πλάτων νύ τι σεῖο χατίζει.

[γραμματικὸς δέ τις Ἀνατόλιος ἐνταῦθά ποτε τὸ ἔπος εἰπὼν ηὐδοκίμησεν εἰς Ἥφαιστον ἄρχοντα ἐπιστάντα τῇ πόλει, εἶπε δ' αὐτὸν οὕτως·

Ἥφαιστε, πρόμολ' ὧδε· Φάρος νύ τι σεῖο χατίζει.]

IV. Φασὶ δ' ὅτι ἡνίκα ὁ Σωκράτης ἤμελλε δέχεσθαι, ὄναρ εἶδεν, ὅτι κύκνος ἄπτερος ἐν τοῖς γόνασιν αὐτοῦ καθῆστο καὶ παραχρῆμα πτεροφυήσας ἀνέπτη εἰς τὸν ἀέρα καὶ ἔκλαγξέ τι λιγυρόν, ὡς πάντας θέλξαι τοὺς ἀκούοντας· τοῦτο δ' ἐδήλου τὴν μέλλουσαν δόξαν τοῦ ἀνδρός. μετὰ δὲ τὴν τελευτὴν Σωκράτους διδασκάλῳ πάλιν ἐχρήσατο Κρατύλῳ τῷ Ἡρακλειτείῳ, εἰς

ὃν καὶ διάλογον ὁμώνυμον ἐποίησεν, ἐπιγράψας Κρατύλος ἢ περὶ ὀρθότητος ὀνομάτων. μετὰ τοῦτον δὲ πάλιν στέλλεται εἰς Ἰταλίαν καὶ διδασκαλεῖον εὑρὼν ἐκεῖ τῶν Πυθαγορείων συνιστάμενον Ἀρχύταν πάλιν ἔσχε διδάσκαλον τὸν Πυθαγόρειον.... ὁμώνυμον ἔνθα καὶ Ἀρχύτου μέμνηται. ἐπειδὴ δὲ δεῖ τὸν φιλόσοφον φιλοθεάμονα εἶναι τῶν τῆς φύσεως ἔργων, στέλλεται καὶ εἰς Σικελίαν, θεασόμενος τοὺς κρατῆρας τοῦ πυρὸς τοὺς ἐν τῇ Αἴτνῃ, καὶ οὐ Σικελικῆς τραπέζης χάριν, ὥ γενναῖε Ἀριστείδη, ὡς σὺ φῄς· γενόμενος * δὲ * ἐν Συρακούσαις πρὸς Διονύσιον τὸν μέγαν τύραννον ὄντα ἐπειρᾶτο εἰς ἀριστοκρατείαν μεταβάλλειν τὴν τυραννίδα, δι' ὃ καὶ πρὸς αὐτὸν ἀφῖκτο. καὶ τοῦ Διονυσίου ἐρομένου αὐτόν· τίνα νομίζεις ἐν ἀνθρώποις εὐδαίμονα εἶναι; ὡς δὴ νομίζων ὅτι περὶ αὐτοῦ φήσει ὁ φιλόσοφος κολακεύων αὐτόν· ὁ δ' ἀπεκρίνατο ὅτι Σωκράτην. πάλιν ἐπανήρετο αὐτόν· τί νομίζεις ἔργον ἀνδρὸς εἶναι πολιτικοῦ; ὁ δ' ἀπεκρίνατο τὸ τοὺς πολίτας βελτίους ποιεῖν. τρίτον αὖτον ἐπανήρετο· τί οὖν; τὸ ὀρθῶς δικάζειν σμικρόν σοι δοκεῖ; δόξαν γὰρ εἶχεν ὁ Διονύσιος ἐπὶ τῷ ὀρθῶς δικάζειν· ὁ δ' ἀπεκρίνατο μηδὲν ὑποστειλάμενος· σμικρὸν μὲν οὖν καὶ μέρος ἔσχατον· ἀκεσταῖς γὰρ ἐοίκασιν οἱ ὀρθῶς δικάζοντες, οἵτινες τὰ διερραγότα ἱμάτια ἀνυφαίνουσιν. τέταρτον αὐτὸν ἐπανήρετο· τί; τύραννον εἶναι οὐκ ἀνδρεῖον; πάντων μὲν οὖν, ἔφη, δειλότατον, ὁπότε καὶ τὰ κουρευτικὰ μαχαιρίδια δέδοικε, μὴ διὰ τούτων ἀπόληται. ἐπὶ τούτοις οὖν ὁ Διονύσιος ἀγανακτήσας προεῖπεν αὐτῷ ἡλίου ὄντος ὑπὲρ γῆς ἐκ τῶν Συρακουσῶν ἀπαλλάττεσθαι, καὶ οὕτως ἀτίμως Πλάτων ἀπὸ τῶν Συρακουσῶν ἐδιώχθη.

V. Τῆς δὲ δευτέρας ὁδοῦ τῆς εἰς Σικελίαν αἰτία αὕτη. μετὰ τὸν θάνατον Διονυσίου τοῦ μεγάλου διαδέχεται τὴν τυραννίδα Διονύσιος ὁ Διονυσίου, μητρὸς ἀδελφὸν ἔχων τὸν Δίωνα, ὃς ἐκ πρώτης ὁδοῦ ὁμιλητὴς ἐγένετο Πλάτωνος. γράφει οὖν αὐτῷ ὁ Δίων, ὅτι ἐὰν παραγένῃ, νῦν ἐλπὶς ἐστι μεταβαλεῖν τὴν τυραννίδα εἰς ἀριστοκρατείαν. διὰ τοῦτο τοίνυν τὴν δευτέραν ὁδὸν ποιησάμενος, καὶ διαβληθεὶς ὑπὸ τῶν δορυφόρων τοῦ Διονυσίου πρὸς αὐτόν, ὡς βουλεύεται τὴν ἀρχὴν περιποιῆσαι τῷ Δίωνι καὶ καταλῦσαι τὸν Διονύσιον, κρατηθεὶς ὑπ' αὐτοῦ παρεδόθη Πόλλιδι τῷ Αἰγινήτῃ ἐμπορευομένῳ εἰς Σικελίαν πρὸς πρᾶσιν· ὁ δ' ἀγαγὼν αὐτὸν εἰς Αἴγιναν εὗρεν Ἀννίκεριν ἐκεῖ τὸν Λίβυν

μέλλοντα πλεῖν ἐπὶ τὴν Ἦλιν ἐφ' ᾧ τεθρίππῳ ἀγωνίσασθαι. περιτυχὼν οὖν τῷ Πόλλιδι ὠνεῖται παρ' αὐτοῦ τὸν Πλάτωνα, κρείττω τὴν δόξαν ταύτην πάσης ἐν τεθρίππῳ νίκης ἀγωνισάμενος· περὶ οὗ καὶ Ἀριστείδης φησὶν ὅτι οὐδεὶς ἐγίνωσκεν Ἀνίκηριν, εἰ μὴ Πλάτωνα ἐπρίατο. τῆς δὲ τρίτης ὁδοῦ πάλιν ἀφορμὴ γέγονε τῆς εἰς Σικελίαν αὖτη. δημευθεὶς ὁ Δίων ὑπὸ τοῦ Διονυσίου καὶ ἀφαιρεθεὶς τῶν ὄντων ἐν δεσμωτηρίῳ ἐβλήθη· γράφει οὖν τῷ Πλάτωνι, ὅτι ὑπέσχετο ὁ Διονύσιος ἀφεῖναι αὐτόν, εἰ Πλάτων αὖθις ἀφίξεται πρὸς αὐτόν· ὁ δὲ τῷ ἑταίρῳ βοηθήσων ἑτοίμως ὑπέστη καὶ τὴν τρίτην ὁδόν. καὶ ταῦτα μὲν περὶ τῆς ἀποδημίας τοῦ φιλοσόφου τῆς εἰς Σικελίαν· ἰστέον δ' ὅτι καὶ εἰς Αἴγυπτον ἀπῆλθε πρὸς τοὺς ἐκεῖ ἱερατικοὺς ἀνθρώπους καὶ ἔμαθε παρ' αὐτῶν τὴν ἱερατικήν· δι' ὃ καὶ ἐν τῷ Γοργίᾳ φησίν· οὐ μὰ τὸν κύνα τὸν παρ' Αἰγυπτίοις θεόν. ὃ γὰρ παρὰ τοῖς Ἕλλησι δύναται τὰ ἀγάλματα, τοῦτο παρὰ τοῖς Αἰγυπτίοις τὰ ζῶα, σύμβολα ὄντα ἑκάστου τῶν θεῶν ᾧ ἀνάκειται. βουλόμενος δὲ καὶ τοῖς μάγοις ἐντυχεῖν, διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἐν Περσίδι συνεστάναι πόλεμον μὴ δυνηθεὶς παρ' αὐτοὺς ἐλθεῖν, ἀφίκετο εἰς τὴν Φοινίκην καὶ μάγοις ἐκεῖ ἐντυχὼν παρέλαβε τὴν μαγικήν· δι' ὃ καὶ ἐν τῷ Τιμαίῳ φαίνεται τῆς θυτικῆς ἔμπειρος ὤν, σημεῖά τε λέγων ἥπατος καὶ σπλάγχνων καὶ τοιαῦτά τινα.

VI. Ἀλλὰ ταῦτα μὲν πρὸ τῶν αἰτίων τῶν εἰς Σικελίαν ἀφίξεων ἔδει ῥηθῆναι· ἀφικόμενος δ' εἰς τὰς Ἀθήνας διδασκαλεῖον ἐν τῇ Ἀκαδημίᾳ συνεστήσατο, μέρος τι τούτου τοῦ γυμνασίου τέμενος ἀφορίσας ταῖς Μούσαις· καὶ μόνῳ τῷ Πλάτωνι ἐνταῦθα Τίμων ὁ μισάνθρωπος συνῆν· πολλοὺς δὲ πάνυ πρὸς μάθησιν ἀφείλκετο καὶ ἄνδρας καὶ γυναῖκας ἀνδρείῳ σχήματι παρασκευάζων ἀκροᾶσθαι αὐτοῦ καὶ κρείττονα πάσης φιλοπονίας τὴν ἑαυτοῦ φιλοσοφίαν ἐπιδεικνύς. καὶ γὰρ καὶ τῆς Σωκρατικῆς εἰρωνείας ἀπήλλακτο καὶ τοῦ ἐν ἀγορᾷ καὶ ἐπὶ τῶν ἐργαστηρίων διατρίβειν καὶ τοὺς νέους θηρῶντα ποιεῖσθαι τοὺς λόγους. ἀπήλλακτο δὲ καὶ τοῦ σεμνοῦ ὄγκου τῶν Πυθαγορείων, τοῦ ἀποκεκλεισμένας ἔχειν τὰς θύρας καὶ τοῦ αὐτὸς ἕφα πολιτικώτερον ἑαυτὸν παρέχων πρὸς ἅπαντας. πολλοὺς τοίνυν ἐραστὰς αὐτοῦ καταστήσας καὶ πλείστους ὠφελήσας, μέλλων τελευτᾶν ἐνύπνιον εἶδεν, ὡς κύκνος γενόμενος ἀπὸ δένδρου εἰς δέν-

δρον μετέρχεται, καὶ ταύτῃ πόνον πλεῖστον παρεῖχε τοῖς ἰξευταῖς· ὃ Σιμμίας ὁ Σωκρατικὸς ἔκρινεν, ὅτι ἄληπτος ἔσται τοῖς μετ' αὐτὸν ἐξηγεῖσθαι βουλομένοις αὐτόν· ἰξευταῖς γὰρ ἐοίκασιν οἱ ἐξηγηταὶ τὰς ἐννοίας τῶν ἀρχαιῶν θηρᾶσθαι βουλόμενοι, ἄληπτος δ' ἐστὶν ἐπειδὴ καὶ φυσικῶς καὶ ἠθικῶς καὶ θεολογικῶς καὶ ἁπλῶς πολλαχῶς ἔστιν ἀκούειν τῶν αὐτοῦ, καθάπερ καὶ τῶν Ὁμήρου. δύο γὰρ αὗται ψυχαὶ λέγονται γενέσθαι παναρμόνιοι· δι' ὃ παντοδαπῶς ἔστιν ἀκούειν ἀμφοτέρων. ἀποθανόντος δ' αὐτοῦ πολυτελῶς αὐτὸν ἔθαψαν οἱ Ἀθηναῖοι καὶ ἐπέγραψαν ἐν τῷ τάφῳ αὐτοῦ·

τοὺς δύ' Ἀπόλλων φῦσ' Ἀσκληπιὸν ἠδὲ Πλάτωνα,
τὸν μὲν ἵνα ψυχήν, τὸν δ' ἵνα σῶμα σόοι.

καὶ ταῦτα μὲν περὶ τοῦ γένους τοῦ φιλοσόφου.

ΠΡΟΛΕΓΟΜΕΝΑ

τῆς Πλάτωνος φιλοσοφίας.

I. Ὁ μὲν δαιμόνιος Ἀριστοτέλης, τῆς θεολογικῆς αὐτοῦ φιλοσοφίας ἀρχόμενος, πάντας ἀνθρώπους ἔφη τοῦ εἰδέναι ἐφίεσθαι, καὶ τούτου πίστιν τὴν τῶν αἰσθήσεων ἔλεγεν ἀγάπησιν· διὰ τοῦτο γὰρ τὰς αἰσθήσεις ἀγαπῶμεν, ἵνα γινώσκωμέν τι. φαίην δ' ἂν ἐγὼ τὴν Πλάτωνος τοῦτο πεπονθέναι· πάντας γὰρ ἀνθρώπους ἔστιν ἰδεῖν ὥσπερ ἔκ τινος πηγῆς ἀρύσασθαι βουλομένους ἐκ ταύτης, ὅσον ἕκαστος χρήσιμον οἰηθῇ· πάντας δὲ λέγω τούς γε κατὰ φύσιν ἔχοντας καὶ μὴ ἀτεράμονας ὄντας καὶ δίκην νυκτερίδων μὴ δυναμένους ἀντωπεῖν ἡλιακῷ φωτί, οἳ μόνα τὰ αἰσθητὰ οἰόμενοι εἶναι τῶν νοητῶν οὐδεμίαν τίθενται φροντίδα. ἔτι δ' ἂν μᾶλλον ἀγασθείημεν τὴν τούτου φιλοσοφίαν, εἰ τήν τε ἱστορίαν καὶ τὸ εἶδος τῆς αὐτοῦ φιλοσοφίας ὑφηγησώμεθα. Πλάτων τοίνυν ὁ πολὺς πατρὸς μὲν ἦν Ἀριστωνος τοῦ Ἀριστοκλέους, μητρὸς δὲ Περικτιόνης τῆς ἀπογόνου Σόλωνος τοῦ νομοθέτου, ὅθεν καὶ κατὰ μίμησιν αὐτοῦ ἐξέθετο τήν τε Πολιτείαν καὶ τους Νόμους· αὐτὸς δὲ ἐκαλεῖτο Ἀριστοκλῆς εἰς ὄνομα τοῦ πρὸς πατρὸς πάππου, μετεκλήθη δὲ Πλάτων ἢ διὰ τὸ πλατὺ τοῦ στέρνου ἢ διὰ τὸ εὐρὺ τοῦ μετώπου ἢ — ὅπερ καὶ ἀληθὲς εἰπεῖν — διὰ τὸ πλατύ τε καὶ ἀναπεπταμένον τῆς φράσεως. οὕτως καὶ Θεόφραστος, Τύραμος καλούμενος πάλαι, διὰ τὸ θεῖον τῆς φράσεως Θεόφραστος μετεκλήθη. θεῖος δὲ ἦν ὁ Πλάτων καὶ Ἀπολλωνιακός· καὶ ὅτι μὲν θεῖος ἦν, δῆλον ἔκ τε ἑαυτοῦ κἀκ τῶν ὀνειράτων· ἐξ ἑαυτοῦ μέν, ὅτι ὁμόδουλον ἑαυτὸν ἐκάλει τοῖς κύκνοις, ἐκ τῶν ὀνειράτων δὲ οὕτως. Σωκράτης ὁ τούτου διδάσκαλος πρὸ μιᾶς τοῦ μέλλειν αὐτὸν φοιτᾶν αὐτῷ εἶδεν ὄναρ, ὅτι κύκνος ἄπτερος ἦλθεν ἐν τοῖς κόλποις αὐτοῦ, εἶτα πτεροφυήσας ἀνέπτη κλάγξας μέγα τι ἄϋτῶν καὶ λιγυρόν, ὡς ἅπαντας ἑλεῖν τοὺς ακούσαντας· ἐδήλου δὲ τοῦτο, ὡς

φοιτήσει μὲν αὐτῷ ἀτελὴς ὁ Πλάτων, γενήσεται δὲ τέλεος καὶ οὕτως διαπρέψει ἐν τοῖς δόγμασιν, ὡς ἅπαντας τούτων ἀκούειν γλίχεσθαι καὶ μηδένα ἀντιτείνειν ἢ δύνασθαι ἢ πειρᾶσθαι. καὶ αὐτὸς δ' ὁ Πλάτων εἶδεν ἑαυτὸν ἐν τῷ μέλλειν τελευτᾶν κύκνον γενόμενον καὶ καταπηδῶντα ἀπὸ δένδρου ἐπὶ δένδρον καὶ πολλὰ παρέχοντα τοῖς ὀρνιθοθήραις πράγματα, μὴ δυναμένων ἑλεῖν αὐτόν. τούτου δὲ τοῦ ἐνυπνίου ἀκούσας Σμμίας ὁ Σωκρατικὸς ἔφησεν πάντας ἀνθρώπους σπουδάσαι καταλαβεῖν τὴν τοῦ Πλάτωνος διάνοιαν, μηδένα δὲ δυνήσεσθαι, ἀλλ' ἕκαστον πρὸς τὸ δοκοῦν αὐτῷ τὴν ἐξήγησιν ποιεῖσθαι, εἴτε θεολογῆσαι εἴτε φυσιολογῆσαι εἴτε ἄλλο τι ἕλοιτο. ταὐτὸν γὰρ ἑκάτερος, Ὅμηρός τε καὶ Πλάτων, πεπόνθασιν, διὰ τὸ ἐναρμόνιον αὐτῶν τῆς φράσεως ἑκάστῳ βάσιμοι γίνονται, ὅπως ἂν βούληται ἐπιχειρεῖν τις. οὐ μόνον δὲ τὰ ὀνείρατα ταῦτα δηλοῦσιν αὐτὸν Ἀπολλωνιακὸν ὄντα, ἀλλὰ καὶ τὸ εἶδος τῆς ζωῆς αὐτοῦ, καθαρτικὸν ὄν· τοιοῦτο γὰρ καὶ ὁ θεός, ὡς καὶ αὐτὸ τὸ ὄνομα δηλοῖ· Ἀπόλλων γὰρ δηλοῖ ὁ χωρισμένος τῶν πολλῶν· τὸ γὰρ ἀ στερητικόν ἐστι μόριον. ἔτι δὲ κἀκ τοῦ καιροῦ τῆς γενέσεως αὐτοῦ τεκμαιρόμεθα αὐτὸν Ἀπολλωνιακὸν ὄντα· ἐγενήθη γὰρ ἐν τῇ ζ' τοῦ Θαργηλιῶνος μηνός, ἐν ᾗ ἑορτὴν ἐπιτελοῦσιν οἱ Δήλιοι τοῦ Ἀπόλλωνος· ἐν δὲ τῇ ἕκτῃ τούτου τοῦ μηνὸς ἐτέχθη ὁ Σωκράτης, ἐν ᾗ γενεθλιακὴν ἑορτὴν Ἀρτέμιδος ἐπετέλουν· δηλοῖ δὲ τοῦτο τὸ προῦχον ἐν τῷ Σωκράτει κατά τε χρόνον καὶ λόγον.

II. Ἵνα δὲ τέλεον τὸν περὶ αὐτοῦ ἱστορίας ποιησώμεθα λόγον, ἐκ διαιρέσεως προέλθωμεν. πᾶν γινόμενον καὶ ἐν χρόνῳ γίνεται καὶ ἐν τόπῳ· οὐκοῦν καὶ ὁ Πλάτων ὡς γενόμενος ἔν τε χρόνῳ τινὶ γέγονε καὶ ἐν τόπῳ· μάθωμεν τοίνυν ἑκάτερον τούτων, ἔτι μέντοι τά τε ἐν τῇ γενέσει καὶ τὰ περὶ τὴν γένεσιν αὐτοῦ συμβάντα. γέγονε τοίνυν ἐν χρόνῳ μὲν τῇ πη' ὀλυμπιάδι ἐπὶ ἄρχοντος Ἀμεινίου, Περικλέους ἔτι ζῶντος καὶ τῶν Πελοποννησιακῶν πολέμων ἔτι συγκροτουμένων, νεώτερος ὢν Ἰσοκράτους ἓξ ἔτεσιν· ἐν τόπῳ δὲ γέγονεν ἐν τῇ Αἰγίνῃ, τοῦ πατρὸς αὐτοῦ Ἀρίστωνος κατ' ἐκεῖνο καιροῦ κληρούχου πεμφθέντος ἐν τῇ Αἰγίνῃ ὑπὸ τῶν Ἀθηναίων. καὶ ταῦτα μὲν περὶ τοῦ χρόνου καὶ τοῦ τόπου, ἐν ᾧ γέγονεν· περὶ δὲ τὸν τόκον εἶδεν ὄνειρον τοῦτο ὁ πατήρ, ἔτι ἐν γαστρὶ ἐχούσης αὐτὸν τῆς μητρός, μὴ συγγενέσθαι αὐτῇ ἄχρις ἂν ἀποτέκῃ· τοῦτο δ' ἐσήμανεν ὡς οὐ δι'

ἡδονὴν δεῖ τὴν συνουσίαν αἱρεῖσθαι, ἀλλὰ διὰ παιδοποιΐαν [καὶ] μόνην, καὶ ὡς τὸ τεχθησόμενον καθαρὸν τεχθείη, μηδένα σπῖλον προειληφὸς ἀπὸ τῆς ἐξ ὑστέρου δι' αἰσχρότητα συνουσίας. ἀλλὰ καὶ ἡ μήτηρ αὐτοῦ μετὰ τὸν τόκον λαβοῦσα αὐτὸν ἀνήγαγεν ἐν τῷ Τμηττῷ ὄρει, θῦσαι βουλομένη Ἀπόλλωνί τε νομίῳ καὶ Νύμφαις, καὶ ἐν τούτῳ καταθεμένη αὐτὸν εὗρεν αὐτὸν ὑποστρέψασα πεπληρωμένον ἔχοντα τὸ στόμα μέλιτος· ἐλθοῦσαι γὰρ μέλιτται τοῦτο πεποιήκεσαν προμηνύουσαι, ὅτι τὰ ἐξ αὐτοῦ μέλλοντα ῥεῦσαι μέλιτος ἔσται γλυκύτερα κατὰ τὸν ποιητήν. διαίτῃ δὲ ἐκέχρητο οὐ τῇ ἀπὸ τῶν ζώων, ἀλλὰ τῇ ἀπὸ τῶν φυτῶν· ἐφοίτησεν δ' ἐν ἡλικίᾳ γενόμενος γραμματιστῇ μὲν Διονυσίῳ, οὗ μνήμην ποιεῖται ἐν τοῖς Ἐρασταῖς αὐτοῦ· οὐδὲ γὰρ δίκαιον ἐνόμισεν ἀμνημόνευτον καταλιπεῖν οἰκεῖον διδάσκαλον. γυμναστῇ δ' Ἀρίστωνι ἐφοίτησεν· καὶ γὰρ καὶ τούτου πολλὴν ἔθετο πρόνοιαν, ὡς καὶ δύο ἀγῶνας αὐτὸν νικῆσαι, Ὀλύμπιά τε καὶ Νέμεα. ἐφοίτησεν δὲ μετὰ τούτους καὶ Δράκοντι τῷ μουσικῷ, ὃς γέγονεν [ἐκ γεμύλλων τοῦ] ἀπὸ Δάμωνος· οὗ Δάμωνος μέμνηται ἐν τῷ Θεαιτήτῳ. παρῆλθεν δὲ διὰ τριῶν τούτων, γραμμάτων, γυμνασίων, μουσικῆς, ἵνα καὶ τοὺς αὐτοῦ μαθητὰς διὰ τῶν αὐτῶν ἄγεσθαι παρακελεύσηται· οἶδεν γάρ, ὅτι αὗταί αἱ παιδεῖαι δύνανται τὸ τριμερὲς τῆς ψυχῆς ἐπανορθώσασθαι· διὰ μὲν τῶν γραμμάτων ἠκρίβου τὸ λογιστικὸν αὐτῆς μέρος, διὰ δὲ τῆς μουσικῆς ἐτιθάσσευεν τὸ θυμικόν, ὥσπερ διὰ τῶν γυμνασίων ἐρρώνυεν τὸ ἐπιθυμητικόν.

III. Μετὰ τούτους ἐφοίτησεν διθυραμβοποιοῖς, τὸν ἐκείνων χαρακτῆρα ὠφεληθῆναι βουλόμενος· ἀμέλει καὶ τὸ πρῶτον αὐτοῦ σύγγραμμα ὁ Φαῖδρος διθυραμβώδης ἐστί. ἐφοίτησεν δὲ καὶ τραγικοῖς, τὸ ἐν αὐτοῖς σεμνὸν ἀρύσασθαι βουλόμενος· ἐφοίτησεν δὲ καὶ κωμικοῖς, τὴν φράσιν αὐτῶν ὠφεληθῆναι βουλόμενος. ἀμέλει καὶ τὸν Ἀριστοφάνους ἀπεμάξατο χαρακτῆρα, ὃς τῶν ἄλλων προύχει κωμικῶν· καὶ ὅτι ἀποδέχεται τὴν τούτου φράσιν, δηλοῖ τὸ ὑπ' αὐτοῦ εἰς τὸν Ἀριστοφάνη ῥηθὲν ἐπίγραμμα, ἔχον ὧδί·

αἱ Χάριτες τέμενός τι λαβεῖν, ὅπερ ἤθελον εὑρεῖν,
διζόμεναι ψυχὴν εὗρον Ἀριστοφάνους.

ἐζήλωσεν δὲ καὶ Σώφρονα τὸν γελωτοποιόν, τὴν μιμητικὴν ὥσπερ κατορθῶσαι βουλόμενος· ὁ γὰρ διαλόγους γράφων μίμη-

σιν προσώπων εἰσάγει. ἐφοίτησεν δὲ καὶ γραφεῦσιν, τὴν τῶν χρωμάτων ποικίλην μῖξιν ἐκμαθεῖν βουλόμενος, ὅθεν ἐν Τιμαίῳ πολὺν λόγον καταβάλλεται περὶ χρωμάτων. καὶ ταῦτα μὲν αὐτῷ διεπράττετο ἄχρις ἐτῶν εἴκοσι· μετὰ δὲ τοῦτο ἐφοίτησε Σωκράτει, καὶ δέκα ἔτη παρ' αὐτῷ ἐποίησεν, ἠθικὴν φιλοσοφίαν ἐκμαθεῖν βουλόμενος· εὑρηκὼς δὲ τὸν Σωκράτη ἐπαναβεβηκότα τῶν ἄλλων, φασί, πυρὶ μέλλων παραδιδόναι τὰ πρὸ τούτου πονηθέντα αὐτῷ εἶπε τοῦτο τὸ ἔπος·

Ἥφαιστε, πρόμολ' ὧδε· Πλάτων νύ τι σεῖο χατίζει.

εὐνούστατος δὲ τῷ Σωκράτει οὕτως ὤφθη εἴπερ τις ἄλλος· ἀμέλει κρινομένου αὐτοῦ καὶ ἐν δεσμωτηρίῳ τυγχάνοντος, ἀνελθὼν οὗτος ἐπὶ τὸ βῆμα φωνὴν ἔρρηξεν τοιαύτην· νεανίας μὲν ὤν, ὦ ἄνδρες, ἐπὶ τὸ βῆμα ἀναβέβηκα· ἀγανακτήσαντες δὲ οἱ δικασταὶ κατήγαγον αὐτόν, ὁ δὲ λυπηθεὶς ἐξῆλθεν τοῦ δικαστηρίου, μεῖναι ἐκεῖσε μὴ ἀνασχόμενος. μετὰ δὲ τὸ τὴν ἠθικὴν ὠφεληθῆναι Σωκράτους καὶ πράγματα παρασχεῖν αὐτῷ Σωκράτει ἐν ταῖς πρὸς αὐτὸν ἐντεύξεσι συγγράμματα ἐξέθετο, ἃ ἔτι ζῶντος Σωκράτους εἰς χεῖρας αὐτοῦ ἦλθον. τὸν γὰρ Λύσιν διάλογον ἣν γεγραφώς· ᾧ ἐντετυχηκὼς ὁ Σωκράτης φησὶ τοῖς ἑταίροις αὐτοῦ· οὗτος ὁ νεανίας ἄγει με ὅπη θέλει καὶ ἐφ' ὅσον θέλει καὶ πρὸς οὓς θέλει.

IV. Μετὰ οὖν τὴν πρὸς Σωκράτη φοίτησιν ἀπῆλθεν πρὸς τοὺς Πυθαγορείους, τὸ δι' ἀριθμῶν τὰ πράγματα σημαίνειν παρ' αὐτῶν κατορθῶσαι βουλόμενος, ὅθεν πολλῷ τούτων μέμνηται ἐν τῷ Τιμαίῳ· ἐφοίτησεν δὲ καὶ Κρατύλῳ τῷ Ἡρακλειτείῳ καὶ Ἑρμίππῳ τῷ Παρμενιδείῳ, τὰ Ἡρακλείτου καὶ Παρμενίδου δόγματα μαθεῖν βουλόμενος, ὅθεν καὶ δύο διάλογοι γεγραμμένοι εἰσὶν αὐτῷ, ὅ τε Κρατύλος καὶ ὁ Παρμενίδης, ἐν οἷς τῶν δογμάτων τῶν προειρημένων ἀνδρῶν μέμνηται. μεμαθηκὼς δέ, ὡς τὴν ἀρχὴν ἔσχον οἱ Πυθαγόρειοι τῆς φιλοσοφίας ἀπὸ Αἰγύπτου, ἦλθεν καὶ εἰς Αἴγυπτον καὶ κατορθώσας ἐκεῖσε τὴν γεωμετρίαν καὶ τὴν ἱερατικὴν ἀνεχώρησεν· εἶτα ἐλθὼν εἰς Φοινίκην περιέτυχεν ἐκεῖσε Πέρσαις, καὶ ἔμαθεν παρ' αὐτῶν τὴν Ζωροάστρου παιδείαν. εἶτα ἐκεῖθεν ἐπὶ Σικελίαν ἀφίκετο, τοὺς ἐν Αἴτνῃ κρατῆρας ἱστορῆσαι βουλόμενος· ὅτε καὶ τὴν πρὸς Διονύσιον ἔντευξιν ἐποιήσατο. μετὰ ταῦτα δ' ἐλθὼν ἐν Ἀθήναις συνεστήσατο διδασκαλεῖον πλησίον τοῦ καταγωγίου Τίμωνος τοῦ μισανθρώπου· ὃς δυσκόλως ἔχων πρὸς ἅπαντας, ὡς καὶ τὰ

ἐπιγράμματα τοῦ τάφου αὐτοῦ δηλοῦσι, πάνυ εὐμενῶς ἤνεγκε τὴν τοῦ Πλάτωνος συνουσίαν. εἰσὶ δὲ τὰ ἐπιγράμματα τάδε·

ἐνθάδ' ἀπορρήξας ψυχὴν βαρυδαίμονα κεῖμαι·
τίς δ' ἄν, οὐ πεύσεσθε· κακοὶ δὲ κακῶς ἀπόλοισθε.

ἔστι δὲ τὸ δεύτερον τόδε·

τήνδε σὺ τὴν στήλην παραμείβεο, μήτε με χαίρειν
εἰπών, μηδ' ὅστις, μὴ τίνος εἰρόμενος.

μέρος δὲ τοῦ διδασκαλείου τέμενος ἀνέθηκε ταῖς Μούσαις ὁ Πλάτων· τούτῳ δ' ἐφοίτησαν οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες, Λεξιθέα τε ἡ ἐκ Φλιοῦντος καὶ Λαωσθένεια ἡ ἐξ Ἀρκαδίας.

V. Θεῖος δ' ἦν, ὡς εἴρηται πολλάκις, οὗτος ὁ ἀνήρ, καὶ πολλῶν τῶν ἐν τῷ βίῳ ἐγένετο εὑρετής, ὀνομάτων γὰρ καὶ πραγμάτων καὶ εἴδους [καὶ] συγγραφῆς. ὀνομάτων μὲν τῆς ποιότητος· οὐδὲ γὰρ πρὸ τούτου ἐγινώσκετο τοὔνομα· ἀμέλει ἐν Θεαιτήτῳ φησὶ πρὸς Θεόδωρον ποιῶν τὸν Σωκράτην διαλεγόμενον καὶ λέγοντα ὅτι ἴσως μὲν οὖν τὸ τῆς ποιότητος ξένον σοι δόξειεν [ἐστι] καὶ οὐκ εἰωθός· δηλοῖ δὲ καὶ Ἀριστοτέλης ἐν Κατηγορίαις λέγων· ποιότητα δὲ λέγω, εἰπὼν τὸ λέγω ἀπ' αὐτοῦ τοῦ θεμένου τοὔνομα· εἰ γὰρ ἦν ἐν καταχρήσει, πάντως ἂν οὐ λέγω ἀλλὰ λέγεται εἶπεν. εἴωθεν γὰρ αὐτὸς καὶ ἅπαντες οἱ παλαιοὶ τοῦτο ποιεῖν. εὗρε δὲ καὶ τὸ τῶν ἀντιπόδων ὄνομα καὶ τὸ τοῦ μήκους ἀριθμοῦ. πράγματα δ' εὗρεν φυσικά, ἠθικά, θεολογικά, πολιτικά· φυσικὰ μὲν ὅτι ἔδειξεν τὴν μαγνῆτιν λίθον μὴ ἕλκουσαν τὸν σίδηρον, ἀλλ' ὅτι ὁ ἀήρ ἐστιν ὁ ὠθῶν αὐτὸν πρὸς αὑτήν. μαθηματικὰ δὲ εὗρεν τὴν μέσην καλουμένην ἀνάλογον, περὶ ἧς ἐν τῇ Ἀποδεικτικῇ λόγον ἐποιησάμεθα. λοιμωξάντων γὰρ τῶν Ἀθηναίων, ἔπεμψαν ἐν Δέλφοις χρησόμενοι, τί ποιήσαντες παύσαιντο τοῦ λοιμοῦ, ἔχρησεν δὲ αὐτοῖς ὁ θεός, διπλασιάσαντας τὸν βωμὸν οὕτως θῦσαι. τυγχάνοντος δὲ τοῦ βωμοῦ κύβου ἕτερον κύβον ἐπῳκοδόμησαν, οἰόμενοι τοῦτο εἶναι τὸ ὑπὸ τοῦ χρησμοῦ λεγόμενον· εἶθ' ὡς οὐδὲ τοῦτο ποιησάντων ἐπαύσαντο, ἐπὶ τὸν Πλάτωνα πορευθέντες ἤροντο αὐτόν, τί δέοι ποιεῖν. ὁ δέ φησιν ὅτι ὀνειδίζει ὑμῖν ὁ θεὸς ὡς ἀπείροις γεωμετρίας· ἔδειξε γὰρ μὴ ἰδιωτικῶς τὸ διπλάσιον ἐννοῆσαι, ἀλλ' εὑρεῖν μέσην τινὰ ἀνάλογον καὶ οὕτω διπλασιάσαι ταύτην· ὅθεν οὕτω ποιησάντων, παραυτίκα ἐπαύσαντο [τὰ] τοῦ λοιμοῦ. εὗρεν δὲ καὶ ἠθικά· τὸ γοῦν μὴ ἐπὶ μισθῷ διδάσκειν, ἠθικὸν ὄν, πρῶτος

εὗρεν. ἀμέλει Πυθαγόρας, καὶ οἱ πρὸ αὐτοῦ ἅπαντες, ἑκατὸν δραχμὰς χρυσίου λαμβάνων τὴν οἰκείαν μετεδίδου, κάπηλος μᾶλλον λόγων τυγχάνων ἢ φιλόσοφος· ὅθεν καὶ τὸν Τίμαιον ἑπτὰ ἀργυρίων ὠνησάμενος ἀπὸ τῶν Πυθαγορείων κατὰ μίμησιν αὐτοῦ ἔγραψε τὸν διάλογον· ὅθεν καὶ φέρεταί τι ἔπος τοιόνδε·

πολλῶν ἀργυρίων ὀλίγην ἠλλάξαο μολπήν,
ἔνθεν ἀφορμηθεὶς τιμαιογραφεῖν ἐπεχείρεις.

εὗρεν δὲ καὶ πολιτικά· τὸ γοῦν τὰς τηβάδας κυκλοτερεῖς εἶναι αὐτὸς πρῶτος ἐφεῦρεν ὡς πολυχωρητοτέρους· δέδεικται γὰρ τοῖς γεωμέτραις, ὅτι πάντων τῶν ἰσοπεριμέτρων χωρίων πολυχωρητότερος τυγχάνει ὁ κύκλος. εὗρεν δὲ καὶ τὸ τρίτον τῆς πολιτείας εἶδος τὸ ἐξ ὑποθέσεως. ἀλλὰ δὴ καὶ θεολογικὰ εὗρεν, οἷον τὸ τὰς ἰδέας εἶναι ἐν τῷ παραδειγματικῷ, οὐχ ὅτι καὶ ἄλλοι πρὸ αὐτοῦ οὐκ ἐγίνωσκον ὡς εἰσὶν αὗται· Πυθαγόρας οὖν ἔλεγεν αὐτὰς ἐν τῷ ποιητικῷ εἶναι, καὶ Ἀριστοτέλης δὲ μετ' αὐτὸν ἐν τῷ ποιητικῷ, αὐτὸς δ' ὡς εἴρηται ἐν τῷ παραδειγματικῷ αὐτὰς ἔφησεν εἶναι, αἵπερ ἐπέκεινά εἰσι τοῦ ποιητικοῦ. ἀμέλει γοῦν καί φασιν αὐτὸν εὑρηκότα τὰς ἰδέας ἑωρακέναι ἑαυτὸν τρόπον ἔχοντα ὀφθαλμόν. εὗρεν δὲ καὶ τί ἐστιν αἰών. οἱ γὰρ πρὸ αὐτοῦ αἰῶνα ἔλεγον τὴν ἀπειρίαν τοῦ χρόνου, αὐτὸς δὲ ἔδειξεν ὡς ἄλλη ἐστὶν ἡ ἀπειρία τοῦ χρόνου καὶ ἄλλος ὁ αἰών. εὗρεν δὲ καὶ εἶδος συγγραφῆς τὸ διαλογικόν· εἰ γάρ τις εἴποι ὅτι καὶ Ζήνων πρὸ αὐτοῦ διαλόγους ἔγραψεν καὶ Παρμενίδης, ἐροῦμεν ὅτι οὗτος μάλιστα αὐτῷ ἐχρήσατο.

VI. Ἔζησεν δὲ πά ἐνιαυτούς, καὶ διὰ τούτου δεικνὺς ὡς Ἀπολλωνιακὸς ὢν τυγχάνει· ὁ γὰρ Θ' τῶν Μουσῶν ἀριθμὸς ἐφ' ἑαυτὸν πολλαπλασιαζόμενος ἀπογεννᾷ τὸν πά· ἀριθμόν· ὅτι δ' αἱ Μοῦσαι ὑπηρετίδες εἰσὶ τοῦ Ἀπόλλωνος, οὐδεὶς ἀντερεῖ. οὗτος δὲ ὁ πά ἀριθμὸς δυναμοδύναμις λέγεται, ὡς ἂν τοῦ γ' ἀριθμοῦ πρώτου ὄντος, διὰ τὸ ἔχειν αὐτὸν ἀρχὴν καὶ μέσην καὶ τελευτήν, πολλαπλασιαζομένου καὶ ἀπογεννῶντος τὸν Θ' — τριάκις γὰρ τρία Θ' — καὶ τοῦ ἐννέα τὸν πά ἀριθμόν. ἔστιν δὲ καὶ ἐκ τῶν μετὰ τὸν βίον αὐτοῦ τὸ θεῖον αὐτοῦ καταμαθεῖν. γυνὴ γοῦν τις ἀπῆλθεν χρησομένη, εἰ δεῖ τὴν στήλην αὐτοῦ συντάξαι αὐτὴν τοῖς ἀγάλμασι τῶν θεῶν· ἔχρησεν δ' ὁ θεὸς τάδε·

δόξης ἀντιθέοιο παθηγητῆρα Πλάτωνα

ἐπιγράμματα τοῦ τάφου αὐτοῦ δηλοῦσι, πάνυ εὐμενῶς ἤνεγκε τὴν τοῦ Πλάτωνος συνουσίαν. εἰσὶ δὲ τὰ ἐπιγράμματα τάδε·

ἐνθάδ' ἀπορρήξας ψυχὴν βαρυδαίμονα κεῖμαι·
τίς δ' ἄν, οὐ πεύσεσθε· κακοὶ δὲ κακῶς ἀπόλοισθε.

ἔστι δὲ τὸ δεύτερον τόδε·

τήνδε σὺ τὴν στήλην παραμείβεο, μήτε με χαίρειν
εἰπών, μηδ' ὅστις, μὴ τίνος εἰρόμενος.

μέρος δὲ τοῦ διδασκαλείου τέμενος ἀνέθηκε ταῖς Μούσαις ὁ Πλάτων· τούτῳ δ' ἐφοίτησαν οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες, Δεξιθέα τε ἡ ἐκ Φλιοῦντος καὶ Λαωσθένεια ἡ ἐξ Ἀρκαδίας.

V. Θεῖος δ' ἦν, ὡς εἴρηται πολλάκις, οὗτος ὁ ἀνήρ, καὶ πολλῶν τῶν ἐν τῷ βίῳ ἐγένετο εὑρετής, ὀνομάτων γὰρ καὶ πραγμάτων καὶ εἴδους [καὶ] συγγραφῆς. ὀνομάτων μὲν τῆς ποιότητος· οὐδὲ γὰρ πρὸ τούτου ἐγινώσκετο τοὔνομα· ἀμέλει ἐν Θεαιτήτῳ φησὶ πρὸς Θεόδωρον ποιῶν τὸν Σωκράτην διαλεγόμενον καὶ λέγοντα ὅτι ἴσως μὲν οὖν τὸ τῆς ποιότητος ξένον σοι δόξειεν [ἐστὶ] καὶ οὐκ εἰωθός· δηλοῖ δὲ καὶ Ἀριστοτέλης ἐν Κατηγορίαις λέγων· ποιότητα δὲ λέγω, εἰπὼν τὸ λέγω ἀπ' αὐτοῦ τοῦ θεμένου τοὔνομα· εἰ γὰρ ἦν ἐν καταχρήσει, πάντως ἂν οὐ λέγω ἀλλὰ λέγεται εἶπεν. εἴωθεν γὰρ αὐτὸς καὶ ἅπαντες οἱ παλαιοὶ τοῦτο ποιεῖν. εὗρε δὲ καὶ τὸ τῶν ἀντιπόδων ὄνομα καὶ τὸ τοῦ μήκους ἀριθμοῦ. πράγματα δ' εὗρεν φυσικά, ἠθικά, θεολογικά, πολιτικά· φυσικὰ μὲν ὅτι ἔδειξεν τὴν μαγνῆτιν λίθον μὴ ἕλκουσαν τὸν σίδηρον, ἀλλ' ὅτι ὁ ἀὴρ ἐστιν ὁ ὠθῶν αὐτὸν πρὸς αὑτήν. μαθηματικὰ δὲ εὗρεν τὴν μέσην καλουμένην ἀνάλογον, περὶ ἧς ἐν τῇ Ἀποδεικτικῇ λόγον ἐποιησάμεθα. λοιμωξάντων γὰρ τῶν Ἀθηναίων, ἔπεμψαν ἐν Δέλφοις χρησόμενοι, τί ποιήσαντες παύσαιντο τοῦ λοιμοῦ, ἔχρησεν δὲ αὐτοῖς ὁ θεός, διπλασιάσαντας τὸν βωμὸν οὕτως θῦσαι. τυγχάνοντος δὲ τοῦ βωμοῦ κύβου ἕτερον κύβον ἐπῳκοδόμησαν, οἰόμενοι τοῦτο εἶναι τὸ ὑπὸ τοῦ χρησμοῦ λεγόμενον· εἶθ' ὡς οὐδὲ τοῦτο ποιησάντων ἐπαύσαντο, ἐπὶ τὸν Πλάτωνα πορευθέντες ἤροντο αὐτόν, τί δέοι ποιεῖν. ὁ δέ φησιν ὅτι ὀνειδίζει ὑμῖν ὁ θεὸς ὡς ἀπείροις γεωμετρίας· ἔδειξε γὰρ μὴ ἰδιωτικῶς τὸ διπλάσιον ἐννοῆσαι, ἀλλ' εὑρεῖν μέσην τινὰ ἀνάλογον καὶ οὕτω διπλασιάσαι ταύτῃ· ὅθεν οὕτω ποιησάντων, παραυτίκα ἐπαύσαντο [τὰ] τοῦ λοιμοῦ. εὗρεν δὲ καὶ ἠθικά· τὸ γοῦν μὴ ἐπὶ μισθῷ διδάσκειν, ἠθικὸν ὄν, πρῶτος

εὗρεν. ἀμέλει Πυθαγόρας, καὶ οἱ πρὸ αὐτοῦ ἅπαντες, ἑκατὸν δραχμὰς χρυσίου λαμβάνων τὴν οἰκείαν μετεδίδου, κάπηλος μᾶλλον λόγων τυγχάνων ἢ φιλόσοφος· ὅθεν καὶ τὸν Τίμαιον ἑπτὰ ἀργυρίων ὠνησάμενος ἀπὸ τῶν Πυθαγορείων κατὰ μίμησιν αὐτοῦ ἔγραψε τὸν διάλογον· ὅθεν καὶ φέρεταί τι ἔπος τοιόνδε·

πολλῶν ἀργυρίων ὀλίγην ἠλλάξαο μολπήν,
ἔνθεν ἀφορμηθεὶς τιμαιογραφεῖν ἐπεχείρεις.

εὗρεν δὲ καὶ πολιτικά· τὸ γοῦν τὰς τηβάδας κυκλοτερεῖς εἶναι αὐτὸς πρῶτος ἐφεῦρεν ὡς πολυχωρητοτέρους· δέδεικται γὰρ τοῖς γεωμέτραις, ὅτι πάντων τῶν ἰσοπεριμέτρων χωρίων πολυχωρητότερος τυγχάνει ὁ κύκλος. εὗρεν δὲ καὶ τὸ τρίτον τῆς πολιτείας εἶδος τὸ ἐξ ὑποθέσεως. ἀλλὰ δὴ καὶ θεολογικὰ εὗρεν, οἷον τὸ τὰς ἰδέας εἶναι ἐν τῷ παραδειγματικῷ, οὐχ ὅτι καὶ ἄλλοι πρὸ αὐτοῦ οὐκ ἐγίνωσκον ὡς εἰσὶν αὗται· Πυθαγόρας οὖν ἔλεγεν αὐτὰς ἐν τῷ ποιητικῷ εἶναι, καὶ Ἀριστοτέλης δὲ μετ' αὐτὸν ἐν τῷ ποιητικῷ, αὐτὸς δ' ὡς εἴρηται ἐν τῷ παραδειγματικῷ αὐτὰς ἔφησεν εἶναι, αἵπερ ἐπέκειναί εἰσι τοῦ ποιητικοῦ. ἀμέλει γοῦν καὶ φασιν αὐτὸν εὑρηκότα τὰς ἰδέας ἑωρακέναι ἑαυτὸν τετον ἔχοντα ὀφθαλμόν. εὗρεν δὲ καὶ τί ἐστιν αἰών. οἱ γὰρ πρὸ αὐτοῦ αἰῶνα ἔλεγον τὴν ἀπειρίαν τοῦ χρόνου, αὐτὸς δὲ ἔδειξεν ὡς ἄλλη ἐστὶν ἡ ἀπειρία τοῦ χρόνου καὶ ἄλλος ὁ αἰών. εὗρεν δὲ καὶ εἶδος συγγραφῆς τὸ διαλογικόν· εἰ γάρ τις εἴποι ὅτι καὶ Ζήνων πρὸ αὐτοῦ διαλόγους ἔγραψεν καὶ Παρμενίδης, ἐροῦμεν ὅτι οὗτος μάλιστα αὐτῷ ἐχρήσατο.

VI. Ἔζησεν δὲ πά ἐνιαυτούς, καὶ διὰ τούτου δεικνὺς ὡς Ἀπολλωνιακὸς ὢν τυγχάνει· ὁ γὰρ Θ' τῶν Μουσῶν ἀριθμὸς ἐφ' ἑαυτὸν πολλαπλασιαζόμενος ἀπογεννᾷ τὸν πά ἀριθμόν· ὅτι δ' αἱ Μοῦσαι ὑπηρετίδες εἰσὶ τοῦ Ἀπόλλωνος, οὐδεὶς ἀντερεῖ. οὗτος δὲ ὁ πά ἀριθμὸς δυναμοδύναμις λέγεται, ὡς ἂν τοῦ γ' ἀριθμοῦ πρώτου ὄντος, διὰ τὸ ἔχειν αὐτὸν ἀρχὴν καὶ μέσην καὶ τελευτήν, πολλαπλασιαζομένου καὶ ἀπογεννῶντος τὸν Θ' — τριάκις γὰρ τρία Θ' — καὶ τοῦ ἐννέα τὸν πά ἀριθμόν. ἔστιν δὲ καὶ ἐκ τῶν μετὰ τὸν βίον αὐτοῦ τὸ θεῖον αὐτοῦ καταμαθεῖν. γυνή γοῦν τις ἀπῆλθεν χρησομένη, εἰ δεῖ τὴν στήλην αὐτοῦ συντάξαι αὐτὴν τοῖς ἀγάλμασι τῶν θεῶν· ἔχρησεν δ' ὁ θεὸς τάδε·

δόξης ἀντιθέοιο καθηγητῆρα Πλάτωνα

εὖ δρῴης τίουσα, χάρις δέ σ' ἀμείψεται ἐσθλὴ
ἐκ μακάρων, οἷσίν περ ἀνὴρ ἐνάριθμος ἐκεῖνος.

ἄλλος δὲ χρησμὸς ἐδόθη, ὡς δύο παῖδες τεχθήσονται, Ἀπόλλωνος μὲν Ἀσκληπιός, Ἀριστωνος δὲ Πλάτων· ὧν ὁ μὲν ἰατρὸς ἔσται σωμάτων, ὁ δὲ ψυχῶν· καὶ Ἀθηναῖοι δὲ τὴν γενεθλιακὴν αὐτοῦ ἡμέραν ἐπιτελοῦντες ἐπᾴδοντες φάσκουσιν·

ἤματι τῷδε Πλάτωνα θεοὶ δόσαν ἀνθρώποισιν.

ὅρα δὲ καὶ τὴν ὑπεροχήν, ἣν ἔσχεν πρὸς Πυθαγόραν· οὗτος μὲν γὰρ ἀπῆλθεν εἰς Περσίδα, τὴν τῶν μάγων ὠφεληθῆναι θέλων σοφίαν· οἱ δὲ μάγοι διὰ τὸν Πλάτωνα Ἀθήναζε παρεγένοντο, τῆς ἐξ αὐτοῦ μετέχειν φιλοσοφίας γλιχόμενοι.

VII. Ἐπειδὴ τὴν ἱστορίαν τοῦ Πλάτωνος μεμαθήκαμεν, φέρε καὶ τὸ εἶδος τῆς αὐτοῦ φιλοσοφίας διηγησώμεθα. πολλαὶ τοίνυν γεγόνασι πρὸ Πλάτωνός τε καὶ μετὰ Πλάτωνα φιλοσόφων αἱρέσεις καὶ πάντας ὑπερηκόντισεν ἐν τοῖς δόγμασι καὶ τῇ διανοίᾳ καὶ πᾶσιν ἅπαξ ἁπλῶς. ἦσαν δὲ πρὸ αὐτοῦ μὲν αἱρέσεις αὗται· ἥ τε ποιητική, ἧς καθηγεμόνες γεγόνασιν Ὀρφεύς, Ὅμηρος, Μουσαῖός τε καὶ Ἡσίοδος· γέγονεν δὲ καὶ ἀπὸ τοῦ Ἰωνικοῦ διδασκαλείου, ἧς προκατήρξατο Ἡράκλειτος καὶ Θαλῆς καὶ Ἀναξαγόρας· γέγονεν δὲ καὶ ἡ Πυθαγόρου καὶ Παρμενίδου. μετὰ Πλάτωνα δὲ γέγονεν ἡ Στωικὴ καὶ ἡ Ἐπικούρειος καὶ ἡ Περιπατητικὴ καὶ ἡ τῆς νέας Ἀκαδημίας· διαφέρουσι δὲ οἱ τῆς νέας Ἀκαδημίας τῶν ἐφεκτικῶν τῷ τοὺς μὲν ἐφεκτικοὺς ὁμοίως λέγειν διὰ πάντων τῶν ὄντων πεφοιτηκέναι, τοὺς δὲ τῆς νέας Ἀκαδημίας οὐχ ἁπάντων ὁμοίως, ἀλλ' εἶναί τινα τῶν πραγμάτων, ἃ σαίνουσι τὴν ἡμετέρην ψυχήν, καὶ συγκατάθεσιν μετρίαν. πασῶν τούτων κρείττων ὤφθη ὁ Πλάτων. ἀπώνατο μὲν γὰρ τῆς ποιητικῆς τὸ ὑμνῆσαι τὴν τάξιν τῶν ὄντων, ὑπερέβαλεν δ' αὐτὴν τῷ τοὺς μὲν ποιητὰς ἄνευ ἀποδείξεως καὶ ὡς αὐτός φησι μαινομένῳ καὶ ἐνθουσιῶντι στόματι, αὐτὸν δὲ μετ' ἀποδείξεως ἅπαν εἰρηκέναι· ὑπερέβαλεν δ' αὐτοὺς καὶ τῷ εὐσχήμονι τῶν μύθων. ἐκεῖνοι γὰρ ὡς ἔτυχεν ἔπλεκον τοὺς μύθους, αὐτὸς δέ φησιν, ὅτι χρὴ ἔχειν τινὰ τοὺς μέλλοντας πλέκειν περὶ θεοῦ μῦθον, οἷς προσέχοντες καὶ ἐντυγχάνοντες οὐκ ἀπατήσονται. δεῖ γὰρ εἰδέναι, ὡς ὁ θεὸς ἀγαθός ἐστι καὶ οὐδαμῶς προβάλλεται τὸ ψεῦδος, οὔτε δι' ἄγνοιαν τοῦ ἀληθοῦς οὔτε διὰ ἀπατηλόν τι· καὶ ὅτι πᾶς θεὸς ἀμετάβλητος καὶ ἄτρεπτος, οὔτε

γὰρ ἐπὶ τὸ χεῖρον μεταβάλλει οὔτε ἐπὶ τὸ κρεῖττον, διότι τὸ μὲν οὐ πέφυκε, τὸ δὲ οὐ δύναται· οὐ πέφυκεν ἐπὶ τὸ χεῖρον μεταβάλλειν, οὐ δύναται δ' ἐπὶ τὸ κρεῖττον, αὐτόχρημα κρείττων ὑπάρχων ἁπάντων. τοῦτό ἐστι τὸ εὔσχημον τῶν μύθων. ταῦτα δεῖ ἐν νῷ ἔχειν τοὺς ἐντυγχάνοντας μύθῳ, ἵνα μὴ οἱ παῖδες ἀδικῶνται, ἀλλ' εὐθέως τῷ ἐκπύπτειν αὐτοὺς ἐκ τῶν εἰρημένων μὴ ἀναμείνωσιν δίκην τῶν Αἰσωπείων μύθων τὸ ἐπιμύθιον, ἐξ αὐτοῦ τὸ χρήσιμον τοῦ μύθου μαθεῖν βουλόμενοι, ἀλλ' εὐθέως φανῇ αὐτοῖς τὸ ἐν τούτοις ἀγαθόν. οἱ γὰρ παῖδες, εἰ μὴ τούτοις προσέχουσι, δυσεκνίπτως μέλλουσιν ἕξειν ὃ κακῶς ἤκουσαν.

VIII. Ὑπερέβαλεν οὖν τοὺς ποιητὰς τῷ τε ἀποδεικτικωτέρῳ καὶ εὐσχημονεστέρῳ· ὑπερέβαλεν δὲ καὶ τοὺς ἐκ τοῦ Ἰωνικοῦ διδασκαλείου, οἵτινες καὶ φυσικοὶ ἦσαν. δεῖ γὰρ εἰδέναι, ὅτι εἰ καὶ ἔλεγον εἶναι τὰ συναίτια, οὗτος δὲ διέκρινεν αὐτὰ ἀπ' ἀλλήλων καὶ εἶπεν, ποῖά ἐστιν τὰ αἴτια, ὅτι παραδειγματικόν, ποιητικόν, τελικόν· εἰ δὲ καὶ Ἀναξαγόρας ὥσπερ ἐκ βαθέος κάρου ὀνειρώττων λέγει ποιητικὸν εἶναι αἴτιον τὸν νοῦν, ὅμως οὐκ ἐχρῆτο αὐτῷ ἐν τῇ γενέσει καὶ φθορᾷ, ἀλλ' ἠτιᾶτο δίνας ἀέρων καὶ ἀνέμους, μηδαμοῦ τὸν νοῦν αἰτιώμενος. πάλιν δ' ἐκείνων λεγόντων, ὡς ὕλη ἐστὶν τὰ στοιχεῖα, ἔδειξεν αὐτός, ὅτι οὐδὲ συλλαβῶν λόγον ἐπέχουσι· φησὶ γὰρ ὅτι τοῖς μὲν κδ στοιχείοις ἔοικεν ἡ ἀνείδεος ὕλη, ταῖς δὲ συλλαβαῖς τὸ ἄποιον σῶμα, ταῖς δὲ λέξεσι τὰ δ' στοιχεῖα, ὥστε οὐδὲ συλλαβῶν λόγον ἐπέχουσι. καὶ τούτων ἄρα ὑπεραίρει ὁ Πλάτων, καί ἐστι τῶν μὲν πρώτων ἀποδεικτικώτερος, τῶν δὲ δευτέρων ἐνθεαστικώτερος. καὶ τῶν Πυθαγορείων δ' ἀπώνατο μὲν τὸ δι' ἀριθμῶν σημαίνειν τὰ πράγματα· ἀμέλει ἐν τῷ Τιμαίῳ ἐχρήσατο τούτῳ τῷ τρόπῳ· ὑπερῆρεν δὲ καὶ αὐτοὺς τῷ σαφεστέρῳ ἅμα καὶ ἀποδεικτικωτέρῳ, ἐν αὐτῷ γὰρ τῷ Τιμαίῳ φαίνεται σαφέστερον καὶ ἀποδεικτικώτερον δεικνὺς δι' ἀριθμῶν τὰ πράγματα. τὴν Παρμενίδου δ' ὑπερῆρεν φιλοσοφίαν τῷ ἐκεῖνον μὲν λέγειν ἀρχὴν εἶναι τῶν ὄντων τὸ ὄν, τοῦτον δὲ δεῖξαι, ὡς οὐκ ἔστι τοῦτο, ἀλλὰ πρὸ τούτου ἔστι τὸ ἕν· εἰ γὰρ τὸ ὂν ἦν, πάντα ἔμελλε τοῦ ὄντος ἐφίεσθαι· πάντα γὰρ ἤρτηται τῆς οἰκείας ἀρχῆς· νυνὶ δὲ ὁρῶμέν τινας τοῦ εἶναι καταφρονοῦντας διὰ μεῖζον ἀγαθόν· οὐκ ἄρα τὸ ὄν ἐστιν ἡ μία τῶν πάντων ἀρχή, ἀλλὰ τὸ ἕν, ὅπερ τοῦ ὄντος ἐπαναβέβηκεν.

IX. Τῶν μὲν οὖν πρὸ αὐτοῦ φιλοσόφων τὰ πρωτεῖα ἔσχεν διὰ τοὺς προειρημένους λόγους· ὑπερῆρεν δὲ καὶ τοὺς μετ' αὐτὸν ἅπαντας. τῶν μὲν Στωικῶν κρείττων ἐφάνη διὰ τὸ ἐκείνους μὲν πάντα τὰ ὄντα σώματα λέγειν, τοῦτον δὲ δεῖξαι, ὡς εἰσὶ καὶ ἀσώματά τινα. ἔδειξεν γὰρ τὴν ψυχὴν ἀσώματον οὖσαν· εἰ δὲ ἀσώματός ἐστι, καὶ οἱ πρὸ αὐτῆς ἄγγελοι ἀσώματοι ἔσονται, καὶ ὁ νοῦς ὁ πρὸ τούτων καὶ τὸ πρῶτον αἴτιον, ὃ τὸ ἀγαθὸν καλεῖ. καὶ τοὺς Ἐπικουρείους δὲ ὑπερέβαλεν. οὗτοι γὰρ ἔλεγον ἀπρονόητα εἶναι τὰ τῇδε καὶ μέχρι τῶν οὐρανίων σωμάτων προέρχεσθαι τὴν πρόνοιαν τοῦ δημιουργοῦ· πράγματα γάρ φασιν ἔχειν ἔμελλεν καὶ πόνους ὑπομένειν, εἰ καὶ τούτων προυνοεῖτο. ἔδειξεν δ' ὁ Πλάτων, ὡς καὶ τὰ τῇδε προνοίας ἐστίν, καὶ ἐξέφυγε μὲν τά τε τῶν προτέρων ἄτοπα καὶ τὰ τῶν δευτέρων, εἵλετο δὲ τὰ ἐν ἀμφοτέροις ἀληθῆ. τοῖς γὰρ προτέροις, τοῖς Στωικοῖς λέγω, σώματα λέγουσι πάντα τὰ ὄντα ἔπεται ἄτοπον, ὡς μοχλείας καὶ ἀφῆς ὁ δημιουργὸς δεήσεται, εἰ μέλλοι τὰ τῇδε διοικεῖν· ἡ γὰρ τῶν σωμάτων πεῖσις διὰ μοχλείας γίνεται, ὅταν ἄλλο σῶμα ᾖ τὸ ποιοῦν εἰς αὐτό. τοῦτο οὖν ἑπόμενον ἄτοπον αὐτοῖς ἐξέφυγεν διὰ τοῦ δεῖξαί τινα ἀσώματα ὄντα, ἐξελέξατο δὲ τὸ προνοεῖσθαι τῶν τῇδε τὸ θεῖον· ἄτοπον δ' ἠκολούθει τοῖς Ἐπικουρείοις τὸ μὴ πάντων πρόνοιαν ποιεῖσθαι τὸν δημιουργόν, ὃ διαπέφευγεν ὁ Πλάτων· οὐδὲ γὰρ ὡς ἐκεῖνοι διὰ μοχλείας φασὶ γίνεσθαι τὴν πρόνοιαν· ἀσώματος γὰρ ὢν οὐδενὶ πόνῳ οὐδὲ κόπῳ τὴν τοιαύτην ποιεῖται πρόνοιαν. πρὸς δὲ τοῖς εἰρημένοις καὶ τῶν Περιπατητικῶν ἔσχεν τι πλέον· τούτων γὰρ οἰομένων τὴν πάντων ἀρχὴν εἶναι τὸν νοῦν, ἔδειξεν ὡς πρὸ τοῦ νοῦ ἔστι τὸ ἓν καὶ πρὸ τῶν ἄλλων ἁπάντων. εἰ γὰρ ὁ νοῦς ἦν ἡ ἀρχὴ τῶν ὄντων, ἅπαντα ἔμελλε νοεῖν τῷ πάντα τῆς οἰκείας ἠρτῆσθαι ἀρχῆς· νυνὶ δὲ ὁρῶμέν τινα μὴ νοοῦντα, οὐκ ἄρα ὁ νοῦς ἐστὶν ἡ ἀρχή. καὶ τῷ τοὺς Περιπατητικοὺς λέγειν τελικὸν πάντων τῶν ὄντων εἶναι τὸν νοῦν, τοῦτον δὲ τὸν Πλάτωνα δεῖξαι ὅτι καὶ ποιητικόν ἐστιν αἴτιον οὐ τελικὸν τῶν ὄντων [τὸ ἕν]· καὶ ἄλλως δυνάμεθα δεῖξαι, ὅτι οὐκ ἔστι πρῶτον αἴτιον ὁ νοῦς· εἰ γὰρ ἦν, ἐπειδὴ πολλά ἐστιν εἴδη, πολλοὶ ἔσονται νοῖ· εἰ δὲ τοῦτο, πλῆθος ἔσται ἡ ἀρχή, ὅπερ ἄτοπον· δεῖ γὰρ τὴν ἀρχὴν ἀπὸ ἑνὸς ἄρξασθαι.

X. Ἀλλὰ καὶ τὴν τῶν νέων Ἀκαδημαϊκῶν ὑπερέβαλεν

φιλοσοφίαν τῷ ἐκείνην ἀκαταληψίαν πρεσβεύειν, δεῖξαι δὲ τοῦτον, ὡς εἰσὶν ἐπιστημονικαὶ καταλήψεις τινές. λέγουσι δέ τινες συνωθοῦντες τὸν Πλάτωνα εἰς τοὺς ἐφεκτικούς τε καὶ τοὺς *νέους* Ἀκαδημαϊκούς, ὡς καὶ αὐτοῦ ἀκαταληψίαν εἰσάγοντος, καὶ κατασκευάζουσι τοῦτο ἐκ τῶν εἰρημένων αὐτῷ ἐν τοῖς συγγράμμασιν αὐτοῦ· λέγει τοίνυν, φασίν, ἐπιρρήματά τινα ἀμφιβολά τε καὶ διστατικὰ περὶ πραγμάτων διαλεγόμενος, οἷόν ἐστι τὸ εἰκὸς καὶ τὸ ἴσως καὶ τάχ' ὡς οἶμαι· τοῦτο δ' οὐκ ἐπιστήμονός ἐστιν, ἀλλά τινος μὴ καταλαβόντος τὴν ἀκριβῆ γνῶσιν. πρὸς τούτους δέ φαμεν, ὡς ταῦτά φησιν οἷον προσδιοριζόμενος, ὅπερ οὐ ποιοῦσιν οἱ ἐφεκτικοί· οὔτε γὰρ ἀκριβῶς διαλέγονται οὔτε προσδιορίζονται, εἴπερ πάντων ἀκαταληψίαν λέγουσι. δεύτερον λόγον λέγουσιν ὅτι ἐξ ὧν τὰ ἐναντία περὶ τῶν αὐτῶν κατασκευάζει, δῆλός ἐστιν ἀκαταληψίαν πρεσβεύων· οἷον περὶ φιλίας ἐν τῷ Λύσιδι διαλεγόμενος τἀναντία κατεσκεύασεν, καὶ περὶ σωφροσύνης ἐν τῷ Χαρμίδῃ, καὶ περὶ ὁσιότητος ἐν τῷ Εὐθύφρονι. πρὸς τούτους δὲ ἐροῦμεν, ὅτι εἰ καὶ τἀναντία κατεσκεύασεν, ἀλλ' οὖν τελευταῖον ἐπέκρινε τὴν ἀλήθειαν. τρίτον λέγουσιν, ὅτι οὐκ οἴεται ἐπιστήμην εἶναι, καὶ δῆλον ἐξ ὧν πᾶσαν ἀπόδοσιν τῆς ἐπιστήμης καὶ τὸν ἀριθμὸν ἀνεσκεύασεν ἐν Θεαιτήτῳ· πῶς οὖν κατάληψιν φήσομεν τὸν τοιοῦτον πρεσβεύειν; πρὸς οὓς ἐροῦμεν, ὅτι ὁ Πλάτων οὐκ οἴεται ἀγράφῳ γραμματείῳ ἐοικέναι τὴν ψυχήν, ἀλλὰ νομίζει αὐτὴν ἀνακαλύψεως δεῖσθαι μόνης πρὸς τὸ νῆψαι καὶ ἰδεῖν τὰ πράγματα· ἐπεὶ ἔχει τὴν ἐπιστήμην ἐν αὐτῇ, ἀμβλυώττει δὲ διὰ τὴν πρὸς τὸ σῶμα συνάφειαν. μόνης οὖν καθάρσεως δεῖται· διὸ τοὺς κακῶς εἰρημένους περὶ ἐπιστήμης λόγους ἀνεσκεύασεν, ἐάσας ψυχῆς ἄπο καθαρθείσης νοῆσαι τὸ ἀληθές. τέταρτον λέγουσι λόγον τοιοῦτον· εἰ διττὴν οἴεται τὴν γνῶσιν ὁ Πλάτων, τὴν μὲν δι' αἰσθήσεως, τὴν δὲ διὰ νοῦ γινομένην, ἑκατέραν δὲ λέγει σφάλλεσθαι, δῆλον ὡς ἀκαταληψίαν πρεσβεύει. φησὶ γάρ· οὐδὲν οὔτε ὁρῶμεν οὔτε ἀκούομεν ἀκριβῶς, ἀλλὰ διαμαρτάνουσιν αἱ αἰσθήσεις· καὶ πάλιν περὶ τῶν νοητῶν φησίν, ὅτι ἡ ψυχὴ ἡμῶν προσπεπλεγμένη κακῷ τούτῳ τῷ σώματι οὐδὲν νοεῖ. πρὸς οὓς ἐροῦμεν· ὅταν εἴπῃ, ὅτι αἱ αἰσθήσεις οὐκ ἀντιλαμβάνονται τῶν αἰσθητῶν, τοῦτο λέγει, ὅτι τὴν οὐσίαν τῶν αἰσθητῶν οὐ γινώσκουσιν· ἐπεὶ τοῦ πάθους τοῦ εἰς αὐτὰς ἐξ αὐτῶν τῶν αἰσθητῶν γινο-

μένου ἀντιλαμβάνονται, οὐκ ἴσασι δὲ τὴν οὐσίαν αὐτήν, καθ' αὑτὰς οὖσαι. οἷον ἡ ὄψις διακρινομένη μὲν ὑπὸ λευκοῦ αἰσθάνεται, τί δ' ἔστι λευκόν, καθ' αὑτὴν οὐκ οἶδεν, ἀλλὰ συμπλεκομένη τῇ φαντασίᾳ διαγινώσκει· ὥσπερ καὶ ἡ δόξα οὐκ οἶδεν καθ' αὑτὴν οὖσα ἅπερ οἶδεν μετὰ τῆς διανοίας. πάλιν ὅταν εἴπῃ, ὅτι ἡ ψυχὴ οὐ νοεῖ συνοῦσα τῷ κακῷ τούτῳ, οὐ περὶ πάντων τῶν ἀνθρώπων λέγει τοῦτο, ἀλλὰ περὶ τῶν ἐνύλως ζώντων· ἐκεῖνοι γὰρ καὶ ἡττωμένην ἔχουσι τὴν ψυχὴν ὑπὸ τοῦ σώματος, οὓς καὶ σπαρτικοὺς ἀλλαχοῦ ὀνομάζει δίκην φυτῶν ἀποβλαστάνοντας· οἱ δὲ καθαροὶ καὶ ὑπ' αὐτοῦ ἀλλαχοῦ οὐρανοπολῖται λεγόμενοι, οὗτοι νοοῦσιν. πέμπτος λόγος ἐστὶν οὗτος· αὐτὸς φασι λέγει ἐν διαλόγῳ αὐτοῦ, ὅτι οὐδὲν οἶδα οὐδὲ διδάσκω τί, ἀλλὰ διαπορῶ μόνον· ὅρα οὖν, πῶς ὁμολογεῖ ἰδίῳ στόματι μηδὲν κατειληφέναι. λέγομεν δὲ καὶ πρὸς τούτους, ὅτι ὅταν εἴπῃ οὐδὲν οἶδα, ὡς πρὸς τὴν τῶν Θεῶν γνῶσιν τὴν ἰδίαν παραβάλλει γνῶσιν· ἐκείνη γὰρ ἄλλη ἐστὶ παρὰ τὴν ἡμετέραν. μόνη γὰρ ψιλὴ γνῶσις ἡ ἡμετέρα, ἡ δὲ τοῦ Θεοῦ ἔμπρακτος· κἀκείνη μὲν ἁπλῇ ἐπιβολῇ γινώσκει, ἡμεῖς δὲ δι' αἰτίων καὶ προτάσεων. πάλιν δ' οὐδένα διδάσκω λέγει ἀντὶ τοῦ οὐδενὶ ἐντίθημι τὰ δόγματα· οὐ γὰρ ἀγράφῳ ὥσπερ εἴρηται γραμματείῳ εἰκάζει τὴν ψυχήν, ὡς ἐγγράψαι αὐτῇ μὴ ἐχούσῃ τὰ πράγματα, ἀλλ' ὡς ἂν εἰς φῶς ἄγων καὶ μόνον ἀναμιμνήσκων ἀνακαθαίρει δίκην τῶν ἐκματτόντων τὰς λήμας τὰς ἐπιπροσθούσας τοῖς ὀφθαλμοῖς. ἀμέλει, ὡς ἀλλαχοῦ λέγει, ὁ ἐρωτώμενός ἐστιν ὁ συμπεραίνων· διὰ τοῦτο ὃ δοκεῖ αὐτῷ δίδωσιν.

XI. Ὅτι *δὲ* τὸ διαπορεῖν ὁδός ἐστι πρὸς τὸ καταλαβεῖν, παντὶ δῆλον· καὶ ἄλλως εἰρηκὼς οὐδὲν οἶδα προσέθηκεν ὅτι πλὴν ὀλίγου τινὸς καὶ τοῦτο τοῦ λαμβάνειν λόγον καὶ διδόναι ἀντὶ τοῦ διαλέγεσθαι· οἶδεν ἄρα τὴν διαλεκτικήν. λέγει δὲ πάλιν εἰδέναι ἀλλαχοῦ τὰ ἐρωτικά, ὥσπερ ἐν ἄλλοις τὴν μαιείαν· καὶ διὰ τούτων τῶν τριῶν φαίνεται ἐν τῷ Φαίδρῳ ἀνυμνῶν τὸ Θεῖον, ἀγαθὸν αὐτὸ λέγων καὶ καλὸν καὶ σοφόν. ὥσπερ γὰρ ἡ διαλεκτικὴ διὰ πασῶν τῶν ἐπιστημῶν πεφοίτηκεν, καὶ πάντα τοῦ ἀγαθοῦ ὀρέγεται· διὰ τοῦτο οὖν ἀναλογεῖν ἔφη ἐκεῖ τῇ διαλεκτικῇ τἀγαθόν, τῇ δὲ ἐρωτικῇ τὸ καλόν· τῶν γὰρ καλῶν ἐρῶμεν· τῇ δὲ μαιευτικῇ τὸ σοφόν. ὥσπερ γὰρ τοῦ σοφοῦ ἔργον τὸ τὰ ἐν βάθει κρυπτόμενα τῆς ψυχῆς εἰς φῶς ἄγειν καὶ τὰς ὠδῖνας αὐτῆς

ἐκφαίνειν, οὕτω καὶ τῆς μαιευτικῆς ἔργον τὸ ἐν βάθει ὂν παιδίον ἐκφέρειν. ἐπεὶ οὖν οὕτως τοὺς ἐκείνου λόγους ἀνεγράψαμεν, φέρε δὲ καὶ αὐτὸ καθ' αὑτὸ δείξομεν, ὡς οὐκ ἦν τῆς δόξης ταύτης ὁ Πλάτων. πῶς γὰρ ἔχει εἶναι τοιοῦτος ὁ εἰρηκὼς καὶ ἀποφηνάμενος, ὡς οὐδὲν καυχήσεται φυγεῖν τὴν τῆς διαιρέσεως μέθοδον; καὶ πάλιν τὸν Σωκράτην ἐν Γοργίᾳ εἰσφέρει λέγοντα καὶ ὁμολογεῖν ποιοῦντα τὸν προσδιαλεγόμενον ταῖς ἐκείνου ἐρωτήσεσιν· ἀμέλει γοῦν φησίν, εἰ μὴ σαυτοῦ λέγοντος [μὴ] ἀκούσῃς, ἄλλου λέγοντος μὴ πεισθῇς· πῶς οὖν ἐφεκτικὸν τὸν τοιοῦτον λογισόμεθα;

XII. Ἐπειδὴ τοίνυν μεμαθήκαμεν, ὡς πασῶν προΰχει ἡ τούτου φιλοσοφία καὶ ὡς δογματικός ἐστι καὶ οὐκ ἐφεκτικός, φέρε καὶ τὴν πρόοδον καὶ τὴν τάξιν τῶν ὄντων τὴν κατὰ Πλάτωνα ὑφηγησόμεθα. οὗτος τοίνυν μίαν ἔλεγεν τῶν πάντων ἀρχὴν καὶ οὐ δύο ὡς Ἐμπεδοκλῆς οὐδὲ ἀπείρους ὡς οἱ Ἐπικούρειοι, καὶ ταύτην οὐ σῶμα ὡς οἱ Στωικοί, ἀλλὰ ἀσώματον· καὶ ἀσώματον οὐ ζωήν, ἣ γὰρ ἂν πάντα ἔζων, οὐδὲ ψυχὴν οὐδὲ νοῦν οὐδ' ὄν, διὰ τὰ αὐτὰ ἄτοπα, ἀλλὰ τὸ ἕν, ὃ καὶ ταγαθὸν καλεῖ. μετὰ τοῦτό φησιν εἶναι τὸ πέρας καὶ τὸ ἄπειρον, καὶ μετὰ ταῦτα τὸν νοητὸν κόσμον. μετὰ τοῦτο τοὺς ὑπερκοσμίους θεούς· μετὰ ταῦτα τοὺς ἐγκοσμίους· μετὰ ταῦτα ἀγγέλων γένη ιβ', εἶτα τῶν ἀνθρώπων ψυχάς, καὶ οὕτως τὰς τῶν ἀλόγων ζώων· καὶ ἐφεξῆς τὴν φυτικὴν ψυχήν, καὶ οὕτως τὸ σῶμα τὸ ἔνυλον καὶ ἄϋλον καὶ θνητὸν καὶ ἀθάνατον· καὶ ἔνυλον εἶδος καὶ τελευταῖον τὴν ὕλην.

XIII. Ἐπεὶ δὲ τοῦ Πλάτωνος τὴν ἱστορίαν μεμαθήκαμεν καὶ τὸ εἶδος τῆς αὐτοῦ φιλοσοφίας, φέρε καὶ τρίτου κεφαλαίου ἀπαρξόμεθα καὶ διαλεχθῶμεν περὶ τῶν συγγραμμάτων αὐτοῦ. πρῶτον δὲ ἐπιλυσώμεθα τὴν ἀπορίαν τὴν φερομένην διὰ τὸ συγγραφῆς ἀξιῶσαι τὰ οἰκεῖα δόγματα. αὐτὸς γάρ φησιν ἐν Φαίδρῳ διαβάλλει τοὺς συγγραφομένους διὰ τὸ ἄψυχα ὄντα τὰ συγγράμματα μὴ δύνασθαι λόγον δοῦναι πρὸς τὸν ἀποροῦντα, ἅτε δὴ τὸ αὐτὸ φθεγγόμενα καὶ μὴ δυνάμενα ἀπορίαν φερομένην κατ' αὐτῶν ἐπιλύσασθαι· οὐ δεῖ οὖν, φησί, συγγράφειν, ἀλλὰ μαθητὰς δεῖ καταλιμπάνειν, οἵτινές ἐστιν ἔμψυχα συγγράμματα. τοῦτο γὰρ καὶ οἱ πρὸ αὐτοῦ εἰώθεσαν ποιεῖν· ὅθεν Σωκράτης καὶ Πυθαγόρας ἑταίρους μόνον, οὐ μὴν καὶ συγγράμματα καταλελοίπασιν. καὶ ταῦτα μὲν ἡ ἀπορία· ἡμεῖς δὲ

λέγομεν, ὅτι καὶ ἐν τούτῳ τὸ θεῖον μιμούμενος συγγράφειν ἠξίωσεν, μεῖζον ἀγαθὸν ἀντὶ ἐλάττονος κακοῦ αἱρούμενος. ὥσπερ γὰρ ἐκεῖνό τινα τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων ἀφανῆ ἐποίησεν, οἷά εἰσι τὰ ἀσώματα πάντα, ἄγγελοι καὶ ψυχαὶ καὶ νοῦ καὶ ἄλλα τοιαῦτα, τινὰ δὲ ὑποπίπτοντα τῇ ἡμετέρᾳ αἰσθήσει καὶ φανερὰ τυγχάνοντα, οἷά ἐστι τὰ οὐράνια σώματα καὶ τὰ ἐν γενέσει καὶ φθορᾷ, οὕτως καὶ αὐτός τινα μὲν ἐγγράφως παραδέδωκεν, τινὰ δὲ ἀγράφως καὶ μὴ ὑποπίπτοντα τῇ αἰσθήσει δίκην τῶν ἀσωμάτων, οἷά εἰσι τὰ ἐν * συν * ουσίαις εἰρημένα αὐτῷ· ἀμέλει γοῦν καὶ Ἀριστοτέλει γέγραπται περὶ τῶν ἀγράφων συνουσιῶν Πλάτωνος. ἵνα οὖν κἀν τούτῳ δείξῃ τὴν πρὸς τὸ θεῖον φιλίαν, ἐσπούδασεν αὐτὸ μιμήσασθαι· οἱ γὰρ φίλοι μιμεῖσθαι ἑαυτοὺς σπουδάζουσι.

XIV. Καὶ ταῦτα μὲν περὶ τούτων· ἄξιον δ' ἐστὶ ζητῆσαι, διὰ τί διαλογικῷ χαρακτῆρι ἐχρήσατο· ἀλλὰ πρὶν ἢ τούτου τὴν αἰτίαν μάθωμεν, εἴπωμεν, τί ἐστι διάλογος. διάλογος τοίνυν ἐστὶ λόγος ἄνευ μέτρου ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως ποικίλων προσώπων συγκείμενος μετὰ τῆς προσηκούσης αὐτοῖς ἠθοποιΐας· τὸ δ' ἄνευ μέτρου πρόσκειται διὰ τὸν κωμικὸν καὶ τραγικὸν λόγον ἔμμετρον ὄντα· σύγκειται γὰρ καὶ αὐτὸς ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως ποικίλων προσώπων μετὰ τῆς δεούσης ἠθοποιΐας. ἄξιον δ' ἐστὶ ζητῆσαι, διὰ τί, ἀλλαχοῦ τοῦ Πλάτωνος διαβάλλοντος τὰ ποικίλα τῶν πραγμάτων — ἀμέλει τὴν αὐλητικὴν διαβάλλει ὡς ποικίλοις καὶ πολυτρήτοις ὀργάνοις χρωμένην, καὶ τὴν κιθαριστικὴν ὡς διαφόροις χορδαῖς, καὶ τὴν κωμικὴν διὰ τὸ διάφορον τῶν προσώπων, ὁμοίως δὲ καὶ τὴν τραγικήν — ταῦτα οὖν διὰ τοῦτο διαβάλλων διὰ τί αὐτὸς ἐκ ποικίλων προσώπων συγκειμένου τοῦ διαλόγου κέχρηται τῇ τοιαύτῃ συγγραφικῇ ἰδέᾳ· ἢ ἐκεῖνο δεῖ λέγειν, ὡς οὐκ ἔστι τοιοῦτον τὸ ποικίλον τῶν προσώπων τῶν παρὰ κωμῳδοῖς καὶ τραγῳδοῖς οἷόν ἐστι τὸ παρὰ Πλάτωνι; ἐν ἐκείνοις γὰρ ἀγαθῶν καὶ κακῶν ὄντων προσώπων ἐπὶ ταὐτὸ μένειν συμβαίνει τὰ πρόσωπα, παρὰ Πλάτωνι δέ, εἰ καὶ ἔστι τοῦτο εὑρεῖν, ἀγαθὰ λέγω καὶ κακὰ πρόσωπα, ἀλλ' ἔστιν ἰδεῖν ἀμειβόμενα τὰ κακὰ ὑπὸ τῶν ἀγαθῶν καὶ διδασκόμενα καὶ καθαιρόμενα καὶ τῆς ἐνύλου ζωῆς ἀπαναχωροῦντα πάντως· ὥστε ἄλλο ἐστὶ τὸ παρ' ἐκείνοις ποικίλον καὶ ἄλλο τὸ παρὰ τούτῳ· οὐκ ἄρα τοῖς ἐναντίοις ὑπέπεσεν.

XV. Δεῖ οὖν εἰπεῖν τὰς αἰτίας, δι' ἃς τοιούτῳ εἴδει συγγραφῆς ἐχρήσατο· λέγομεν τοίνυν, ὅτι τοῦτο ἐποίησεν, ἐπειδὴ ὁ διάλογος οἷον κόσμος ἐστί. ὥσπερ γὰρ ἐν τῷ διαλόγῳ διάφορα πρόσωπά ἐστιν ἐφεγγόμενα καθὼς ἑκάστῳ πρέπει, οὕτω καὶ ἐν τῷ ὅλῳ κόσμῳ διάφοροί εἰσι φύσεις φθογγὴν διάφορον ἀφιεῖσαι· φθέγγεται γὰρ ἕκαστος κατὰ τὴν οἰκείαν φύσιν. μιμούμενος οὖν τὰ θεῖα δημιουργήματα, τὸν κόσμον λέγω, καὶ τοῦτο ἐποίησεν· ἢ οὖν διὰ τοῦτο ἢ ἐπειδὴ ὁ κόσμος διάλογός ἐστι. ὥσπερ γὰρ ἐν τῷ κόσμῳ εἰσὶ φύσεις τινὲς μὲν ὑπέρτεραι, τινὲς δὲ καταδεέστεραι, καὶ ἐμμένουσα ἡ ψυχὴ ποτὲ μὲν τοῖς ὑπερτέροις συντίθεται, ποτὲ δὲ τοῖς ὑποδεεστέροις, οὕτως καὶ ἐν τῷ διαλόγῳ ἐστὶ πρόσωπά τινα μὲν ἐλέγχοντα, τινὰ δὲ ἐλεγχόμενα, καὶ ἡ ψυχὴ ἡμῶν οἷον δικαστής τις οὖσα ποτὲ μὲν τοῖς ἐλέγχουσιν ἐκδίδωσιν ἑαυτήν, ποτὲ δὲ τοῖς ἐλεγχομένοις. ἢ ἐπειδή, ὡς αὐτὸς λέγει ὁ Πλάτων, ὁ λόγος ζῴῳ ἀναλογεῖ, οὐκοῦν καὶ τῷ καλλίστῳ τῶν ζώων ὁ κάλλιστος λόγος ἀναλογήσει· κάλλιστον δὲ ζῶόν ἐστιν ὁ κόσμος, τούτῳ δὲ ἀναλογεῖ ὁ διάλογος, ὡς ἀνωτέρω εἰρήκαμεν· ὁ διάλογος ἄρα κάλλιστός ἐστι λόγος. τέταρτος λόγος ἐστὶ τοιοῦτος· ἐπειδὴ ἡ ἡμετέρα ψυχὴ τῇ μιμήσει χαίρει, μίμησις δ' ὁ διάλογος διαφόρων προσώπων, ἵνα οὖν οἷον θέλῃ τὴν ἡμετέραν ψυχήν, τοῦτο πεποίηκεν. ὅτι δὲ χαίρει τῇ μιμήσει ἡ ψυχὴ ἡμῶν, δηλοῖ τὸ παῖδας ἡμᾶς ὄντας φιλομύθους εἶναι. ἕτερος δ' ἐστὶν ἐπὶ τούτῳ λόγος τοιοῦτος, ὅτι διὰ τοῦτο τοιοῦτον εἶδος συγγραφῆς ἐπετήδευσεν, ἵνα μὴ ψιλὰ τὰ πράγματα καὶ γυμνὰ προσώπων παραδῷ ἡμῖν· οἷον περὶ φιλίας διαλεγόμενος, ἵνα μὴ αὐτῆς ψιλῆς μνημονεύσῃ, ἀλλὰ τῆς ἐν τῷδε γενομένης, καὶ περὶ φιλοτιμίας οὐκ αὐτῆς καθ' ἑαυτῆς, ἀλλὰ τῆς ἐν τῷδε· οὕτως γὰρ μᾶλλον ἡ ἡμετέρα ψυχὴ ὁρῶσα ἄλλους οἷον ἐλεγχομένους ἢ ἐπαινουμένους ἀναγκάζεται συγκατατίθεσθαι τοῖς ἐλέγχοις ἢ ζηλοῦν τοὺς ἐπαινουμένους. καὶ ἔοικεν τοῦτο ταῖς ὁρώσαις ψυχαῖς ἐν Ἅιδου ἄλλας ἁμαρτήμασι τιμωρουμένας καὶ σωφρονούσαις τῷ φόβῳ τῶν τιμωριῶν τῶν ἐν ἐκείναις γινομένων. ἕκτον διὰ τὸ διαλεκτικὴν μιμήσασθαι τὸ διαλογικὸν εἶδος ἐπετήδευσεν· ὥσπερ γὰρ ἐκεῖνο ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως προέρχεται, οὕτως καὶ ὁ διάλογος ἐκ προσώπων ἐρωτωμένων καὶ ἀποκρινομένων· ἵνα οὖν δίκην τῆς διαλεκτικῆς ἀναγκαζούσης τὴν ψυχὴν τὰς ὠδῖνας, ἃς ἐν αὐτῇ ἔχει, τῶν πραγμάτων ἐκφά-

ναι — οὐ γὰρ ἀγράφῳ γραμματείῳ ἔοικεν ἡ ψυχὴ κατ' αὐτόν — συγκατατίθεσθαι τοῖς λεγομένοις, τούτου χάριν τοιούτῳ τρόπῳ συγγραφῆς ἐχρήσατο. ἕβδομον ἵνα οἷον πρόσσχωμεν τοῖς λεγομένοις τῷ διαφόρους εἶναι τοὺς λέγοντας, καὶ μὴ ἑνὸς ὄντος ἀεὶ τοῦ διδάσκοντος οἷον ἀπονυστάξωμεν καὶ πάθωμεν, ὅπερ Αἰσχίνης [ἐπεπόνθη] ὁ ῥήτωρ παριὼν διὰ τὸ εἷς εἶναι καὶ ὁ αὐτὸς ὁ λέγων ἀπ' ἀρχῆς ἄχρι τέλους πέπονθεν. οὗτος γὰρ ἐν βήματι ὢν καὶ λέγων διὰ τὸ μὴ προσδιαλέγεσθαι καὶ ἐρωτᾶν καὶ ἐρωτᾶσθαι οὐ διήγειρεν τοὺς ἀκροατάς, ἀλλ' εἰς ὕπνον κατηνέχθησαν οἱ δικάζοντες· ὅπερ ἑωρακὼς ὁ ῥήτωρ φησὶ πρὸς αὐτούς· γένοιτο ὑμᾶς ὄναρ χρηστὸν ἑωρακέναι περὶ τῆς δίκης. οἱ οὖν προσδιαλεγόμενοι διὰ τὸ ἐρωτᾶν καὶ ἐρωτᾶσθαι διεγείρονται· ἀμέλει γοῦν καὶ ὁ Ἀλκιβιάδης οὕτως διηγείρετο πρὸς τοὺς λόγους Σωκράτους, ὡς εἰπεῖν περὶ αὐτοῦ ὅτι, ὦ Σώκρατες, οὕτως μου ἀναπηδᾷ ἡ καρδία ἐκ τοῦ λόγου τοῦ σοῦ, καθάπερ οἱ κορυβαντιῶντες, καὶ δακρύω. τοιούτου γὰρ εἰ δράξονται εὐφυοῦς ἀνδρός, ἔχονται αὐτοῦ δίκην ἀγρίας ἐχίδνης δυσαπολύτως. διὰ ταῦτα οὖν πάντα τὸ διαλογικὸν εἶδος τῆς ἑρμηνείας ἐπετήδευσεν.

XVI. Πέμπτον ἐπὶ τοῖς εἰρημένοις κεφάλαιον ζητήσωμεν, πόσα ἐστὶ τὰ συνιστῶντα ἕκαστον τῶν Πλάτωνος διαλόγων. ἐπεὶ τοίνυν μεμαθήκαμεν, ὡς ὁ διάλογος κόσμος ἐστὶ καὶ ὁ κόσμος διάλογος, ὅσα ἐστὶ τὰ συνιστῶντα τὸν κόσμον, τοσαῦτα καὶ τοὺς διαλόγους εὑρήσομεν. εἰσὶ τοίνυν ἐν τῷ ὅλῳ κόσμῳ ὕλη, εἶδος, φύσις ἡ τὸ εἶδος ἐνθεῖσα τῇ ὕλῃ, ψυχή, νοῦς καὶ θεότης· ἐν δὲ τῷ διαλόγῳ ἀναλογεῖ μὲν τῇ ὕλῃ τὰ πρόσωπα καὶ ὁ χρόνος καὶ ὁ τόπος, ἐν ᾧ τοὺς διαλόγους ἔγραψεν ὁ Πλάτων, ἀλλὰ τῶν μὲν προσώπων ἐν παντὶ διαλόγῳ ἔστιν εὐπορῆσαι, χρόνον δὲ καὶ τόπον οὐκ ἐν παντὶ δυνάμεθα λέγειν· ὥσπερ ἐν Μίνωϊ καὶ Κλειτοφῶντι· καὶ τοῦτο εἰκότως. ἡ γὰρ κυρίως ὕλη τὰ πρόσωπά ἐστιν, οὐχ ὁ χρόνος καὶ ὁ τόπος· ὥσπερ οὖν ἐν τοῖς γινομένοις ἀνάγκη ἐστὶν ὕλην εἶναι καὶ ταύτης ἀπούσης ὡς ἑνὸς τῶν αἰτίων οὔσης οὐ γίνεται τὸ γινόμενον, χρόνος δὲ καὶ τόπος τὸν ὧν οὐκ ἄνευ λόγον ἐπέχει, οὕτως προσώπων ἀπόντων οὐκ ἔστιν ὅλως διάλογος, ἐπειδὴ ἐν τῷ ὁρισμῷ τοῦ διαλόγου ἐλέγομεν, ὅτι ἐκ πολλῶν προσώπων ἐρωτώντων καὶ ἐρωτωμένων σύγκειται ὁ διάλογος· διὰ ταύτην οὖν τὴν αἰτίαν προσώπων μὲν εὐπορούμεν, χρόνου δὲ καὶ τόπου οὐκ ἀεί. ταῦτα δὲ τὰ πρόσωπα ἢ ἐπι-

στημονικά ἐστιν ἢ ὀρθοδοξαστικὰ ἢ ἀμαθῆ· καὶ ἀμαθῆ τὴν ἁπλῆν ἄγνοιαν ἀγνοοῦντα ἢ τὴν διπλῆν ἢ τὴν μεγίστην ἢ τὴν σοφιστικήν. ἁπλῆ μὲν οὖν ἐστὶν ἀμαθία, ὅταν τις ἀγνοῇ τόδε τι εἶναι καὶ οἶδεν ὅτι ἀγνοεῖ· διπλῆ ἐστὶν ὅταν καὶ ἀγνοῇ τόδε τι εἶναι καὶ μὴ γινώσκῃ ὅτι ἀγνοεῖ, ὥς φησιν ἐν Φαίδρῳ· οὐ δύναμαι κατὰ τὸ Δελφικὸν γράμμα γνῶναι ἐμαυτόν· μεγίστη δ' ἄγνοιά ἐστιν, ὅταν καὶ ἀγνοῇ καὶ οἶδεν ὅτι ἀγνοεῖ, κρατούμενος δ' ὑπὸ τοῦ πάθους τοῦ ἐναντίου δόγματος οὐκ ἀφίσταται τῆς οἰκείας ἀγνοίας· σοφιστικὴ δ' ἐστὶν ἄγνοια, ὅταν ἀγνοῇ μέν τις, σπεύδῃ δὲ διὰ πιθανολογίας ἐπικαλύψαι τὴν οἰκείαν ἄγνοιαν. ταῦτα δὲ τὰ πρόσωπα οὔτε πάντη κέκτηνται τὸ ἱστορικόν· οὐ γὰρ ἂν καὶ τὰ μακρότατα εἶχεν ἱστορῆσαι ὁ Πλάτων, οἷον ὅτι συνέκαμψε τὸ σκέλος ὁ Σωκράτης· ἀλλ' οὔτε πάντα πλασματώδη ἐστὶν τὰ περὶ τὰ πρόσωπα· οὐ γὰρ ἂν ἐκέκτητο τὸ ἀληθές· ἀλλὰ τὰ εἰς ἑνὸς πράγματος ἀπόδειξιν συντείνοντα· λέγει δ' ὁ Πλάτων δίκην τῶν γραφέων τῶν ἐκλεγομένων τὰ ἐπιτήδεια χρώματα πρὸς ἑνὸς εἴδους γραφήν. τοσαῦτα μὲν περὶ τῶν προσώπων· ἐν χρόνῳ δὲ τοὺς διαλόγους ἐξέδωκεν οὐ τῷ τυχόντι, ἀλλ' ἐν ᾧ πανηγύρεις ἦσαν καὶ ἑορταὶ τῶν θεῶν, ἵνα τότε καθάπερ ὕμνοι ἀνυμνῶνται καὶ κηρύττωνται τὰ συγγράμματα αὐτοῦ. ἐν γὰρ ταῖς ἑορταῖς εἰώθαμεν τοὺς ὕμνους λέγειν· ἀμέλει γοῦν Τίμαιον μὲν ἐν τοῖς Βενδιδίοις — ἑορτὴ δ' αὕτη τίς ἐστι τῆς Ἀρτέμιδος ἐν τῷ Πειραιεῖ — Παρμενίδην δ' ἐν τοῖς Παναθηναίοις ἐξέδωκεν, καὶ ἄλλον ἐν ἄλλῃ ἑορτῇ. τοσαῦτα καὶ περὶ τοῦ χρόνου· τόπον δὲ ἄλλοτε ἄλλον εἰσάγει τοῖς ἰδίοις διαλόγοις. ζῶντος μὲν γὰρ Σωκράτους ἐν ταῖς Ἀθήναις ἐποιεῖτο σκήνας τῶν διαλόγων, θανόντος δ' αὐτοῦ οὐκέτι ἐν Ἀθήναις διὰ τὸ ἀναξίους ἡγεῖσθαι Ἀθηναίους τῶν οἰκείων λόγων· ἀμέλει γοῦν τὸ μὲν Συμπόσιον ἐν τῇ Ἀγάθωνος οἰκίᾳ ἐποιήσατο, τὴν Πολιτείαν δ' ἐν τῷ Πειραιεῖ, τὸν δὲ Φαῖδρον ἐν τῷ Νυμφῶν ἱερῷ, τὸν δὲ Τίμαιον οὐκ ἔν τινι μερικῷ τόπῳ, ἀλλ' ἐν πόλει, καὶ ἄλλον ἐν ἄλλῳ τόπῳ. τοσαῦτα καὶ διὰ τὸν τόπον.

XVII. Ταῦτα μὲν οὖν ἀναλογοῦσιν ὕλῃ· τῷ δ' εἴδει ἀναλογεῖ ὁ χαρακτήρ· οὗτος δ' ἢ ἀδρὸς ἢ ἰσχνὸς ἢ μικτός, καὶ εἰ μικτός, ἢ κατὰ κρᾶσιν ἢ κατὰ παράθεσιν. κέχρηται δὲ τῷ μὲν ἀδρῷ ἐν τοῖς θεολογικοῖς διαλόγοις, τῷ *δὲ* ἰσχνῷ ἐν τοῖς ἄλλοις διαλόγοις, μιμούμενος ἐν τῇ φράσει τὰ πράγματα· πρὶν ἢ

δὲ μάθωμεν, ἐν τίνι κέχρηται τῷ μικτῷ κατὰ κρᾶσιν, εἴπωμεν πρῶτον, τίς ἐστι καὶ ποῖος ὁ μικτὸς κατὰ κρᾶσιν. λέγομεν τοίνυν, ὅτι ὁ ὑφειμένως ἀδρὸς ἢ ὁ ἰσχνὸς ὁ ἔχων ὀλίγην ἀδρότητα, οὗτος κατὰ κρᾶσίν ἐστι· κατὰ παράθεσιν δέ, ὅταν μέρος μὲν τοῦ διαλόγου ἰσχνῶς πέφρασται, μέρος δ' ἀδρῶς, καθάπερ ἐν τῷ Γοργίᾳ ποιεῖ· τὰ μὲν γὰρ προηγούμενα τοῦ μύθου ἰσχνῶς πέφρασται, τὰ δ' ἐν τῷ μύθῳ ἀδρῶς διὰ τὴν αἰτίαν τὴν εἰρημένην προσεχῶς, ὅτι τὰ θεολογικὰ ἀδρῶς, τὰ δὲ λογικὰ ἰσχνῶς φράζει. τῷ δὲ κατὰ κρᾶσιν μικτῷ κέχρηται ἐν τοῖς ἠθικοῖς διαλόγοις, ἐπειδὴ περὶ ἀρετῆς διαλέγεται ἐν αὐτοῖς, αἱ ἀρεταὶ δὲ μεσότητές εἰσιν· κυρίως δὲ μέσος ἐστὶν ὁ κατὰ κρᾶσιν μικτὸς χαρακτήρ. ὁ δὲ τρόπος τῆς συνουσίας ἀναλογεῖ τῇ φύσει· οὗτος δὲ ἢ ὑφηγηματικός ἐστιν ἢ ζητηματικὸς ἢ μικτός· καί ἐστι μὲν ὑφηγηματικὸς τρόπος, ὅταν τὰ ἑαυτῷ δοκοῦντα δίχα πάσης ζητήσεως καὶ ἀποδείξεως προβάλληται, ζητηματικὸς δὲ ὅταν ζητῇ, μικτὸς δὲ ὁ ἐξ ἀμφοῖν συγκρινόμενος. δίχα δὲ διαιρεῖται ἕκαστος τῶν ἄκρων· τοῦ γὰρ ὑφηγηματικοῦ ὁ μέν ἐστι θεωρητικός, ὁ δὲ πολιτικός, καὶ τοῦ ζητητικοῦ ὁ μέν ἐστιν ἀγωνιστικός, ὁ δὲ γυμναστικός· κέχρηται δὲ τῷ μὲν ὑφηγηματικῷ θεωρητικῷ ἐν τοῖς θεολογικοῖς, τῷ δὲ ὑφηγηματικῷ πολιτικῷ ἐν ταῖς πολιτείαις. τῇ δὲ ψυχῇ ἀναλογοῦσιν αἱ ἀποδείξεις· τὰς γὰρ ἀποδείξεις αὕτη προβάλλεται· τῷ δὲ νῷ τὸ πρόβλημα, περὶ ὃ αἱ ἀποδείξεις δίκην περιφερείας προβάλλονται. καὶ εἰκότως τῷ νῷ τὸ πρόβλημα ἔοικεν· ὥσπερ γὰρ ἀμερής ἐστιν ὁ νοῦς καὶ δίκην κέντρου νοεῖται, περὶ δὲ τὸν νοῦν ἐστὶν τὰ διανοητικὰ δίκην περιφερείας περὶ τὸ κέντρον ἀνελιττομένης, οὕτως καὶ τὸ πρόβλημά ἐστι, περὶ δὲ τοῦτο δίκην περιφερείας αἱ ἀποδείξεις ἀνελίττονται, θηράσαι βουλόμεναι τὸ προβληθὲν τῷδ' ἀγαθόν. καὶ οὕτως μὲν εἴρηται· ἔστι δὲ καὶ ἄλλως δεῖξαι, πῶς τοῖς ἐν τῷ κόσμῳ ἀναλογοῦσι τὰ συμπληροῦντα τὸν διάλογον. ἐξ γὰρ ὄντων αἰτιῶν ἐπὶ ἑκάστου τῶν γινομένων πράγματος, ὑλικοῦ, εἰδικοῦ, ποιητικοῦ, τελικοῦ, παραδειγματικοῦ, ὀργανικοῦ, τῷ μὲν ὑλικῷ ἀναλογοῦσι τὰ πρόσωπα καὶ ὁ χρόνος καὶ ὁ τόπος, τῷ δὲ εἰδικῷ ὁ χαρακτήρ, τῷ δὲ ποιητικῷ ἡ ψυχή, τῷ δὲ ὀργανικῷ αἱ ἀποδείξεις, τῷ δὲ παραδειγματικῷ τὰ προβλήματα, τῷ δὲ τελικῷ τὸ ἀγαθόν.

XVIII. Ἕκτον κεφάλαιον δεῖ ζητῆσαι, πόθεν τὰς ἐπιγραφὰς τῶν διαλόγων ποιεῖται ὁ Πλάτων. φαμὲν τοίνυν, ὅτι ἀπὸ

προσώπων ἢ ἀπὸ πραγμάτων· καὶ ἀπὸ προσώπων ἢ τελειούντων ἢ τελειουμένων ἢ χρείαν τινὰ ἀποπληρούντων· τελειούντων μὲν ὡς ἐπὶ τοῦ Παρμενίδου καὶ Τιμαίου ἐποίησεν, τελειουμένων δέ, ὡς ἐπὶ τοῦ Ἀλκιβιάδου καὶ Φαίδρου καὶ τῶν τοιούτων· χρείαν δέ τινα ἀποπληρούντων, ὡς ἐπὶ τοῦ Κρίτωνος. εἰ δὲ ἀπὸ πραγμάτων ποιοῖτο τὰς ἐπιγραφάς, ἢ ἀπὸ γινομένων ποιεῖται, ὡς ἐπὶ τῆς Ἀπολογίας, αὕτη γὰρ τῶν γινομένων ἐστίν, ἢ ἀπὸ ζητουμένων, ὡς ἐπὶ τοῦ Σοφιστοῦ, ἢ ἀπὸ τοῦ .....

XIX. Ἕβδομον ἐπὶ τοῖς εἰρημένοις προκείσθω ἡμῖν εἰς ζήτησιν κεφάλαιον τὸ μαθεῖν, πόθεν δεῖ τὰς διαιρέσεις τῶν τιμημάτων ἑκάστου διαλόγου εὑρεῖν. τριῶν τοίνυν ὄντων ἑκάστῳ διαλόγῳ, ἱστορίας καὶ προσώπων, διαλεκτικῆς καὶ συλλογισμῶν, καὶ δογμάτων, οὐκ ἀπὸ τῆς ἱστορίας καὶ τῶν προσώπων δεῖ ποιεῖσθαι τὰς διαιρέσεις, καθάπερ τινὲς ποιοῦσι, τὸν Γοργίαν διαιροῦντες εἰς τοὺς πρὸς Γοργίαν καὶ Πῶλον καὶ Καλλικλέα λόγους, οὐκ ἐκ τούτων δεῖ ποιεῖσθαι· πολλάκις γὰρ περὶ πράγματα κατασκευάζων μέρος τῆς κατασκευῆς εἴωθε νέμειν τῇ δευτέρᾳ ἱστορίᾳ καὶ τῷ δευτέρῳ προσώπῳ. ἀλλ' οὐδὲ ἐκ τῆς διαλεκτικῆς καὶ τῶν συλλογισμῶν ποιεῖσθαι δεῖ τὰς διαιρέσεις, καθάπερ τινὲς ποιοῦσι, τὸν Ἀλκιβιάδην διαιροῦντες εἰς τοὺς δέκα συλλογισμοὺς τοὺς ἐν αὐτῷ παραδιδομένους· οὐδ' ἐκ τούτων οὖν δεῖ ποιεῖσθαι διὰ τὴν αὐτὴν αἰτίαν· πολλάκις γὰρ περὶ τοῦ αὐτοῦ πράγματος διαφόρους λέγει συλλογισμούς, ὡς μὴ περαίνεσθαι εἰς ἕνα συλλογισμὸν τὰ τῆς δείξεως· ἀλλ' ἐκ τῶν δογμάτων δεῖ τὰς διαιρέσεις ποιεῖσθαι.

XX. Ὄγδοον ἐπὶ τοῖς εἰρημένοις κεφάλαιον δεῖ ζητῆσαι, ποῖος ὑπάρχει ὁ τρόπος συνουσίας τῶν ἐν τῷ διαλόγῳ προσώπων. ἰστέον τοίνυν, ὅτι τὴν συνουσίαν ποιεῖται ἢ διὰ τῶν προσώπων αὐτῶν, ὡς ὅταν εἰσαγάγῃ αὐτὸν τὸν Σωκράτη *ἢ* ἄλλον τινὰ διαλεγόμενον δι' ἑαυτοῦ, ἢ δι' ἑτέρων τινῶν ἀκουσάντων ἐκ προσώπων, ὡς ὅταν εἰσαγάγῃ τινὰ περὶ πράγματα διαλεγόμενον ἃ ἤκουσε Σωκράτους, ἢ διὰ ἄλλων ἐκ τούτων τῶν ἀκουσάντων ἀπὸ Σωκράτους μαθόντων, ἢ δι' ἄλλων ἐκ τῶν δευτέρων ἀκουσάντων, ὡς μέχρι τούτων τὴν πρόοδον τῶν ἀκουσάντων γίνεσθαι, μηκέτι δὲ περαιτέρω προβῆναι. κἂν τούτῳ δὲ πάλιν τὴν τῶν ὄντων τάξιν μιμούμενος φαίνεται. οὐ πρόεισι γὰρ περαιτέρω τῶν τρίτων, ἐπειδὴ τὰ ὄντα πάντα ἢ νοητά

ἐστιν, ἢ διανοητά, ἅτινα εἰκόνες εἰσὶ τῶν νοητῶν, ἢ αἰσθητά, ἃ καὶ αὐτὰ εἰκόνες εἰσὶ τῶν διανοητῶν, ἢ εἰκόνες τῶν αἰσθητῶν, οἷαί εἰσιν αἱ ὑπὸ τῶν γραφέων γινόμεναι, καὶ περαιτέρω τούτων οὐδέν ἐστιν, ὡς τέσσαρά τινα κἀνταῦθα εἶναι· καὶ ἀναλογεῖ μὲν τὰ πρόσωπα τοῖς νοητοῖς, τοῖς δὲ διανοητοῖς τὰ ἐκ τούτων ἀκούσαντα· οἷον γὰρ εἰκόνες εἰσὶ τῶν προσώπων αὐτῶν αὐτά, καθάπερ καὶ τὰ διανοητὰ τῶν νοητῶν· τοῖς δ' αἰσθητοῖς ἀναλογοῦσιν οἱ δεύτεροι ἀκούσαντες.

XXI. Ἔννατον ἐπὶ τοῖς εἰρημένοις δεῖ ζητῆσαι κεφάλαιον, ἐκ πόσων κανόνων δεῖ θηρᾶν τὸν ἑκάστου διαλόγου σκοπόν. χρεία γάρ ἐστι τοῦτον ζητεῖν, ἐπειδὴ ὡς αὐτὸς λέγει ἐν Φαίδρῳ· ὦ παῖ, μία τίς ἐστιν ὁδὸς τοῖς μέλλουσι καλῶς βουλεύεσθαι, εἰδέναι, περὶ οὗ ἂν ἡ βουλή· ἐπειδὴ τοῦ παντὸς ἁμαρτάνειν ἀνάγκη· πῶς οὖν αὐτοῦ τοῦτο λέγοντος παραιτησόμεθα ἐπὶ τῶν αὐτοῦ συγγραμμάτων τὸ εἰδέναι, περὶ τίνος ἕκαστα διαλέγεται; ἔτι δ' ἂν μᾶλλον τὸ χρήσιμον τῆς τοιαύτης ζητήσεως μάθοιμεν, εἰ τῇ διπλῇ τῶν ἐπιγραφῶν τῶν πλείστων διαλόγων προσέχοιμεν. ἕκαστος γὰρ σχεδὸν διπλῆν ἔχει τὴν ἐπιγραφήν, οἷον Φαίδων ἢ περὶ ψυχῆς, καὶ Φαῖδρος ἢ περὶ κάλλους, καὶ οἱ ἄλλοι οὕτως· ἄδηλον οὖν ἐστί, περὶ ποίου ἄρα τῶν ἐγκειμένων τῇ ἐπιγραφῇ διαλέγεται· οὐκ ἄρα ἀχρείως ζητοῦμεν τοῦτο τὸ κεφάλαιον. ἐκ δέκα τοίνυν κεφαλαίων τοῦτον θηράσαι δυνατόν· ἐκ τοῦ ἑνὸς καὶ τοῦ πλήθους, ἐκ τοῦ καθόλου καὶ μερικοῦ, ἐκ τοῦ ὅλου καὶ μέρους, ἐκ τοῦ ὁλοσχεροῦς καὶ βεβαίου, ἐκ τοῦ κρείττονος καὶ χείρονος, ἐκ τοῦ συμφώνου καὶ ἀσυμφώνου, ἐκ τοῦ μὴ κατά τινος εἰρῆσθαι, ἐκ τοῦ μὴ ἐμπαθῆ εἶναι, ἐκ τῶν ὀργάνων, ἐκ τῆς ὕλης. ἐκ μὲν τοῦ ἑνὸς καὶ τοῦ πλήθους, ἵνα ἕνα σκοπὸν λέγωμεν ἔχειν τὸν διάλογον καὶ μὴ πολλούς. πῶς γὰρ πολλοὺς ἔμελλεν σκοποὺς ἔχειν ὁ διάλογος Πλάτωνος, τοῦ οὕτως ἀνυμνοῦντος τὸ θεῖον, ὅπερ ἓν ἐστι; καὶ ἄλλως, εἰ αὐτός ἐστιν ὁ λέγων, ὅτι ὁ διάλογος ζῴῳ ἔοικεν, ἐπειδὴ καὶ ὁ λόγος; πᾶς γὰρ λόγος ἄριστα γεγραμμένος ζῴῳ ἀναλογεῖ· εἰ οὖν ὁ διάλογος ζῴῳ ἀναλογεῖ, τὸ δὲ ζῷον ἓν τέλος ἔχει τὸ ἀγαθόν, τὸ ὅτου χάριν καὶ γέγονεν, καὶ ὁ διάλογος ἄρα ἓν ὀφείλει ἔχειν τέλος, τοῦτ' ἐστὶν ἕνα σκοπόν. ὅθεν οὐκ ἀποδεκτέον τοὺς λέγοντας τρεῖς εἶναι τοὺς σκοποὺς τοῦ Φαίδωνος, περὶ ἀθανασίας ψυχῆς, καὶ περὶ εὐθανασίας; καὶ περὶ φιλοσόφου βίου· κακῶς οὖν ὡς

εἴρηται λέγουσιν οὗτοι· οὐδὲ γὰρ πολλοὺς δεῖ εἶναι τοὺς σκοπούς, ἀλλ' ἕνα. ἐκ τοῦ καθόλου καὶ μερικοῦ, ἵνα τὸν καθολικώτερον καὶ περιεκτικώτερον σκοπὸν αἱρώμεθα μᾶλλον τοῦ μερικωτέρου· ὅθεν οὐκ ἀποδεκτέον τοὺς λέγοντας τὸν Σοφιστὴν περὶ τοῦ σοφιστοῦ ἔχειν τὸν σκοπόν, ἀλλὰ τοὺς λέγοντας περὶ τοῦ μὴ ὄντος ἀποδεκτέον. ὁ γὰρ σοφιστὴς τὶ μὴ ὂν ἐστι, καθολικώτερον δὲ τὸ μὴ ὂν ἁπλῶς τοῦ τὶ μὴ ὄντος, εἰ δὲ καθολικώτερον, καὶ περιεκτικώτερον, ὥστε ὁ καθολικώτερος σκοπὸς τὸν μερικὸν περιέχει. ἐκ δὴ τούτου φανερόν — οἷον γὰρ πόρισμα ἡμῖν ἀνακύπτει — ὡς οὐ δεῖ διττὰς εἶναι τὰς ἐπιγραφὰς ἐν τοῖς λόγοις· ἢ γὰρ ἕτεραί εἰσιν ἀλλήλων ἢ μία καὶ ἡ αὐτὴ [καὶ] ἡ ἡ μὲν καθολικωτέρα, ἡ δὲ μερικωτέρα· εἰ οὖν ἕτεραί εἰσιν, οὐκ ἀποδεξόμεθα, ἵνα μὴ πολλοὺς σκοποὺς αἱρησώμεθα καὶ διὰ τοῦτο ἐμπέσωμεν εἰς τὰ ἄτοπα τοῦ πρώτου κανόνος· εἰ δὲ μία καὶ ἡ αὐτή ἐστι, μάτην εἴληπται ἡ ἑτέρα ὡς ἀδολεσχία· εἰ *δὲ* ἑτέρα καθολικωτέρα, αἱρετέα ἡ καθολική.

XXII. Ἐκ δὲ τοῦ ὅλου καὶ μέρους, ἵνα μὴ ἐκ τῶν ἓν τινι βραχεῖ μέρει τοῦ διαλόγου εἰρημένων ποιησώμεθα τὸν σκοπόν, ἀλλ' ἐκ τῶν ἐν ὅλῳ διδασκομένων· οὗ οὖν διαβάλλομεν τοὺς λέγοντας τὸν Φαῖδρον περὶ ῥητορικῆς σκοπὸν ἔχειν. ἐπ' ὀλίγον γὰρ περὶ αὐτῆς ἐκεῖσε διαλέγεται· ἐν ὅλῳ γὰρ τῷ διαλόγῳ περὶ τοῦ διὰ παντὸς κάλλους λαμβάνει· δεῖ οὖν περὶ ἐκείνου εἶναι λέγειν τὸν σκοπόν. καὶ τοὺς λέγοντας αὖ ἐν τῷ Γοργίᾳ σκοπὸν ἔχειν τὸν Πλάτωνα διαλεχθῆναι περὶ τοῦ εἰ ἄμεινον ἀδικεῖν ἢ ἀδικεῖσθαι, διαβάλλομεν· ἐν γὰρ μικρῷ μέρει περὶ τούτου διδάσκει, ἐν δὲ τῷ ὅλῳ διαλόγῳ περὶ τῶν ἠθικῶν ἀρχῶν τῆς εὐδαιμονίας. ὥσπερ γὰρ κακῶς ποιοῦσιν οἱ διά τι μέρος τῶν ἐν τῷ ἀνθρώπῳ ὄντων λέγοντες γεγονέναι τὸν ἄνθρωπον, οἷον διὰ τὸ ὁρᾶν ἢ ἀκούειν ἢ δι' ἄλλο τι τοιοῦτον· οὐ γὰρ διὰ τοῦτο γέγονεν, ἀλλὰ διὰ τὸ μεσότης εἶναι τῶν θείων καὶ τῶν γενητῶν· οὔτε γὰρ ἀθάνατός ἐστιν ὡς τὰ θεῖα, οὔτε θνητὸς ὡς τὰ ἄλογα, ἀλλὰ κοινωνεῖ κατά τι ἑκατέροις· οὕτως οὖν καὶ τοὺς ἀπὸ μέρους ποιουμένους τὸν σκοπὸν διαβάλλομεν. καὶ ἄλλως· εἰ γὰρ πανταχοῦ τὴν φύσιν μιμεῖται Πλάτων, πῶς οὐχὶ καὶ ἐν τούτῳ μιμήσεται τὴν φύσιν; εἰ γὰρ τῇ ὕλῃ ἀναλογεῖ τὸ μέρος, τὸ δὲ ὅλον τῷ εἴδει, τὸ δὲ εἶδος ποιεῖ ἡ φύσις καὶ οὗτος αὐτῆς ἐστὶ σκοπός, ἐνθεῖναι τὸ εἶδος, πῶς οὐκ ὤφειλε καὶ αὐτὸς τὸ

ἐστιν, ἢ διανοητά, ἅτινα εἰκόνες εἰσὶ τῶν νοητῶν, ἢ αἰσθητά, ἃ καὶ αὐτὰ εἰκόνες εἰσὶ τῶν διανοητῶν, ἢ εἰκόνες τῶν αἰσθητῶν, οἷαί εἰσιν αἱ ὑπὸ τῶν γραφέων γινόμεναι, καὶ περαιτέρω τούτων οὐδέν ἐστιν, ὡς τέσσαρά τινα κάνταῦθα εἶναι· καὶ ἀναλογεῖ μὲν τὰ πρόσωπα τοῖς νοητοῖς, τοῖς δὲ διανοητοῖς τὰ ἐκ τούτων ἀκούσαντα· οἷον γὰρ εἰκόνες εἰσὶ τῶν προσώπων αὐτῶν αὐτά, καθάπερ καὶ τὰ διανοητὰ τῶν νοητῶν· τοῖς δ' αἰσθητοῖς ἀναλογοῦσιν οἱ δεύτεροι ἀκούσαντες.

XXI. Ἔννατον ἐπὶ τοῖς εἰρημένοις δεῖ ζητῆσαι κεφάλαιον, ἐκ πόσων κανόνων δεῖ θηρᾶν τὸν ἑκάστου διαλόγου σκοπόν. χρεία γάρ ἐστι τοῦτον ζητεῖν, ἐπειδὴ ὡς αὐτὸς λέγει ἐν Φαίδρῳ· ὦ παῖ, μία τίς ἐστιν ὁδὸς τοῖς μέλλουσι καλῶς βουλεύεσθαι, εἰδέναι, περὶ οὗ ἂν ἡ βουλή· ἐπειδὴ τοῦ παντὸς ἁμαρτάνειν ἀνάγκη· πῶς οὖν αὐτοῦ τοῦτο λέγοντος παραιτησόμεθα ἐπὶ τῶν αὐτοῦ συγγραμμάτων τὸ εἰδέναι, περὶ τίνος ἕκαστα διαλέγεται; ἔτι δ' ἂν μᾶλλον τὸ χρήσιμον τῆς τοιαύτης ζητήσεως μάθοιμεν, εἰ τῇ διπλῇ τῶν ἐπιγραφῶν τῶν πλείστων διαλόγων προσέχοιμεν. ἕκαστος γὰρ σχεδὸν διπλῆν ἔχει τὴν ἐπιγραφήν, οἷον Φαίδων ἢ περὶ ψυχῆς, καὶ Φαῖδρος ἢ περὶ κάλλους, καὶ οἱ ἄλλοι οὕτως· ἄδηλον οὖν ἐστί, περὶ ποίου ἄρα τῶν ἐγκειμένων τῇ ἐπιγραφῇ διαλέγεται· οὐκ ἄρα ἀχρείως ζητοῦμεν τοῦτο τὸ κεφάλαιον. ἐκ δέκα τοίνυν κεφαλαίων τοῦτον θηράσαι δυνατόν· ἐκ τοῦ ἑνὸς καὶ τοῦ πλήθους, ἐκ τοῦ καθόλου καὶ μερικοῦ, ἐκ τοῦ ὅλου καὶ μέρους, ἐκ τοῦ ὁλοσχεροῦς καὶ βεβαίου, ἐκ τοῦ κρείττονος καὶ χείρονος, ἐκ τοῦ συμφώνου καὶ ἀσυμφώνου, ἐκ τοῦ μὴ κατά τινος εἰρῆσθαι, ἐκ τοῦ μὴ ἐμπαθῆ εἶναι, ἐκ τῶν ὀργάνων, ἐκ τῆς ὕλης. ἐκ μὲν τοῦ ἑνὸς καὶ τοῦ πλήθους, ἵνα ἕνα σκοπὸν λέγωμεν ἔχειν τὸν διάλογον καὶ μὴ πολλούς. πῶς γὰρ πολλοὺς ἔμελλεν σκοποὺς ἔχειν ὁ διάλογος Πλάτωνος, τοῦ οὕτως ἀνυμνοῦντος τὸ θεῖον, ὅπερ ἓν ἐστι; καὶ ἄλλως, εἰ αὐτός ἐστιν ὁ λέγων, ὅτι ὁ διάλογος ζῴῳ ἔοικεν, ἐπειδὴ καὶ ὁ λόγος; πᾶς γὰρ λόγος ἄριστα γεγραμμένος ζῴῳ ἀναλογεῖ· εἰ οὖν ὁ διάλογος ζῴῳ ἀναλογεῖ, τὸ δὲ ζῷον ἓν τέλος ἔχει τὸ ἀγαθόν, τὸ ὅτου χάριν καὶ γέγονεν, καὶ ὁ διάλογος ἄρα ἓν ὀφείλει ἔχειν τέλος, τοῦτ' ἐστὶν ἕνα σκοπόν. ὅθεν οὐκ ἀποδεκτέον τοὺς λέγοντας τρεῖς εἶναι τοὺς σκοποὺς τοῦ Φαίδωνος, περὶ ἀθανασίας ψυχῆς, καὶ περὶ εὐθανασίας; καὶ περὶ φιλοσόφου βίου· κακῶς οὖν ὡς

εἴρηται λέγουσιν οὗτοι· οὐδὲ γὰρ πολλοὺς δεῖ εἶναι τοὺς σκοπούς, ἀλλ' ἕνα. ἐκ τοῦ καθόλου καὶ μερικοῦ, ἵνα τὸν καθολικώτερον καὶ περιεκτικώτερον σκοπὸν αἱρώμεθα μᾶλλον τοῦ μερικωτέρου· ὅθεν οὐκ ἀποδεκτέον τοὺς λέγοντας τὸν Σοφιστὴν περὶ τοῦ σοφιστοῦ ἔχειν τὸν σκοπόν, ἀλλὰ τοὺς λέγοντας περὶ τοῦ μὴ ὄντος ἀποδεκτέον. ὁ γὰρ σοφιστὴς τὶ μὴ ὂν ἐστι, καθολικώτερον δὲ τὸ μὴ ὂν ἁπλῶς τοῦ τὶ μὴ ὄντος, εἰ δὲ καθολικώτερον, καὶ περιεκτικώτερον, ὥστε ὁ καθολικώτερος σκοπὸς τὸν μερικὸν περιέχει. ἐκ δὴ τούτου φανερόν — οἷον γὰρ πόρισμα ἡμῖν ἀνακύπτει — ὡς οὐ δεῖ διττὰς εἶναι τὰς ἐπιγραφὰς ἐν τοῖς λόγοις· ἢ γὰρ ἕτεραί εἰσιν ἀλλήλων ἢ μία καὶ ἡ αὐτὴ [καὶ] ἡ μὲν καθολικωτέρα, ἡ δὲ μερικωτέρα· εἰ οὖν ἕτεραί εἰσιν, οὐκ ἀποδεξόμεθα, ἵνα μὴ πολλοὺς σκοποὺς αἱρησώμεθα καὶ διὰ τοῦτο ἐμπέσωμεν εἰς τὰ ἄτοπα τοῦ πρώτου κανόνος· εἰ δὲ μία καὶ ἡ αὐτή ἐστι, μάτην εἴληπται ἡ ἑτέρα ὡς ἀδολεσχία· εἰ * δὲ * ἑτέρα καθολικωτέρα, αἱρετέα ἡ καθολική.

XXII. Ἐκ δὲ τοῦ ὅλου καὶ μέρους, ἵνα μὴ ἐκ τῶν ἓν τινι βραχεῖ μέρει τοῦ διαλόγου εἰρημένων ποιησώμεθα τὸν σκοπόν, ἀλλ' ἐκ τῶν ἐν ὅλῳ διδασκομένων· οὗ οὖν διαβάλλομεν τοὺς λέγοντας τὸν Φαῖδρον περὶ ῥητορικῆς σκοπὸν ἔχειν. ἐπ' ὀλίγον γὰρ περὶ αὐτῆς ἐκεῖσε διαλέγεται· ἐν ὅλῳ γὰρ τῷ διαλόγῳ περὶ τοῦ διὰ παντὸς κάλλους λαμβάνει· δεῖ οὖν περὶ ἐκείνου εἶναι λέγειν τὸν σκοπόν. καὶ τοὺς λέγοντας αὖ ἐν τῷ Γοργίᾳ σκοπὸν ἔχειν τὸν Πλάτωνα διαλεχθῆναι περὶ τοῦ εἰ ἄμεινον ἀδικεῖν ἢ ἀδικεῖσθαι, διαβάλλομεν· ἐν γὰρ μικρῷ μέρει περὶ τούτου διδάσκει, ἐν δὲ τῷ ὅλῳ διαλόγῳ περὶ τῶν ἠθικῶν ἀρχῶν τῆς εὐδαιμονίας. ὥσπερ γὰρ κακῶς ποιοῦσιν οἱ διά τι μέρος τῶν ἐν τῷ ἀνθρώπῳ ὄντων λέγοντες γεγονέναι τὸν ἄνθρωπον, οἷον διὰ τὸ ὁρᾶν ἢ ἀκούειν ἢ δι' ἄλλο τι τοιοῦτον· οὐ γὰρ διὰ τοῦτο γέγονεν, ἀλλὰ διὰ τὸ μεσότης εἶναι τῶν θείων καὶ τῶν γενητῶν· οὔτε γὰρ ἀθάνατός ἐστιν ὡς τὰ θεῖα, οὔτε θνητὸς ὡς τὰ ἄλογα, ἀλλὰ κοινωνεῖ κατά τι ἑκατέρους· οὕτως οὖν καὶ τοὺς ἀπὸ μέρους ποιουμένους τὸν σκοπὸν διαβάλλομεν. καὶ ἄλλως· εἰ γὰρ πανταχοῦ τὴν φύσιν μιμεῖται Πλάτων, πῶς οὐχὶ καὶ ἐν τούτῳ μιμήσεται τὴν φύσιν; εἰ γὰρ τῇ ὕλῃ ἀναλογεῖ τὸ μέρος, τὸ δὲ ὅλον τῷ εἴδει, τὸ δὲ εἶδος ποιεῖ ἡ φύσις καὶ οὗτος αὐτῆς ἐστὶ σκοπός, ἐνθεῖναι τὸ εἶδος, πῶς οὐκ ὤφειλε καὶ αὐτὸς τὸ

οἷον εἶδος ἐντιθεὶς τοῦτο ὅλον μιμήσασθαι τὸν σκοπὸν καὶ μὴ ἐκ τοῦ μέρους; ἐκ δὲ τοῦ ὁλοσχεροῦς καὶ βεβαίου, ἵνα τὸν βέβαιον σκοπὸν αἱρώμεθα μᾶλλον τοῦ ὁλοσχεροῦς καὶ πόρρω. πάλιν γοῦν κἀνταῦθα οὐκ ἀποδεξόμεθα τοὺς λέγοντας τον σκοπὸν εἶναι τοῦ Τιμαίου περὶ φυσιολογίας διδάξαι· οὗτος γὰρ ὁλοσχερής ἐστι καὶ πόρρω· καὶ γὰρ καὶ ὁ Ἀριστοτέλης περὶ φυσιολογίας διδάσκει καὶ ἄλλοι πολλοί, καὶ ἄδηλον περὶ ποίας φυσιολογίας τὸν λόγον ποιεῖται, εἴ γε τούτῳ μόνῳ πρόσσχωμεν τῷ σκοπῷ καὶ τῇ ἐπιγραφῇ τοῦ διαλόγου· δεῖ οὖν βεβαιότερον κινουμένους λέγειν, ὅτι περὶ τῆς κατὰ Πλάτωνα φυσιολογίας ἐστὶν ὁ σκοπός, καὶ τίς ἐστιν ἡ κατὰ Πλάτωνα φυσιολογία, καὶ μὴ ἁπλῶς περὶ φυσιολογίας. ἐκ δὲ τοῦ κρείττονος καὶ χείρονος, ἵνα τὸν κρείττονα σκοπὸν αἱρησώμεθα μᾶλλον τοῦ χείρονος· οὗ οὐκ ἀποδεχόμεθα τοὺς λέγοντας σκοπὸν ἔχειν ἐν Γοργίᾳ, τὴν ἐν Πώλῳ καὶ Γοργίᾳ ῥητορικὴν ἐλέγξαι· αἰσχρὸν γὰρ τοῦτο καὶ σοφιστικόν· ἀλλὰ τὴν ἀληθῆ ῥητορικὴν πρόκειται διδάξαι, ὃ κρεῖττόν ἐστι καὶ θαυμάσιον· εἰ δέ τις εἴποι καὶ διὰ τί μέμνηται Πώλου καὶ Γοργίου, εἰσάγων αὐτοὺς προσδιαλεγομένους καὶ ἀνασκευάζων τὰ ὑπ' ἐκείνων λεγόμενα, ἐροῦμεν ὅτι ὥσπερ ἡ φύσις σκοπὸν ἔχει, τῇ ὕλῃ τὸ εἶδος ἐνθεῖναι, ἀλλ' οὐ τὴν στέρησιν ἀφελεῖν, ἕπεται δὲ τῇ τοῦ εἴδους ἐνθέσει ἡ τῆς στερήσεως ἄρσις, οὕτως καὶ τοῖς λόγοις τοῖς δεικνύουσι τὴν ἀληθῆ ῥητορικὴν ἐπακολουθεῖ τῆς ἐν Πώλῳ καὶ Γοργίᾳ ῥητορικῆς ἡ ἀνασκευή. ἐκ τοῦ συμφώνου καὶ ἀσυμφώνου, ἵνα μᾶλλον αἱρώμεθα τὸν συμφωνοῦντα τοῖς λεγομένοις σκοπὸν τῶν μὴ συμφωνούντων· τούτῳ δὲ χρώμενοι τῷ κανόνι ἀνασκευάσομεν τοὺς λέγοντας σκοπὸν ἔχειν τὸν Γοργίαν περὶ τοῦ ἑαυτὸν ὁρῶντος νοῦ· ἀσύμφωνον γὰρ καὶ ἀπᾷδον τοῖς διδασκομένοις ἐκεῖ τοῦτο παντάπασιν. ἀλλ' οὐδ' ἐκ τοῦ κατά τινος δεῖ λέγειν εἶναι τὸν σκοπὸν τοῦ διαλόγου· οὐδὲ γὰρ τοιοῦτος ὁ θεῖος Πλάτων, ὡς διαβάλλειν αἱρεῖσθαι. οὕτως δ' ἀνασκευάζομεν τοὺς λέγοντας τὸν σκοπὸν εἶναι τοῦ Μενεξένου περὶ τοῦ διαβάλλειν καὶ προσαμιλλᾶσθαι πρὸς Θουκυδίδην. ὁ γὰρ ἐπιτάφιος, φασί, διὰ τοῦτο γέγραπται αὐτῷ, ἀντιγράφειν βουλομένῳ τῷ Θουκυδίδου ἐπιταφίῳ· ὅπερ ψεῦδος.

XXIII. Ἐκ δὲ τοῦ μὴ ἐμπαθοῦς, ὅτι οὐ χρὴ ἐμπαθῆ εἶναι τὸν σκοπόν, ἵνα μὴ τοῖς ἀναγινώσκουσι πάθος ἐμποιήσῃ κα-

τασκοπεῖν τὴν ὕλην, καθάπερ τινὲς κακῶς ποιοῦντες τὸν Φίληβον περὶ ἡδονῆς φασὶν ἔχειν τὸν σκοπόν, ἥτις κατασπᾶν δύναται τὴν ψυχήν· πῶς δ' ὁ καθαρτικοῦ ὢν βίου περὶ ἡδονῆς διελέγετο; οὐ περὶ τούτου οὖν αὐτῷ ὁ σκοπός, ἀλλὰ περὶ τῆς τάξεως τῶν ἓξ ἀγαθῶν. ἐκ δὲ τῶν ὀργάνων, ἵνα μὴ ἐκ τούτων τὸν σκοπὸν ποιώμεθα· ὁ γὰρ σκοπὸς ἕνεκά του οὐκ ἔστιν, ἀλλ' οὗ ἕνεκα. οὕτως γοῦν κακῶς ποιοῦσιν οἱ τὸν Σοφιστὴν λέγοντες περὶ τῆς διαιρετικῆς ἔχειν τὸν σκοπόν. καὶ γὰρ ἐκεῖσε μέμνηται αὐτῆς· ἀμέλει φησὶν ἐκεῖ ὡς οὐδὲν καυχήσεται φυγὼν τὴν τῆς διαιρέσεως δύναμιν· ταύτην γὰρ τὴν διαίρεσιν καὶ δόσιν εἶναι τοῖς ἀνθρώποις φησὶν ἐκ θεῶν διὰ Προμηθέως· ἐπειδὴ οὖν αὕτη ὄργανόν ἐστι τῆς ἀποδεικτικῆς, καὶ τῶν εἰς τὸν σκοπὸν συμβαλλομένων ἐστίν· ἕνεκα γὰρ τοῦ θηράσαι τὸν σκοπὸν πεχρήμεθα αὐτῇ, καὶ οὐ δεῖ ἐκ ταύτης ποιεῖσθαι τὸν σκοπόν. ἐκ τῆς ὕλης οὐ δεῖ ποιεῖσθαι, ὥσπερ τινὲς ποιοῦσιν, τὸν Ἀλκιβιάδην λέγοντες σκοπὸν ἔχειν περὶ τῆς Ἀλκιβιάδου φιλοτιμίας· ἐκ τῆς ὕλης λέγοντες τὸν σκοπὸν κακῶς. οὐ γὰρ δεῖ τοῦτο ποιεῖν· ὕλην δὲ λέγομεν τῶν διαλόγων τὰ πρόσωπα. οὐδὲ γὰρ διὰ τὸ ἐλέγξαι τὴν ἐν τῇ ψυχῇ Ἀλκιβιάδου φιλοτιμίαν ὁ σκοπὸς αὐτῷ ἐστί, ἐπεὶ συνεμπεσούμεθα τῷ ἀτόπῳ τοῦ δευτέρου κανόνος, τὸ μερικὸν ἀντὶ τοῦ καθόλου εἰσάγοντες· ἄμεινον οὖν καθόλου λέγειν, ὅτι περὶ τῆς ἐν ἑκάστῃ ψυχῇ φιλοτιμίας σκοπὸν ἔχει τοῦ ἐλέγξαι. ἔστι γὰρ ἑκάστῳ ἡμῶν οἷον Ἀλκιβιάδειος φιλοτιμία, ἣν δεῖ ῥυθμίζειν καὶ κοσμεῖν ἐπὶ τὸ βέλτιον· οὐδὲ γὰρ ἄξιον λέγειν, ὅτι ὁ θεῖος Πλάτων εἰς τοιαῦτα κατέφερεν ἑαυτόν, πρὸς τὸ ἐλέγχειν πάθη ἀνθρώπων· ἐπακολουθεῖ μέντοι πάντως ὁ ἔλεγχος τοῖς λόγοις αὐτοῦ. ἐκ τοσούτων οὖν δεῖ θηρᾶσθαι τὸν ἑκάστου διαλόγου σκοπόν.

XXIV. *Δέκατον κεφάλαιον ἔστω τὸ τὴν τάξιν τῶν Πλάτωνος διαλόγων μαθεῖν. τινὲς τοίνυν εἰρήκασι τὴν τάξιν αὐτῶν δεῖν λαμβάνεσθαι ἐκ τοῦ χρόνου καὶ ἐκ τῆς τετραλογίας· καὶ ἐκ τοῦ χρόνου διχῶς· ἢ ἐκ τοῦ χρόνου τοῦ Πλάτωνος ἢ ἐκ τοῦ χρόνου τῶν προσώπων τῶν ἐν τοῖς διαλόγοις. καὶ ἐκ μὲν τοῦ χρόνου τοῦ συγγραφέως πρῶτον λέγουσιν εἶναι τὸν Φαῖδρον, ὡς ἂν ἐκεῖ, φασί, ζητοῦντος αὐτοῦ, εἰ δέοι συγγράφειν ἢ οὔ· πῶς δ' εἶχεν, ἐκεῖ ἄπορῶν εἰ δεῖ συγγράφειν, ἄλλον πρὸ αὐτοῦ γράψαι; καὶ ἄλλως δ' ὅτι *ἐν* ἐκείνῳ κέχρηται τῷ διθυραμ-*

βωδει χαρακτῆρι, ὡς ἂν μήπω ἀποθέμενος τὴν τῶν διθυράμβων μοῦσαν. ἐσχάτους δὲ τοὺς Νόμους φασὶ γεγράφθαι, διότι ἀδιορθώτους αὐτοὺς κατέλιπεν καὶ συγκεχυμένους, μὴ εὐπορήσας χρόνου διὰ τὴν τελευτὴν πρὸς τὸ συνθεῖναι αὐτούς· εἰ δὲ καὶ νῦν δοκοῦσι συντετάχθαι κατὰ τὸ δέον, οὐκ αὐτοῦ τοῦ Πλάτωνος συνθέντος, ἀλλά τινος Φιλίππου Ὀπουντίου, ὃς διάδοχος γέγονε τοῦ Πλάτωνος διδασκαλείου. ἐκ τοῦ χρόνου τῶν ἐγκειμένων προσώπων· οὗ πρῶτον λέγουσι τὸν Παρμενίδην, ὅτι λίαν νέον ὑποτίθεται τὸν Σωκράτη, διδασκόμενον ὑπὸ Παρμενίδου, τὸν δὲ Θεαίτητον τελευταῖον, ὅτι μετὰ θάνατον Σωκράτους ὑπόκειται. ἐκ δὲ τῶν τετραλογιῶν· οὗ κατὰ τετραλογίαν φασὶν ἐκδεδόσθαι αὐτῷ τοὺς διαλόγους κατὰ μίμησιν τῶν τε τραγικῶν καὶ τῶν κωμικῶν, οἵτινες διὰ τεσσάρων δραμάτων ἠγωνίζοντο τὸν αὐτὸν ἐχόντων σκοπόν, ἐν δὲ τῷ τελευταίῳ εἰς ἡδονὴν κατήντων.

XXV. Φασὶν οὖν ἐννέα εἶναι τετραλογίας, ὡς λς΄ εἶναι τοὺς πάντας διαλόγους αὐτοῦ· οὗτοι δὲ διὰ τὸ συστῆναι τὸν τῶν τετραλογιῶν ἀριθμὸν τὸ Ἐπινόμιον, νοθευόμενον, γνήσιον ἀποφαίνουσιν· ὅτι δὲ νόθον ἐστί, διὰ δύο τινῶν δείκνυσιν ὁ σοφώτατος Πρόκλος, πρῶτον μὲν λέγων, πῶς ὁ τοὺς Νόμους μὴ εὐπορήσας διορθώσασθαι διὰ τὸ μὴ ἔχειν χρόνον ζωῆς τὸ Ἐπινόμιον μετὰ τούτους ἂν εἶχεν γράψαι; δεύτερον δ' ὅτι ἐν μὲν τοῖς ἄλλοις διαλόγοις αὐτοῦ φησὶ τοὺς πλανωμένους ἀστέρας ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ κινεῖσθαι, ἐν αὐτῷ δὲ τὸ ἀνάπαλιν ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά. κατὰ τετραλογίαν δὲ λέγοντες ἐκδεδόσθαι τοὺς διαλόγους πρώτην φασὶ τετραλογίαν εἶναι τὸν Εὐθύφρονα καὶ τὴν Ἀπολογίαν καὶ τὸν Κρίτωνα καὶ τὸν Φαίδωνα, καὶ πρῶτον μὲν λέγουσι τὸν Εὐθύφρονα, ὡς ἐν αὐτῷ ὑποτιθεμένου τοῦ Σωκράτους ὡς κριθησομένου, δεύτεραν δὲ τὴν Ἀπολογίαν, ὡς ἐν αὐτῇ κρινομένου αὐτοῦ· τρίτον δὲ τὸν Κρίτωνα, ὡς κριθέντος ἐν αὐτῷ ἤδη τοῦ Σωκράτους, τέταρτον τὸν Φαίδωνα ὡς ἐν αὐτῷ τελευτῶντος. ἔσχατον δὲ πάντων γεγράφθαι λέγουσι τὰς Ἐπιστολάς, πρῶτον οἰόμενοι τὸν Εὐθύφρονα, διότι καὶ ἐν τῷ Εὐθύφρονι πολλὰ περὶ Σωκράτους βίου διαλέγεται καὶ ἐν ταῖς Ἐπιστολαῖς πολλὰ περὶ τοῦ οἰκείου βίου διέξεισιν· ἵνα οὖν ἐκ τοῦ αὐτοῦ ἄρξηται καὶ εἰς τὸ αὐτὸ λήξῃ, τοιαύτῃ ἐχρήσατο τάξει. οὐκ ἀποδεξόμεθα δ' αὐτοὺς λέγοντας

αὐτὸν κατὰ μίμησιν τῶν τραγικῶν τὸ τῶν τετραλογιῶν εἶδος ἐπιτηδεῦσαι· αὐτὸς γὰρ διαβάλλων αὐτοὺς λέγει εἴδωλα εἰδώλων γράφειν. καὶ ἄλλως ἔστι δεῖξαι, ὅτι οὐ μιμεῖται αὐτούς· ἐκεῖνοι γὰρ τὸ τελευταῖον εἰς ἡδονὴν καταντῶσιν, οὗτος δ' ἐν τῷ Φαίδωνι, τελευταίῳ ὄντι τῆς πρώτης τετραλογίας, οὐκ εἰς ἡδονὴν κατήντησεν, ἀλλ' εἰς τελευτὴν τοῦ Σωκράτους· οὐκ ἄρα καλῶς λέγουσιν εἰς τετραλογίας ἐκδεδόσθαι τοὺς διαλόγους αὐτοῦ. καὶ ἄλλως ἄλλος ἐστὶ σκοπὸς ἐν τῷ Εὐθύφρονι καὶ ἄλλος ἐν τῇ Ἀπολογίᾳ καὶ ἄλλος ἐν τῷ Κρίτωνι καὶ ἄλλος ἐν τῷ Φαίδωνι.

XXVI. Ἵνα δὲ τὴν ἀληθῆ τάξιν μάθωμεν, εἴπωμεν πρῶτον, ποῖοί εἰσιν οἱ νόθοι, καὶ τούτων τὴν τάξιν μὴ ζητήσωμεν. πάντες τοίνυν κοινῶς ὁμολογοῦσι νόθους εἶναι τὸν Σίσυφον καὶ τὸν Δημόδοκον καὶ τὴν Ἀλκυόνα καὶ τὸν Ἐρυξίαν καὶ τοὺς Ὅρους, οὓς εἰς Σπεύσιππον ἀναφέρουσιν· ὡς λῇ εἶναι πάντας, ὧν τὸ Ἐπινόμιον νοθεύει ὁ θεῖος Πρόκλος διὰ τὰς εἰρημένας αἰτίας, ἐκβάλλει δὲ καὶ τὰς Πολιτείας διὰ τὸ πολλοὺς εἶναι λόγους καὶ μὴ διαλογικῶς γεγράφθαι, καὶ τοὺς Νόμους δὲ διὰ τὸ αὐτό, καὶ τὰς Ἐπιστολὰς δ' ἐκβάλλει διὰ τὸ ἁπλοῦν τῆς φράσεως, ὡς καταλιμπάνεσθαι ιβ' τοὺς πάντας διαλόγους· οἷς προστιθεμένοις ιβ' τῶν Νόμων καὶ δέκα τῆς Πολιτείας γίνονται οἱ πάντες διάλογοι νδ'. τούτων δὲ πάντων τὴν τάξιν μὴ πάνυ τι χρησιμεύουσαν, ἀλλὰ καὶ ὑπερβαίνουσαν τῷ μήκει τὴν βραχυλογίαν ὑπερτιθέμεθα, λέγομεν δὲ ὃ ὁ θεῖος Ἰάμβλιχος ἐποίησεν· αὐτὸς τοίνυν πάντας εἰς ιβ' διῄρει διαλόγους, καὶ τούτων τοὺς μὲν φυσικοὺς ἔλεγεν, τοὺς δὲ θεολογικούς· πάλιν δὲ τοὺς δώδεκα συνῄρει εἰς δύο, εἴς τε τὸν Τίμαιον καὶ τὸν Παρμενίδην, ὧν τὸν μὲν Τίμαιον ἐπὶ πᾶσι τοῖς φυσικοῖς, τὸν δὲ Παρμενίδην τοῖς θεολογικοῖς. τούτων δὲ ἄξιόν ἐστι τὴν τάξιν ζητῆσαι, διότι καὶ τούτους ἠξίωσαν πάντες πράττεσθαι. πρῶτον τοίνυν δεῖ τὸν Ἀλκιβιάδην πράττειν, διότι ἐν αὐτῷ γινώσκομεν ἑαυτούς· ἄξιον δ' ἐστὶ πρὶν ἢ τὰ ἔξω γνῶναι ἑαυτοὺς γνῶναι· πῶς γὰρ ἔχομεν ἐκεῖνα γνῶναι, ἑαυτοὺς ἀγνοοῦντες; ἔσχατον δὲ δεῖ τὸν Φίληβον, ἐπειδὴ ἐν αὐτῷ περὶ τοῦ ἀγαθοῦ διαλέγεται, ὃ πάντων ἐπέκεινά ἐστιν· οὐκοῦν καὶ αὐτὸν δεῖ πάντων ἐπέκεινα καὶ τελευταῖον εἶναι. τοὺς δ' ἐν μέσῳ οὕτω δεῖ τάττειν· πέντε οὐσῶν τῇ τάξει κατὰ βάθος τῶν ἀρετῶν, φυσικῶν, ἠθι-

κῶν, πολιτικῶν, καθαρτικῶν, θεωρητικῶν, πρῶτον δεῖ ἀναγνῶναι τὸν Γοργίαν ὡς πολιτικὸν ὄντα, δεύτερον δὲ τὸν Φαίδωνα ὡς καθαρτικόν· μετὰ γὰρ τὴν πολιτικὴν ζωὴν ἡ καθαρτικὴ ἐστιν· εἶτα ἐρχόμεθα ἐπὶ τὴν γνῶσιν τῶν ὄντων, ἥτις διὰ τῆς ἠθικῆς ἀρετῆς προσγίνεται. ταῦτα δὲ τὰ ὄντα ἢ ἐν νοήμασι θεωροῦνται ἢ ἐν πράγμασιν· οὐκοῦν μετὰ τοὺς εἰρημένους διαλόγους δεῖ ἀναγνῶναι τέταρτον τὸν Κρατύλον ὡς περὶ ὀνομάτων διδάσκοντα, εἶτα τὸν Θεαίτητον ὡς περὶ πραγμάτων. εἶτα ἐρχόμεθα μετὰ τούτους εἰς τὸν περὶ φυσικῶν διδάσκοντα, καὶ εἶθ' οὕτως ἐπὶ τὸν Φαῖδρον καὶ τὸ Συμπόσιον ὡς θεωρητικῶς καὶ περὶ θεολογικῶν διαλεγομένους· καὶ οὕτως ἐπὶ τοὺς τελείους δεῖ ἐλθεῖν, τὸν Τίμαιόν φημι καὶ τὸν Παρμενίδην. καὶ οὕτως μὲν περὶ τούτων λέγομεν· ἐπειδὴ δὲ καὶ τοὺς Νόμους καὶ τὰς Πολιτείας πράττειν ἀξιοῦσί τινες, ἄξιόν ἐστι καὶ τούτων τὸν σκοπὸν εἰπεῖν. τριῶν τοίνυν ὄντων εἰδῶν πολιτείας, τοῦ ἐξ ἐπανορθώσεως, τοῦ ἐξ ὑποθέσεως, τοῦ ἄνευ τῆς ὑποθέσεως· καὶ ἐξ ἐπανορθώσεως μὲν ὄντος, ὅταν τὰ τῆς ἡμετέρας ψυχῆς ὄντα κακὰ ἤδη ἀδιάστροφα ποιήσωμεν, ἐξ ὑποθέσεως δέ, ὅταν ὑποκειμένους νόμους ποιῶσι καὶ ἤθη τινὰ ἐν ταῖς πόλεσι, ἀνυποθέτου δέ, ὅταν μηδὲν ᾖ ὑποτεθέν, ἀλλὰ πάντα κοινὰ ὦσιν, ὡς τὸ ἐμὸν σὸν εἶναι καὶ τὸ σὸν ἐμόν, καὶ τὴν ἑκάστου περιουσίαν ἰδίαν τε εἶναι ἅμα καὶ ἀλλοτρίαν· περὶ μὲν οὖν τοῦ ἐξ ἐπανορθώσεως ἐν ταῖς Ἐπιστολαῖς διαλαμβάνει, περὶ δὲ τοῦ ἐξ ὑποθέσεως ἐν τοῖς Νόμοις, περὶ δὲ τοῦ ἀνυποθέτου ἐν τῇ Πολιτείᾳ.

XXVII. Τελευταίου δ' ὄντος εἰς ζήτησιν κεφαλαίου ἐν τοῖς προτελείοις τῶν τοῦ Πλάτωνος διαλόγων τοῦ γνῶναι ποίῳ τρόπῳ κέχρηται διδασκαλίας ὁ Πλάτων, πεντεκαίδεκα τοίνυν κέχρηται τρόποις διδασκαλικοῖς· τῷ ἐνθουσιαστικῷ, τῷ ἀποδεικτικῷ, τῷ ὁριστικῷ, τῷ διαιρετικῷ, τῷ ἀναλυτικῷ, τῷ τεκμηριώδει, τῷ εἰκονικῷ, τῷ παραδειγματικῷ, τῷ ἐπαγωγικῷ, τῷ αναλογικῷ, τῷ ἀριθμητικῷ, τῷ κατὰ ἀφαίρεσιν, τῷ κατὰ πρόσθεσιν, τῷ ἱστορικῷ, τῷ ἐτυμολογικῷ. καὶ τῷ μὲν ἐνθουσιαστικῷ κέχρηται ἐν τῷ Φαίδρῳ νυμφόληπτος γενόμενος, καὶ ἐν τῷ ἢ τῶν Πολιτικῶν περὶ Μουσῶν διαλεγόμενος, καὶ ἐν τῷ Τιμαίῳ ὑποκρινόμενος τὸν δημιουργὸν διαλεγόμενον πρὸς τὰ οὐράνια, καὶ ἐν ἄλλοις δέ τισιν· τῷ δ' ἀποδεικτικῷ πάλιν ἐν τῷ Φαίδωνι δεικνὺς τὴν

ἀθανασίαν τῆς ψυχῆς διὰ μέσου τοῦ αὐτοκινήτου· τῷ δ' ὁριστικῷ ἐν πᾶσι σχεδὸν τοῖς διαλόγοις, αὐτός τε ὁριζόμενος καὶ τοὺς προσδιαλεγομένους ὁρίζεσθαι παρασκευάζων. τῷ δὲ διαιρετικῷ κέχρηται ἐν τῷ Σοφιστῇ, λέγων, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν, ὡς οὐδὲν καυχήσεται διαφυγὸν τὴν διαιρετικὴν μέθοδον, τὴν τοῖς ἀνθρώποις ἐκ θεοῦ δοθεῖσαν διὰ μέσου Προμηθέως. τῷ δὲ ἀναλυτικῷ ἐν Τιμαίῳ κέχρηται ἀναλύων τὰ φυσικὰ πάντα εἰς δεξαμένην καὶ εἶδος, δεξαμένην καλῶν τὴν ὕλην, τὸ δὲ εἶδος πάλιν εἰς σχήματα, τὰ δὲ σχήματα εἰς τρίγωνα, τὰ δὲ ἐπέκεινα τούτων μόνον θεὸν λέγων εἰδέναι καὶ τὸν τούτῳ φίλον. τῷ δὲ τεκμηριώδει κέχρηται ἐν τῷ Ἀλκιβιάδῃ, λέγων τεκμήριον εἶναι τοῦ ψεύδους τὴν διαφωνίαν, τοῦ δ' ἀληθοῦς τὴν συμφωνίαν· τὸ δ' ἀληθὲς ἑαυτῷ οὔτε διαφωνεῖ οὔτε μάχεται. τῷ δὲ εἰκονικῷ ἐν Φαίδρῳ κέχρηται, ἀπεικάζων τὴν ψυχὴν ἡμῶν ἡνιόχῳ, τὰς δὲ δυνάμεις αὐτῆς ἵπποις, καὶ τὸν μὲν λέγων ἀγαθόν, τὸν δὲ κακόν. τῷ δὲ παραδειγματικῷ ἐν ταῖς Πολιτείαις λέγων ἐοικέναι τὴν μὲν πόλιν ναΐ, τὸν δὲ δῆμον ναυκλήρῳ, τοὺς δὲ ἄρχοντας ναύταις βουλομένοις μεθύσαι τὸν ναύκληρον, ὅπως ἐπ' ἐξουσίας ἔχοιεν πράττειν ὅ τι καὶ βούλονται· διαφέρει δὲ ὁ εἰκονικὸς τοῦ παραδειγματικοῦ τῷ μᾶλλον τὸν εἰκονικὸν ἐνδείκνυσθαι καὶ μιμεῖσθαι τὴν φύσιν, ἧς ἐστὶν εἰκών, τὸν δὲ παραδειγματικὸν ἧττον μιμεῖσθαι. ἀμέλει γοῦν καὶ τῷ τῆς εἰκόνος ὀνόματι δυνατόν ἐστι καλέσαι τὸ ἀληθὲς πρᾶγμα· οὐ γοῦν τὴν ψυχὴν ἡνίοχον λέγοντες οὐκ ἂν ἁμάρτοιμεν· τῷ δὲ τοῦ παραδειγματικοῦ οὐ δυνατὸν καλέσαι· τίς γὰρ ἐρεῖ πόλιν ναῦν; τούτου δ' αἴτιον τὸ μᾶλλον ἐοικέναι καὶ ἧττον. τῷ δὲ ἐπαγωγικῷ κέχρηται ἐν τῷ Ἀλκιβιάδῃ, ἔνθα λέγει, ὅτι ὁ ἕνα πείθων καὶ πολλοὺς δύναται πεῖσαι, καὶ ὁ πολλοὺς πείθων καὶ ἕνα οἷός ἐστι πεῖσαι, καὶ τοῦτο πιστοῦται δι' ἐπαγωγῆς· ὁ γοῦν γεωμέτρης ἕνα πείθων καὶ πολλοὺς δύναται πεῖσαι, καὶ πολλοὺς πείθων ὁ αὐτὸς καὶ ἕνα δῆλον ὅτι πεῖσαι δύναται. * τῷ δὲ ἀναλογικῷ κέχρηται * ἐν τῷ Γοργίᾳ λέγων, ὅτι ὡς ἰατρικὴ πρὸς ὀψοποιΐαν, οὕτως δικαστικὴ πρὸς σοφιστικήν· ὥσπερ γὰρ ἰατρικὴ πρὸς τὸ ἀγαθὸν καὶ συμφέρον ὁρῶσα προσφέρει τόδε τὸ βοήθημα ἢ τὸ ἔδεσμα κἂν ἀηδὲς ᾖ, ἡ δὲ ὀψοποιητικὴ πρὸς τὸ ἡδὺ μόνον ὁρᾷ κεκαρυκευμένον ποικίλαις ποιότησιν, οὕτως καὶ ἡ δικαστικὴ τὰ συμφέροντα μόνον καὶ ἀγαθὰ ποιεῖ, ἡ δὲ ῥητορικὴ τὰ ἡδέα

σοφιστικὴν δὲ ἐκεῖ τὴν ῥητορικὴν καλεῖ· ὅθεν λέγουσί ποτε τὸν Αἰσχίνην ἀναβάντα ἐπὶ τοῦ βήματος εἰπεῖν πρὸς τοὺς ἀκροατὰς ὅτι τί βούλεσθε; τί εἴπω; τί ὑμῖν χαρίσωμαι; δέδεικται δὲ τὸ εἰρημένον διὰ γεωμετρικῆς ἀναλογίας, ὡς τόδε, καὶ τόδε. τῷ δ' ἀριθμητικῷ κέχρηται ἐν Φιλήβῳ λέγων ἓξ εἶναι τάξεις τῶν ἀγαθῶν, καὶ ποῖαι αὗται, ταύτας ἀπαριθμούμενος. τῷ δ' ἀφαιρετικῷ κέχρηται ἐν Τιμαίῳ, τηρῶν καὶ εὑρίσκων τὴν ὕλην ἐκ τῆς ἀφαιρέσεως πάντων τῶν εἰδῶν· τῷ δὲ προσθετικῷ ἐν τῷ Ἀλκιβιάδῃ· καὶ τίθεται γὰρ ζητεῖν τί ἐστιν ὁ ἄνθρωπος, πότερον σῶμα ἢ ψυχὴ ἢ τὸ συναμφότερον, καὶ δείκνυσιν, ὡς οὔτε τὸ σῶμα οὔτε τὸ συναμφότερον, ἀλλὰ ἡ ψυχὴ καθ' αὑτήν· εἶτα προϊὼν προστίθησιν ὡς οὐ πᾶσα ψυχή· οὐ γὰρ δὴ ἥ γε φυτικὴ ἢ ἡ ἄλογος, ἀλλ' ἡ λογική· καὶ πάλιν ὅτι ὁ ἄνθρωπος μεσότης ἐστὶ τῶν τε θείων καὶ τῶν γενητῶν, καὶ ὅρα πῶς προϊὼν προσέθηκε τῇ ζητήσει. τῷ δ' ἱστορικῷ κέχρηται ἐν τοῖς Νόμοις, ἱστορῶν τὰ ἀπὸ τοῦ κατακλυσμοῦ ἕως τῶν Περσικῶν· τῷ δ' ἐτυμολογικῷ ἐν τῷ Θεαιτήτῳ.

XXVIII. Καὶ μέχρι μὲν τούτων ἔστω τὰ προτέλεια τῆς συναναγνώσεως τῆς Πλάτωνος φιλοσοφίας ἐν ἕνδεκα κεφαλαίοις περικλεισθέντα· ἑνὶ μὲν τῷ περιέχοντι τὴν ἱστορίαν τοῦ φιλοσόφου, ἑτέρῳ δὲ τὸ εἶδος τῆς φιλοσοφίας αὐτοῦ, καὶ τρίτῳ διὰ τί εἰς τὸ συγγράφειν ἦλθεν· τετάρτῳ δὲ διὰ τί τὸ διαλογικὸν εἶδος τῆς λογογραφίας ἐπετήδευσε, πέμπτῳ δέ, τίνα συμπληροῦσι τοὺς διαλόγους· ἕκτῳ πόθεν τὰς διαιρέσεις τῶν Πλάτωνος διαλόγων ποιητέον, ἑβδόμῳ πόθεν τὰς ἐπιγραφὰς δεῖ θηρᾶν, ὀγδόῳ δέ, ποίῳ τρόπῳ ὑφηγήσεως ἐν τοῖς διαλόγοις κέχρηται, τοῦτ' ἔστι τί ἐστιν ἡ διασκευή· ἐννάτῳ δὲ πόθεν τοὺς σκοποὺς τῶν διαλόγων θηρατέον, δεκάτῳ δέ, τίς ἡ τάξις τῶν διαλόγων, τελευταίῳ δέ, πόσοις τρόποις κέχρηται διδασκαλίας ὁ θειότατος Πλάτων.

B. λάχε δίκην] κλήρῳ γὰρ εἰσῆγον τὰς δίκας δι' εὐταξίαν. R.

D. κατὰ τὴν ὁσιότητα] ἀντὶ τοῦ ὁμοίως, παραπλησίως τῇ ὁσιότητι. O.

6 B. ἆρά γε] ἴδε πῶς ὁ Πλάτων οὐ δέχεται περὶ θεοῦ λέγεσθαι τὰ παρὰ τῶν ποιητῶν μυθευόμενα, οἷον ἔχθρας, πολέμους, συνουσίας καὶ τὰ τοιαῦτα. ὁ ὅλος γὰρ σκοπὸς τῆς καθεξῆς διαλέξεως εἰς τοῦτο σπουδάζει. R S.

C. ἐπὶ σχολῆς] ἐπὶ τῆς παρὰ τοῖς πολλοῖς λεγομένης εὐκαιρίας. R S.

D. θεῖα] γρ. καὶ ὅσια ὅσιά ἐστιν. R.

7 B. ἀπαλλαγεῖμεν Ἀττικόν, ἢ συγκοπῇ τοῦ ῆ ἢ κατὰ κρᾶσιν. O.

8 C. Οὐδὲν] Ἀττικὸς ὁ τοῦ δεν πλεονασμός. O.

11 B. Δαιδάλου, ὡς ἔοικε, τῶν τῆς γονῆς οἰκετῶν Σωκράτης ἀπόρροια. ταύτῃ μοι δοκεῖ κατὰ τὸ συγγενὲς καὶ λιθοξοϊκὴν ἀσκεῖσθαι Σωκράτη τέως, εἰ μὴ Ἀρχέλαος ὁ φιλόσοφος ἀπὸ ταύτης ἀναστήσας τῆς τέχνης τὸν ἄνδρα φιλοσοφίᾳ ἠγάγετο· ἐτεκμήρατο γὰρ τὸ τῆς ψυχῆς ἐντρεχὲς καὶ δραστήριον καὶ πρὸς φιλοσοφίαν ὑπτίως ἔχον, οἷς πρὸς τοὺς ὁμοτέχνους ἀντέλεγε στερόμενος τῶν μισθῶν. Δαίδαλος δὲ Ἀθηναῖος ἦν τῶν πώποτε ἀνδριαντοποιῶν περιφανέστατος. πρῶτος δὲ καὶ περισκελὲς ἄγαλμα ἐσχημάτισε, τῶν πρὸ ἐκείνου κατὰ ταὐτὸ συμβεβληκότα τῷ πόδε τὰ βρέτη ἐργαζομένων. ἀφ' οὗ δὴ καὶ ὁ τοῦ περιέναι καὶ κινεῖσθαι τὰ φιλοτεχνήματα αὐτοῦ ὑπὸ τῶν πολλῶν ἀνάκειται λόγος αὐτῷ, ὃν καὶ νῦν Σωκράτης παίζων Εὐθύφρονα προάγει. O.

12 A. ἵνα περ δέος, ἔνθα καὶ αἰδώς, ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων. R S.

A. θ' ἕρξαντα] γρ. καὶ στέρξαντα. R.

D. σκαληνὸς ὁ σκολιὸς καὶ πολυγώνιος· τοῦ γὰρ τριγώνου ἐστὶν εἴδη τρία, ἰσόπλευρον, ἰσοσκελές, σκαληνόν. R. τὸ σκαληνὸν γὰρ τρίγωνόν ἐστιν ἐκ τριῶν ἀνίσων πλευρῶν, τὸ δὲ ἰσοσκελὲς τρίγωνον τῶν δύο μὲν πλευρῶν ἴσων ἀλλήλαις οὐσῶν, μιᾶς δὲ ἀνίσης ταῖς δυσίν. ἐν οἷς οὖν ὁ ἄρτιος ἀριθμὸς εἰς δύο ἴσα ςς τέμνεται, ὡς ὁ ὀκτὼ φέρε, ὁ δὲ περιττὸς εἰς δύο ἄνισα, ὡς ὁ πέντε, εἰκότως τὸν μὲν ἰσοσκελῆ τὸν δὲ σκαληνὸν ὠνομάσθαι. O.

τὸν Δία τὴν βασιλείαν παραλαβόντα ἐπιτρέψαι τῇ Ἑστίᾳ λαβεῖν ὅ τι ἂν βούλοιτο, τὴν δὲ τὴν παρθενίαν αἰτήσασθαι καὶ τὰς ἀπαρχὰς παρὰ τῶν ἀνθρώπων. Ἄλλως. ἀφ' ἑστίας. παροιμία δέ ἐστι, μετενήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ δρωμένων· ἔθος γὰρ ἦν τῇ Ἑστίᾳ τὰς ἀπαρχὰς ποιεῖσθαι. ἢ ἀφ' ἑστίας ἤτοι ἀπὸ τῶν οἰκειοτάτων· ἑστία γὰρ ἡ οἰκία: R S.

A. κακουργεῖν τὴν πόλιν] σημείωσαι διὰ τὴν σύνταξιν. O.

B. ὡς οὕτω γ' ἀκοῦσαι] ἀντὶ τοῦ κατ' αὐτὴν τὴν ἀκοήν, ὡς αὐτὸ ἔφη μὴ βούλεται .... O.

C. ὁμόσε ἰέναι] δύο σημαίνει τοῦτο, παρὰ μὲν τοῖς ῥήτορσι τὸ ἀπ' ἐναντίας ἤτοι τὸ ἀντικείμενον, ὡς παρὰ Δημοσθένει ἐν τῷ κατὰ Διονυσοδώρου· αὐτὸς δὲ ὁρᾷ ἡμᾶς ὁμόσε πορευομένους· παρ' Ὁμήρῳ δὲ τὸ ὁμοῦ, ὡς ἐπὶ τοῦδε·

ὅσσοι ἀπ' Ἰδαίων ὀρέων ἅλαδε προρέουσιν,
Ῥῆσός θ' Ἑπτάπορός τε, Κάρησός τε Ῥοδίος τε,
Γρήνικός τε καὶ Αἴσηπος, διός τε Σκάμανδρος,
καὶ Σιμόεις, ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
κάππεσον ἐν κονίῃσι, καὶ ἡμιθέων γένος ἀνδρῶν·
τῶν πάντων ὁμόσε στόματ' ἔτραπε Φοῖβος Ἀπόλλων. O.

4 A. πολλοῦ γε δεῖ] ἀντὶ τοῦ οὐδαμῶς. O.

A. ἢ που] ἴσως, σχεδόν. R.

C. πελάτης ὁ ἀντὶ τροφῶν [καὶ] ὑπηρετῶν καὶ προσπελάζων ἀπὸ τοῦ πέλας ἤτοι ἐγγὺς ἐκαλεῖτο· ὁ δι' ἔνδειαν προσιών, μίσθιος δὲ ὑπηρετῶν. Ἄλλως. πελάται εἰσὶν οἱ παρὰ τοῖς πλησίον ἐργαζόμενοι, καὶ θῆτες οἱ αὐτοὶ δὲ καὶ ἑκτήμοροι, ἐπεὶ τῷ ἕκτῳ μέρει τῶν καρπῶν εἰργάζοντο τὴν γῆν. R S. πελάτης ἑταῖρος, συνήθης, παρὰ τὸ πελάζω, οἷον ὁ πέλας ὤν. O.

C. ἐξηγητοῦ] τοῦ τοὺς νόμους ἐξηγουμένου. R S.

D. μετάληψις ἡ στάσις αὕτη, καὶ μετάληψις ἄγραφος· οὐ γὰρ ἀπὸ ῥητοῦ τὴν παραγραφὴν ποιεῖται. ἡ μέντοι ἀντίθεσις ἀντεγκληματική· ἀντεγκαλεῖ γὰρ ὁ φεύγων, ὡς ἄξιος παθεῖν τοῦτο ὁ τεθνηκὼς ὡς ἀνδροφόνος. O.

5 A. λέγοντα] σημείωσαι πῶς οὐ πρὸς δοτικὴν ἀπέδωκε τὸ λοιπὸν τοῦ λόγου, ἀλλ' αἰτιατικὴν ἐπήνεγκεν, οἷον κράτιστόν ἐστι μαθητῇ σῷ γενέσθαι αὐτὰ ταῦτα λέγοντα. O.

A. αὐτοσχεδιάζοντα] ἐκ τοῦ αὐτομάτου καὶ προχείρου καὶ ἀπόνου λέγοντα, χωρὶς αἰτίας. R S.

B. λάχε δίκην] κλήρῳ γὰρ εἰσῆγον τὰς δίκας δι' εὐταξίαν. R.

D. κατὰ τὴν ὁσιότητα] ἀντὶ τοῦ ὁμοίως, παραπλησίως τῇ ὁσιότητι. O.

6 B. ἆρά γε] ἴδε πῶς ὁ Πλάτων οὐ δέχεται περὶ θεοῦ λέγεσθαι τὰ παρὰ τῶν ποιητῶν μυθευόμενα, οἷον ἔχθρας, πολέμους, συνουσίας καὶ τὰ τοιαῦτα. ὁ ὅλος γὰρ σκοπὸς τῆς καθεξῆς διαλέξεως εἰς τοῦτο σπουδάζει. R S.

C. ἐπὶ σχολῆς] ἐπὶ τῆς παρὰ τοῖς πολλοῖς λεγομένης εὐκαιρίας. R S.

D. θεῖα] γρ. καὶ ὅσια ὅσιά ἐστιν. R.

7 B. ἀπαλλαγεῖμεν Ἀττικόν, ἢ συγκοπῇ τοῦ ῆ ἢ κατὰ κρᾶσιν. O.

8 C. Οὐδὲν] Ἀττικὸς ὁ τοῦ δεν πλεονασμός. O.

11 B. Δαιδάλου, ὡς ἔοικε, τῶν τῆς γονῆς οἰκετῶν Σωκράτης ἀπόρροια. ταύτῃ μοι δοκεῖ κατὰ τὸ συγγενὲς καὶ λιθοξοϊκὴν ἀσκεῖσθαι Σωκράτη τέως, εἰ μὴ Ἀρχέλαος ὁ φιλόσοφος ἀπὸ ταύτης ἀναστήσας τῆς τέχνης τὸν ἄνδρα φιλοσοφίᾳ ἠγάγετο· ἐτεκμήρατο γὰρ τὸ τῆς ψυχῆς ἐντρεχὲς καὶ δραστήριον καὶ πρὸς φιλοσοφίαν ὑπτίως ἔχον, οἷς πρὸς τοὺς ὁμοτέχνους ἀντέλεγε στερόμενος τῶν μισθῶν. Δαίδαλος δὲ Ἀθηναῖος ἦν τῶν πώποτε ἀνδριαντοποιῶν περιφανέστατος. πρῶτος δὲ καὶ περισκελὲς ἄγαλμα ἐσχημάτισε, τῶν πρὸ ἐκείνου κατὰ ταὐτὸ συμβεβληκότα τῷ πόδε τὰ βρέτη ἐργαζομένων. ἀφ' οὗ δὴ καὶ ὁ τοῦ περιιέναι καὶ κινεῖσθαι τὰ φιλοτεχνήματα αὐτοῦ ὑπὸ τῶν πολλῶν ἀνάκειται λόγος αὐτῷ, ὃν καὶ νῦν Σωκράτης παίζων Εὐθύφρονα προάγει. O.

12 A. ἵνα περ δέος, ἔνθα καὶ αἰδώς, ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων. R S.

A. θ' ἕρξαντα] γρ. καὶ στέρξαντα. R.

D. σκαληνὸς ὁ σκολιὸς καὶ πολυγώνιος· τοῦ γὰρ τριγώνου ἐστὶν εἴδη τρία, ἰσόπλευρον, ἰσοσκελές, σκαληνόν. R. τὸ σκαληνὸν γὰρ τρίγωνόν ἐστιν ἐκ τριῶν ἀνίσων πλευρῶν, τὸ δὲ ἰσοσκελὲς τρίγωνον τῶν δύο μὲν πλευρῶν ἴσων ἀλλήλαις οὐσῶν, μιᾶς δὲ ἀνίσης ταῖς δυσίν. ἐν οἷς οὖν ὁ ἄρτιος ἀριθμὸς εἰς δύο ἴσα ϛξ τέμνεται, ὡς ὁ ὀκτὼ φέρε, ὁ δὲ περιττὸς εἰς δύο ἄνισα, ὡς ὁ πέντε, εἰκότως τὸν μὲν ἰσοσκελῆ τὸν δὲ σκαληνὸν ὠνομάσθαι. O.

14 D. οὐ χαμαί] παροιμία, οὐ μὴ χαμαὶ πέσῃ, ἐπὶ τῶν διακενῆς οὐδὲν λεγόντων, ἀλλ' ἐπιτυγχανόντων. R·S.

E. οὐδὲν γὰρ] συνῳδὸν τῷ πᾶσα δόσις ἀγαθὴ καὶ ἔξῃς. O.

15 A. σημείωσαι διὰ τὴν σύνταξιν. O.

A. γέρα] γρ. καὶ ἔργα. R.

B. τὸν Δαίδαλον] γρ. καὶ τὸν διδάσκαλον. R.

C. σημείωσαι πῶς τῷ ἄρτι κατὰ πλάτος ἐχρήσατο. O.

C. ἐκὼν εἶναι] Ἀττικὸν τοῦτο, καὶ παρέλκει τὸ εἶναι. γίνεται δὲ ἐπὰν ἀρνητικὸν ἐπιφέρηται ποιοῦν ἀπόφασιν, ἐπὶ καταφατικοῦ δὲ οὐκ ἐξὸν τοῦτο ποιεῖν. O.

D. εἴπερ τις ἄλλος] ὡς οὐδεὶς ἄλλος. R.

D. θὴς ὁ μισθοῦ δουλεύων. R.

D. διωκάθειν] ἤγουν διώκειν. R.

ΕΙΣ ΤΗΝ ΣΩΚΡΑΤΟΥΣ ΑΠΟΛΟΓΙΑΝ.

P. 17 D. πρῶτον] παραγραφικοῦ δύναμιν ἔχει τοῦτο· σχεδὸν γὰρ τοῦτο λέγει, ὅτι τοσούτοις ἔτεσιν οὐδενὶ δέδωκα δίκας τὸν αὐτὸν τρόπον πολιτευόμενος. O.

D. τὸ τοῦ ἤθους ἁπλαστον πιθανότητα ποιεῖ. εἰκότως οὖν οὕτω χρῆται νῦν Σωκράτης. O.

18 B. οὗτος ὁ Ἄνυτος Ἀνθεμίωνος ἦν υἱός, Ἀθηναῖος γένος, Ἀλκιβιάδου ἐραστής, πλούσιος ἐκ βυρσοδεψικῆς· ὅθεν καὶ σκωπτόμενος ὑπὸ Σωκράτους διὰ τοῦτο . . . . . ἔπεισε μισθῷ Μέλητον ἀσεβείας γραφὴν δοῦναι κατὰ Σωκράτους. μέμνηται Λυσίας ἐν Σωκράτους ἀπολογίᾳ καὶ Ξενοφῶν ὁμοίως, καὶ Ἀριστόξενος ἐν τῷ Σωκράτους βίῳ . . . Θεόπομπος δὲ Στρατιώτισιν Ἐμβάδαν αὐτὸν εἶπε παρὰ τὰς ἐμβάδας, ἐπεὶ καὶ Ἄρχιππος Ἰχθύσιν εἰς σκυτέα αὐτὸν σκώπτει. Μέλητος δὲ τραγῳδίας φαῦλος ποιητής, Θρᾷξ γένος, ὡς Ἀριστοφάνης Βατράχοις, Πελαργοῖς Λαΐου υἱὸν αὐτὸν λέγων, ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐδιδάσκοντο, καὶ ὁ Μέλητος Οἰδιπόδειαν ἔθηκεν, ὡς Ἀριστοτέλης Διδασκαλίαις. ἐν δὲ Γεωργοῖς ὡς Καλλίαν περαίνοντος αὐτοῦ μίμ[illegible] γραται αὐτοῦ καὶ Λυσίας ἐν Σωκράτους ἀπολογίᾳ. [illegible]

C. ἐρήμην κατηγοροῦντες] ἐρήμη δίκη ἐστίν, ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν καταδιαιτηθῇ. R S. ἀντὶ τοῦ εἰς ἐρήμην δίκην κατηγοροῦντες. λέγεται καὶ ἐρήμην ἁλῶναι ἀντὶ τοῦ εἰς ἐρήμην δίκην ἐμπεσεῖν. ἐρήμη δὲ δίκη λέγεται ἡ μὴ ἔχουσα τὸν ἀπολογούμενον. O.

C. εἰς Ἀριστοφάνην αἰνίττεται τὸν κωμικόν. O.

19 B. ἀντωμοσία ἐπὶ δίκῃ λέγεται, διὰ τὸ ὀμνύναι ἑκατέρους, τὸν μὲν ἐγκαλοῦντα ὅτι ἠδίκηται, τὸν δὲ ἐγκαλούμενον μὴ ἠδικηκέναι. οἱ δὲ ἀντωμοσίαν τὴν ἐπὶ πράγμασιν ἀμαρτύροις καὶ ἀνεγγράφοις εἰς ὅρκον περισταμένην δίκην, ἐφ' οἷς οἱ κριταὶ δοξάζουσιν. ἔνιοι ὅταν ἐπὶ δημοσίῳ ἀγῶνι σκηπτομένου τινὸς κάμνειν ὁ ἀντίδικος ἀντομνύηται, φάσκων προσποιεῖσθαι αὐτόν, καὶ περὶ τούτου διαλαμβάνωσιν οἱ δικασταί. οἱ δέ, ὅτι ὁ τοῦ κατηγορουμένου ὅρκος ἀντωμοσία, ἐπὶ τῷ τἀληθῆ ἀπολογήσεσθαι, ὥσπερ τοῦ κατηγοροῦντος πρότερον διωμοσία, ἐπὶ τῷ τἀληθῆ κατηγορήσειν. R S.

C. Ἀριστοφάνης ὁ κωμῳδιοποιὸς φαλακρὸς ἦν, ὡς αὐτὸς φησὶν Εἰρήνῃ· ἐκωμῳδεῖτο δ' ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν. Κρατῖνος·

τίς δὲ σύ; κομψός τις ἔροιτο θεατής
ὑπολεπτόλογος γνωμιδιώτης εὐριπιδαριστοφανίζων.

καὶ αὐτὸς δ' ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις·

χρῶμαι γὰρ αὐτοῦ, φησί, τοῦ στόματος τῷ στρογγύλῳ·
τοὺς νοῦς δ' ἀγοραίους ἧττον ἢ 'κεῖνος ποιῶ.

Ἀριστώνυμος δ' ἐν Ἥλῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν Γέλωτι τετράδι φασὶν αὐτὸν γενέσθαι, διο τὸν βίον κατέτριψεν ἑτέροις πονῶν· οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν, ὡς καὶ Φιλόχορος ἐν τῇ πρώτῃ περὶ ἡμερῶν ἱστορεῖ. ταύτῃ δὲ καὶ Ἡρακλῇ φασὶ γεννηθῆναι. τρεῖς δ' ἔσχεν υἱούς, Φίλιππον τὸν τοῖς Εὐβούλου δράμασιν ἀγωνισάμενον, καὶ Ἀραρότα ἰδίοις τε καὶ τοῦ πατρὸς δράμασι διηγωνισμένον, καὶ τρίτον, ὃν Ἀπολλόδωρος μὲν Νικόστρατον καλεῖ, οἱ δὲ περὶ Δικαίαρχον Φιλεταῖρον. κατεκλήρωσε δὲ καὶ τὴν Αἴγιναν, ὡς Θεογένης ἐν τῷ περὶ Αἰγίνης. κωμῳδεῖται δὲ ὅτι καὶ τὸ τῆς [illegible] κολοσσικὸν ἐξῆρεν ἄγαλμα· Εὔπολις. Αὐτολύκῳ, Πλά-

[illegible] ἄνευ μισθοῦ. R.

E. ἦ δ' ὃς — ἦν δ' ἐγὼ] ἔφη οὗτος — ἔφην δ' ἐγώ. R.

20 A. *Χαιρεφῶν οὗτος ὁ Σωκρατικὸς ἰσχνὸς ἦν καὶ ὠχρός, τὸ δὲ ἦθος συκοφάντης καὶ κόλαξ, πρὸς δὲ καὶ πλέκτης καὶ αὐχμηρός, τὴν δὲ περιουσίαν πένης. Εὔπολις μὲν οὖν ἐν Πόλεσι διὰ τὴν χροιὰν πύξινον αὐτὸν καλεῖ, Ἀριστοφάνης δ' ἐν Ὄρνισι νυκτερίδα, ἐν δὲ Τελμισσεῦσιν εἰς συκοφάντην ἀποσκώπτει· Κρατῖνος Πυτίνῃ εἰς αυχμηρὸν καὶ πένητα· Εὔπολις δ' ἐν Κόλαξιν Καλλίου κόλακα λέγει, Ἀριστοφάνης δ' ἐν Δράμασι πλέπτην· ἐν δ' Ὥραις νυκτὸς αὐτὸν παῖδα καλεῖ.* O.

21 A. ἀνεῖλεν] *χρησμὸς περὶ Σωκράτους δοθεὶς Χαιρεφῶντι τῷ Σφηττίῳ·*

σοφὸς Σοφοκλῆς, σοφώτερος Εὐριπίδης·
ἀνδρῶν δ' ἁπάντων Σωκράτης σοφώτατος. O.

E. ἦα] ἀντὶ τοῦ ἐπορευόμην. R.

E. ἰτέον] κατὰ κοινοῦ τὸ ἐδόκει, ἵν' ᾖ ἐδόκει οὖν ἰτέον εἶναι σκοποῦντι. O.

E. νὴ τὸν κύνα] *Ῥαδαμάνθυος ὅρκος οὗτος ὁ κατὰ κυνὸς ἢ χηνὸς ἢ πλατάνου ἢ κριοῦ ἢ τινος ἄλλου τοιούτου·*

οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων,
ἔπειτα χήν· θεοὺς δ' ἐσίγων,

Κρατῖνος Χείρωσι. κατὰ τούτων δὲ νόμος ὀμνύναι, ἵνα μὴ κατὰ θεῶν οἱ ὅρκοι γίγνωνται. τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι. R S.

22 A. ἦ μὴν] ὄντως δή. R.

B. ἐπ' αὐτοφώρῳ] ἐπ' αὐτόπτῳ, ἐπ' ὄψει. R.

C. ἤκουσαν] γρ. ἃ οὐκ ἦσαν. R.

23 E. *Ἄνυτος μὲν καὶ Μέλητος εἴρηνται τίνες, ὅτι ὁ μὲν πλούσιος ἐκ σκυτοδεψικῆς, Μέλητος δὲ τραγῳδιοποιὸς φαῦλος· Λύκων μέντοι πατὴρ ἦν Αὐτολύκου, Ἴων γένος, δήμων Θορίκιος, πένης, ὡς Κρατῖνος Πυτίνῃ, Ἀριστοφάνης Σφηξίν. Εὔπολις δ' ἐν Φίλοις καὶ ἐπὶ τῇ γυναικὶ Ῥοδίᾳ κωμῳδεῖ αὐτόν, ἐν δὲ τῷ πρώτῳ Αὐτολύκῳ εἰς ξένον, Μεταγένης δ' Ὁμήρῳ εἰς προδότην·*

- - - - - καὶ Λύκων ἐνταῦθά που
- - προδοὺς Ναύπακτον ἀργύριον λαβὼν
ἀγορᾶς ἄγαλμα ξενικὸν ἐμπορεύεται. O.

24 C. *χαριεντίζεται*] *εὐτραπελεύεται, σκώπτει.* R.

25 C. ὦ τᾶν] ὦ οὗτος, ὦ ἑταῖρε, ὦ τάλαν, ὦ μέλε· ταῦτα καὶ τοῖς νεωτέροις ὑπὸ τῶν γυναικῶν λέγεται μόνων, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν. πολλάκις δὲ καὶ ἐπὶ πλήθους ἐπὶ τὸ ὦ τᾶν, ὡς παρὰ Κτησιφῶντι. οἱ δὲ Ἀττικοὶ τὴν πρώτην συλλαβὴν περισπῶσι, τὴν δὲ δευτέραν βαρύνουσι, καὶ βέλτιον· ἀδύνατον γὰρ μίαν λέξιν εὑρεθῆναι δύο ἔχουσαν περισπωμένας. ἄδυμος δὲ τὸ πλῆρες εἶναί φησιν ὦ ἔταν, ἀγνοῶν ὡς ἀπὸ τοῦ ἕτης ἡ κλητικὴ ἐστιν ἔτα, καὶ Δωρικῶς ἔταν. R S.

27 C. ἀντιγραφή ἐστιν, ὅταν ὁ φεύγων καὶ αὐτὸς γράφηται τὸν διώκοντα, ὡς ἐπὶ τῶν λαγχανόντων τὴν μὴ οὖσαν δίκην ἐπὶ τῶν παραγραφομένων· καὶ οὗτοι γὰρ τρόπον τινὰ κατηγοροῦσιν. R S.

D. καλῶς γε σὺ ποιῶν, Σώκρατες, ἄγνοις καὶ ἵπποις τοὺς ἐμοὺς Ἀθηναίων παραβάλλεις. O.

28 C. τιμωρήσεις] ἀντὶ τοῦ ἐκδικήσεις, ἢ ἀντὶ τοῦ εἰ τῷ πατρόκλῳ ἐκδίκησιν τοῦ φόνου παράσχῃς. τὸ τιμωρῷ δὲ σημειωτέον ὅτι δοτικῇ συντάσσεται, ὅτε ἀντὶ τοῦ βοηθῶ λαμβάνεται. O.

30 D. πολλοῦ δέω] πόρρω λίαν εἰμί. R.

31 C. τί τὸ Σωκράτους δαιμόνιον ὃ τινές φασιν ὅτι ἦχω τὸ κρεῖττον καταλαμβάνεται αὐτῷ οὖς. O.

40 D. κατέδαρθεν] κατεκοιμήθη. R.

ΕΙΣ ΤΟΝ ΚΡΙΤΩΝΑ.

P. 43 A. ἐπιεικῶς] ἱκανῶς, ἐπίπαν, φιλικῶς παρὰ Πλάτωνι. S.

D. ἀλλὰ δοκεῖ] γράφεται καὶ ἀλλὰ δοκεῖν. R.

45 C. χωρὶς μὲν] γράφεται καὶ ἀλλὰ χωρὶς μέν. R.

D. εἰ γὰρ ὤφελον] ἀντὶ τοῦ εἴθε. R.

46 E. ὅσα γε ἀνθρώπεια] ἀντὶ τοῦ ὅσον κατ' ἄνθρωπον, ὅσον εἰς γνῶσιν ἦκεν ἀνθρώπων, ὅσον αἰσθάνεσθαι ἄνθρωπος δύναται. O.

48 C. χρήματα πράττοντες ἀντὶ τοῦ τελοῦντες. R.

50 A. εἰπέ μοι] σημείωσαι τὴν μετάβασιν τοῦ ἀριθμοῦ. O.

51 E. γεννῆται οἱ τοῦ αὐτοῦ γένους μετέχοντες καὶ ἀπ' ἀρχῆς ἔχοντες κοινὰ ἱερά. οἱ δὲ ὁμογάλακτας, φράτορας, συγγενεῖς τοὺς γεννήτας. R S. ζήτει δὲ εἰ διὰ β νν γραφόμενον γεννῆται ὀφείλει γράφεσθαι. O.

54 D. δύο σημαίνει τὸ ἴσθι, τό τε ὑπάρχειν καὶ τὸ γνῶναι. εἰ μὲν οὖν κατα τὸ ὑπάρχειν, τοῦτο βούλεται ἐνταῦθα δηλοῦν· ἔσο νῦν καὶ διαγίνου τοῖς παροῦσιν εἰς πάντα ὅσα γέ μοι δοκεῖ, ἢ ταῦτα νῦν ἔσο τὰ ἐμοὶ δοκοῦντα. κατὰ δὲ τὸ τοῦ γνῶναι σημαινόμενον οὕτως· γνῶθι κατὰ τὰ ἐμοὶ νῦν δοκοῦντα ὡς εἴπερ ταῦτα ἐρεῖς μάτην ἐρῶν. O.

ΕΙΣ ΤΟΝ ΦΑΙΔΩΝΑ.

P. 57 A. οὐδεὶς πάνυ τι] ἀντὶ τοῦ οὐδαμῶς. ἐστὶ γὰρ τὸ ἑξῆς οὕτως· πάνυ οὐδεὶς ἐπιχωριάζει. O.

58 B. θεωρίαν ἀπάξειν] ἀντὶ τοῦ θυσίαν ἀπενεγκεῖν. θεωροὶ δέ εἰσιν οἱ πεμπόμενοι θῦσαι καὶ θεραπεῦσαι τὸν θεόν· ὅθεν καὶ αἱ ὁδοὶ δι' ὧν ἐπορεύοντο θεωρίδες κέλευθοι ἐκαλοῦντο, καὶ τὰ διδόμενα θεωρικά, καὶ ἡ ναῦς ἡ εἰς Δῆλον πεμπομένη θεωρίς, καὶ ὁ ἱερεὺς θεωρός. R S.

60 B. ἄτοπον τὸ θαυμαστόν, ὡς καὶ ἐν Θεαιτήτῳ φησίν· οὐδέν γ' ἄτοπον, ἀλλὰ πολὺ θαυμαστότερον ἦν· ἐσαφηνίσθη γὰρ διὰ τῆς ἀντιθέσεως. τάττεται δὲ καὶ ἐπὶ τοῦ ἀνυπόπτου· Εὔπολις Μαρικᾷ·

καὶ πόλλ' ἀγάθ' ἐν τοῖσι κουρείοις ἐγώ
ἀτόπως καθίζων, κοὐδὲ γινώσκειν δοκῶν.

καὶ τὸ ἀδόκητον καὶ ἀνυπονόητον. οἱ δὲ ἄλογον. R S.

61 C. καθῆκε τὰ σκέλη] συντονώτερον ἀνέλαβε σχῆμα καὶ σεμνότερον, ὡς περὶ προβλήματος σεμνοτέρου μέλλων διαλέγεσθαι. R S.

D. τὸ μὴ θεμιτὸν] κατὰ τὸν Κέβητα ἡ τάξις τῶν προβλημάτων· τὸ πρῶτον πρόβλημα τὸ μὴ ἐξάγειν ἑαυτόν, οὐ ἐπιχείρημα μυθικὸν [illegible] R S.

D. [illegible]

κοῖον. ὃς καὶ δι' αἰνιγμάτων ἐδίδασκε, καθάπερ ἦν ἔθος αὐτοῖς. ἦλθεν οὖν οὗτος εἰς Θήβας, τεθνεῶτι τῷ διδασκάλῳ Λύσιδι χοὰς ποιήσων, ἐκεῖ τεθαμμένῳ. Ἵππαρχος δὲ καὶ Φιλόλαος μόνοι τῆς εἰρημένης συμφορᾶς τῶν Πυθαγορείων διεσώθησαν [πρὸς τὸν Λύσιν δὲ τοῦτον Πλάτων ποιεῖται τὸν διάλογον]. R S.

E. τὸ μὲν ἴσως διὰ τὸ μυθικὸν ἐπιχείρημα, τὸ δὲ μάλιστα διὰ τὸ φιλόσοφον. R S.

E. μέχρις ἡλίου δυσμῶν] ὡς ζήσεσθαι μέλλων μέχρις ἡλίου δυσμῶν. ἐν γὰρ ἡμέρᾳ φονεύειν ἀπείρητο, καθὰ τοῖς Πυθαγορείοις τὸ ἐν μεσημβρίᾳ καθεύδειν, διὰ τὸ τὸν ἥλιον τότε μᾶλλον ἐνεργεῖν. R S.

62 A. τἆλλα] οἷον πλοῦτος, δόξα, ξίφος. ἐπαμφοτερίζει γὰρ καὶ τἆλλα πάντα, θάνατος δὲ μόνως ἀγαθόν ἐστιν. R S.

A. οἷς βέλτιον τεθνάναι] κατὰ Σωκράτην ἡ τάξις τῶν προβλημάτων. πρῶτον γὰρ δὴ ἐθέλειν ἀποθνήσκειν κατὰ προαίρεσιν, εἶτα μὴ ἐξάγειν ἑαυτοὺς κατὰ φύσιν. S.

A. ἐπιγελάσας, ἴττω Ζεύς] ἐγέλασε, διότι ἐκάλεσε τὸν φονεύοντα ἑαυτὸν εὐεργέτην. τὸ δὲ ἴττω ἐπιχωριάζοντός ἐστιν ἀντὶ τοῦ ἴστω, τῇ Βοιωτίδι διαλέκτῳ· ὃ δείκνυσιν ὅτι φύσει τὸν Σωκράτην θαυμάζει. R S.

B. ἐν ἀπορρήτοις] ἐντεῦθεν τὸ πρῶτον πρόβλημα, τὸ μὴ δεῖν ἐξάγειν ἑαυτόν, οὐ ἐπιχείρημα μυθικὸν ἐξ Ὀρφέως ληφθέν· ἔπειτα δεύτερον διαλεκτικὸν καὶ φιλόσοφον. R S.

C. ὃ μέντοι νῦν] ἐντεῦθεν τὸ δεύτερον πρόβλημα τὸ τοὺς φιλοσόφους ἐθέλειν ἀποθνήσκειν. S.

64 A. κινδυνεύουσιν] ἀντὶ τοῦ δι' ἀνάγκης καὶ ἀποδείξεως τοῦτο αὐτοῖς συνάγεται. R S.

B. γελασείοντα] γελαστικῶς ἔχοντα, γελάσαι θέλοντα. R.

B. θανατῶσι] θανάτου ἐπιθυμοῦσιν. R.

D. ἥκιστα] οὐδαμῶς. R.

D. καθ' ὅσον μὴ πολλὴ ἀνάγκη] τοῦτο ἐπεξηγηματικόν ἐστι τοῦ ἐν τοῖς ἐφεξῆς, τοῦ ἐὰν ὅ τι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι μηδὲ κοινωνῶμεν, ὅ τι μὴ πᾶσα ἀνάγκη. τὸ γὰρ ὅ τι ἴσον τῷ καθ' ὅσον. λείπει δ' ἐκεῖ τὸ κοινωνεῖν αὐτοῦ· ὅπερ δὴ νοεῖται καὶ συνυπακούεται. R S.

65 B. ἢ δ' ὅς] ἐὰν μὲν ᾖ δύο μέρη λόγου, ἔσται ἔφη δὲ ὅς, τοὐντεῦθεν ἔφη δὲ οὗτος· οἱ δὲ λέγουσιν ὅτι αὐτὸ μόνον σημαίνει

σοφιστικὴν δὲ ἐκεῖ τὴν ῥητορικὴν καλεῖ· ὅθεν λέγουσί ποτε τὸν Αἰσχίνην ἀναβάντα ἐπὶ τοῦ βήματος εἰπεῖν πρὸς τοὺς ἀκροατὰς ὅτι τί βούλεσθε; τί εἴπω; τί ὑμῖν χαρίσωμαι; δέδεικται δὲ τὸ εἰρημένον διὰ γεωμετρικῆς ἀναλογίας, ὡς τόδε, καὶ τόδε. τῷ δ' ἀριθμητικῷ κέχρηται ἐν Φιλήβῳ λέγων ἓξ εἶναι τάξεις τῶν ἀγαθῶν, καὶ ποῖαι αὗται, καὶ τὰς ἀπαριθμούμενος. τῷ δ' ἀφαιρετικῷ κέχρηται ἐν Τιμαίῳ, τηρῶν καὶ εὑρίσκων τὴν ὕλην ἐκ τῆς ἀφαιρέσεως πάντων τῶν εἰδῶν· τῷ δὲ προσθετικῷ ἐν τῷ Ἀλκιβιάδῃ· καὶ τίθεται γὰρ ζητεῖν τί ἐστιν ὁ ἄνθρωπος, πότερον σῶμα ἢ ψυχὴ ἢ τὸ συναμφότερον, καὶ δείκνυσιν, ὡς οὔτε τὸ σῶμα οὔτε τὸ συναμφότερον, ἀλλὰ ἡ ψυχὴ καθ' αὑτήν· εἶτα προϊὼν προστίθησιν ὡς οὐ πᾶσα ψυχή· οὐ γὰρ δὴ ἥ γε φυτικὴ ἢ ἡ ἄλογος, ἀλλ' ἡ λογική· καὶ πάλιν ὅτι ὁ ἄνθρωπος μεσότης ἐστὶ τῶν τε θείων καὶ τῶν γενητῶν, καὶ ὅρα πῶς προϊὼν προσέθηκε τῇ ζητήσει. τῷ δ' ἱστορικῷ κέχρηται ἐν τοῖς Νόμοις, ἱστορῶν τὰ ἀπὸ τοῦ κατακλυσμοῦ ἕως τῶν Περσικῶν· τῷ δ' ἐτυμολογικῷ ἐν τῷ Θεαιτήτῳ.

XXVIII. Καὶ μέχρι μὲν τούτων ἔστω τὰ προτέλεια τῆς συναναγνώσεως τῆς Πλάτωνος φιλοσοφίας ἐν ἕνδεκα κεφαλαίοις περικλεισθέντα· ἑνὶ μὲν τῷ περιέχοντι τὴν ἱστορίαν τοῦ φιλοσόφου, ἑτέρῳ δὲ τὸ εἶδος τῆς φιλοσοφίας αὐτοῦ, καὶ τρίτῳ διὰ τί εἰς τὸ συγγράφειν ἦλθεν· τετάρτῳ δὲ διὰ τί τὸ διαλογικὸν εἶδος τῆς λογογραφίας ἐπετήδευσε, πέμπτῳ δέ, τίνα συμπληροῦσι τοὺς διαλόγους· ἕκτῳ πόθεν τὰς διαιρέσεις τῶν Πλάτωνος διαλόγων ποιητέον, ἑβδόμῳ πόθεν τὰς ἐπιγραφὰς δεῖ θηρᾶν, ὀγδόῳ δέ, ποίῳ τρόπῳ ὑφηγήσεως ἐν τοῖς διαλόγοις κέχρηται, τοῦτ' ἔστι τί ἐστιν ἡ διασκευή· ἐννάτῳ δὲ πόθεν τοὺς σκοποὺς τῶν διαλόγων θηρατέον, δεκάτῳ δέ, τίς ἡ τάξις τῶν διαλόγων, τελευταίῳ δέ, πόσοις τρόποις κέχρηται διδασκαλίας ὁ θειότατος Πλάτων.

ἀθανασίαν τῆς ψυχῆς διὰ μέσου τοῦ αὐτοκινήτου· τῷ δ' ὁριστικῷ ἐν πᾶσι σχεδὸν τοῖς διαλόγοις, αὐτός τε ὁριζόμενος καὶ τοὺς προσδιαλεγομένους ὁρίζεσθαι παρασκευάζων. τῷ δὲ διαιρετικῷ κέχρηται ἐν τῷ Σοφιστῇ, λέγων, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν, ὡς οὐδὲν καυχήσεται διαφυγὸν τὴν διαιρετικὴν μέθοδον, τὴν τοῖς ἀνθρώποις ἐκ θεοῦ δοθεῖσαν διὰ μέσου Προμηθέως. τῷ δὲ ἀναλυτικῷ ἐν Τιμαίῳ κέχρηται ἀναλύων τὰ φυσικὰ πάντα εἰς δεξαμένην καὶ εἶδος, δεξαμένην καλῶν τὴν ὕλην, τὸ δὲ εἶδος πάλιν εἰς σχήματα, τὰ δὲ σχήματα εἰς τρίγωνα, τὰ δὲ ἐπέκεινα τούτων μόνον θεὸν λέγων εἰδέναι καὶ τὸν τούτῳ φίλον. τῷ δὲ τεκμηριώδει κέχρηται ἐν τῷ Ἀλκιβιάδῃ, λέγων τεκμήριον εἶναι τοῦ ψεύδους τὴν διαφωνίαν, τοῦ δ' ἀληθοῦς τὴν συμφωνίαν· τὸ δ' ἀληθὲς ἑαυτῷ οὔτε διαφωνεῖ οὔτε μάχεται. τῷ δὲ εἰκονικῷ ἐν Φαίδρῳ κέχρηται, ἀπεικάζων τὴν ψυχὴν ἡμῶν ἡνιόχῳ, τὰς δὲ δυνάμεις αὐτῆς ἵπποις, καὶ τὸν μὲν λέγων ἀγαθόν, τὸν δὲ κακόν. τῷ δὲ παραδειγματικῷ ἐν ταῖς Πολιτείαις λέγων ἐοικέναι τὴν μὲν πόλιν ναΐ, τὸν δὲ δῆμον ναυκλήρῳ, τοὺς δὲ ἄρχοντας ναύταις βουλομένοις μεθύσαι τὸν ναύκληρον, ὅπως ἐπ' ἐξουσίας ἔχοιεν πράττειν ὅ τι καὶ βούλονται· διαφέρει δὲ ὁ εἰκονικὸς τοῦ παραδειγματικοῦ τῷ μᾶλλον τὸν εἰκονικὸν ἐνδείκνυσθαι καὶ μιμεῖσθαι τὴν φύσιν, ἧς ἐστὶν εἰκών, τὸν δὲ παραδειγματικὸν ἧττον μιμεῖσθαι. ἀμέλει γοῦν καὶ τῷ τῆς εἰκόνος ὀνόματι δυνατόν ἐστι καλέσαι τὸ ἀληθὲς πρᾶγμα· οὗ γοῦν τὴν ψυχὴν ἡνίοχον λέγοντες οὐκ ἂν ἁμάρτοιμεν· τῷ δὲ τοῦ παραδειγματικοῦ οὐ δυνατὸν καλέσαι· τίς γὰρ ἐρεῖ πόλιν ναῦν; τούτου δ' αἴτιον τὸ μᾶλλον ἐοικέναι καὶ ἧττον. τῷ δὲ ἐπαγωγικῷ κέχρηται ἐν τῷ Ἀλκιβιάδῃ, ἔνθα λέγει, ὅτι ὁ ἕνα πείθων καὶ πολλοὺς δύναται πεῖσαι, καὶ ὁ πολλοὺς πείθων καὶ ἕνα οἷός ἐστι πεῖσαι, καὶ τοῦτο πιστοῦται δι' ἐπαγωγῆς· ὁ γοῦν γεωμέτρης ἕνα πείθων καὶ πολλοὺς δύναται πεῖσαι, καὶ πολλοὺς πείθων ὁ αὐτὸς καὶ ἕνα δῆλον ὅτι πεῖσαι δύναται. * τῷ δὲ ἀναλογικῷ κέχρηται * ἐν τῷ Γοργίᾳ λέγων, ὅτι ὡς ἰατρικὴ πρὸς ὀψοποιΐαν, οὕτως δικαστικὴ πρὸς σοφιστικήν· ὥσπερ γὰρ ἰατρικὴ πρὸς τὸ ἀγαθὸν καὶ συμφέρον ὁρῶσα προσφέρει τόδε τὸ βοήθημα ἢ τὸ ἔδεσμα κἂν ἀηδὲς ᾖ, ἡ δὲ ὀψοποιητικὴ πρὸς τὸ ἡδὺ μόνον ὁρᾷ κεκαρυκευμένον ποικίλαις ποιότησιν, οὕτως καὶ ἡ δικαστικὴ τὰ συμφέροντα μόνον καὶ ἀγαθὰ ποιεῖ, ἡ δὲ ῥητορικὴ τὰ ἡδέα·

τὸν Δία τὴν βασιλείαν παραλαβόντα ἐπιτρέψαι τῇ Ἑστίᾳ λαβεῖν ὅ τι ἂν βούλοιτο, τὴν δὲ τὴν παρθενίαν αἰτήσασθαι καὶ τὰς ἀπαρχὰς παρὰ τῶν ἀνθρώπων. Ἄλλως. ἀφ' ἑστίας. παροιμία δέ ἐστι, μετενήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ δρωμένων· ἔθος γὰρ ἦν τῇ Ἑστίᾳ τὰς ἀπαρχὰς ποιεῖσθαι. ἢ ἀφ' ἑστίας ἤτοι ἀπὸ τῶν οἰκειοτάτων· ἑστία γὰρ ἡ οἰκία: R S.

A. κακουργεῖν τὴν πόλιν] σημείωσαι διὰ τὴν σύνταξιν. O.

B. ὡς οὕτω γ' ἀκοῦσαι] ἀντὶ τοῦ κατ' αὐτὴν τὴν ἀκοήν, ὡς αὐτὸ ἔφη μὴ βούλεται .... O.

C. ὀμόσε ἰέναι] δύο σημαίνει τοῦτο, παρὰ μὲν τοῖς ῥήτορσι τὸ ἀπ' ἐναντίας ἤτοι τὸ ἀντικείμενον, ὡς παρὰ Δημοσθένει ἐν τῷ κατὰ Διονυσοδώρου· αὐτὸς δὲ ὁρᾷ ἡμᾶς ὁμόσε πορευομένους· παρ' Ὁμήρῳ δὲ τὸ ὁμοῦ, ὡς ἐπὶ τοῦδε·

ὅσσοι ἀπ' Ἰδαίων ὀρέων ἅλαδε προρέουσιν,
Ῥῆσός θ' Ἑπτάπορός τε, Κάρησός τε Ῥοδίος τε,
Γρήνικός τε καὶ Αἴσηπος, δῖός τε Σκάμανδρος,
καὶ Σιμόεις, ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
κάππεσον ἐν κονίῃσι, καὶ ἡμιθέων γένος ἀνδρῶν·
τῶν πάντων ὁμόσε στόματ' ἔτραπε Φοῖβος Ἀπόλλων. O.

4 A. πολλοῦ γε δεῖ] ἀντὶ τοῦ οὐδαμῶς. O.

A. ἤ που] ἴσως, σχεδόν. R.

C. πελάτης ὁ ἀντὶ τροφῶν [καὶ] ὑπηρετῶν καὶ προσπελάζων ἀπὸ τοῦ πέλας ἤτοι ἐγγὺς ἐκαλεῖτο· ὁ δι' ἔνδειαν προσιών, μίσθιος δὲ ὑπηρετῶν. Ἄλλως. πελάται εἰσὶν οἱ παρὰ τοῖς πλησίον ἐργαζόμενοι, καὶ θῆτες οἱ αὐτοὶ δὲ καὶ ἑκτήμοροι, ἐπεὶ τῷ ἕκτῳ μέρει τῶν καρπῶν εἰργάζοντο τὴν γῆν. R S. πελάτης ἑταῖρος, συνήθης, παρὰ τὸ πελάζω, οἷον ὁ πέλας ὤν. O.

C. ἐξηγητοῦ] τοῦ τοὺς νόμους ἐξηγουμένου. R S.

D. μετάληψις ἡ στάσις αὕτη, καὶ μετάληψις ἄγραφος· οὐ γὰρ ἀπὸ ῥητοῦ τὴν παραγραφὴν ποιεῖται. ἡ μέντοι ἀντίθεσις ἀντεγκληματική· ἀντεγκαλεῖ γὰρ ὁ φεύγων, ὡς ἄξιος παθεῖν τοῦτο ὁ τεθνηκὼς ὡς ἀνδροφόνος. O.

5 A. λέγοντα] σημείωσαι πῶς οὐ πρὸς δοτικὴν ἀπέδωκε τὸ λοιπὸν τοῦ λόγου, ἀλλ' αἰτιατικὴν ἐπήνεγκεν, οἷον κράτιστόν ἐστι μαθητῇ σῷ γενέσθαι αὐτὰ ταῦτα λέγοντα. O.

A. αὐτοσχεδιάζοντα] ἐκ τοῦ αὐτομάτου καὶ προχείρου καὶ [illegible]αμου λέγοντα, χωρὶς αἰτίας. R S.

B. λάχε δίκην] κλήρῳ γὰρ εἰσῆγον τὰς δίκας δι' εὐταξίαν. R.

D. κατὰ τὴν ὁσιότητα] ἀντὶ τοῦ ὁμοίως, παραπλησίως τῇ ὁσιότητι. O.

6 B. ἆρά γε] ἴδε πῶς ὁ Πλάτων οὐ δέχεται περὶ θεοῦ λέγεσθαι τὰ παρὰ τῶν ποιητῶν μυθευόμενα, οἷον ἔχθρας, πολέμους, συνουσίας καὶ τὰ τοιαῦτα. ὁ ὅλος γὰρ σκοπὸς τῆς καθεξῆς διαλέξεως εἰς τοῦτο σπουδάζει. R S.

C. ἐπὶ σχολῆς] ἐπὶ τῆς παρὰ τοῖς πολλοῖς λεγομένης εὐκαιρίας. R S.

D. θεῖα] γρ. καὶ ὅσια ὅσιά ἐστιν. R.

7 B. ἀπαλλαγεῖμεν Ἀττικόν, ἢ συγκοπῇ τοῦ ῆ ἢ κατὰ κρᾶσιν. O.

8 C. Οὐδὲν] Ἀττικὸς ὁ τοῦ δεν πλεονασμός. O.

11 B. Δαιδάλου, ὡς ἔοικε, τῶν τῆς γονῆς ὀχετῶν Σωκράτης ἀπόρροια. ταύτῃ μοι δοκεῖ κατὰ τὸ συγγενὲς καὶ λιθοξοϊκὴν ἀσκεῖσθαι Σωκράτη τέως, εἰ μὴ Ἀρχέλαος ὁ φιλόσοφος ἀπὸ ταύτης ἀναστήσας τῆς τέχνης τὸν ἄνδρα φιλοσοφίᾳ ἠγάγετο· ἐτεκμήρατο γὰρ τὸ τῆς ψυχῆς ἐντρεχὲς καὶ δραστήριον καὶ πρὸς φιλοσοφίαν ὑπτίως ἔχον, οἷς πρὸς τοὺς ὁμοτέχνους ἀντέλεγε στερόμενος τῶν μισθῶν. Δαίδαλος δὲ Ἀθηναῖος ἦν τῶν πώποτε ἀνδριαντοποιῶν περιφανέστατος. πρῶτος δὲ καὶ περισκελὲς ἄγαλμα ἐσχημάτισε, τῶν πρὸ ἐκείνου κατὰ ταὐτὸ συμβεβληκότα τῷ πόδε τὰ βρέτη ἐργαζομένων. ἀφ' οὗ δὴ καὶ ὁ τοῦ περιέναι καὶ κινεῖσθαι τὰ φιλοτεχνήματα αὐτοῦ ὑπὸ τῶν πολλῶν ἀνάκειται λόγος αὐτῷ, ὃν καὶ νῦν Σωκράτης παίζων Εὐθύφρονα προάγει. O.

12 A. ἵνα περ δέος, ἔνθα καὶ αἰδώς, ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων. R S.

A. θ' ἕξαντα] γρ. καὶ στέρξαντα. R.

D. σκαληνὸς ὁ σκολιὸς καὶ πολυγώνιος· τοῦ γὰρ τριγώνου ἐστὶν εἴδη τρία, ἰσόπλευρον, ἰσοσκελές, σκαληνόν. R. τὸ σκαληνὸν γὰρ τρίγωνόν ἐστιν ἐκ τριῶν ἀνίσων πλευρῶν, τὸ δὲ ἰσοσκελὲς τρίγωνον τῶν δύο μὲν πλευρῶν ἴσων ἀλλήλαις οὐσῶν, μιᾶς δὲ ἀνίσης ταῖς δυσίν. ἐν οἷς οὖν ὁ ἄρτιος ἀριθμὸς εἰς δύο ἴσα ⟨ς⟩ τέμνεται, ὡς ὁ ὀκτὼ φέρε, ὁ δὲ περιττὸς εἰς δύο ἄνισα, ὡς ὁ πέντε, εἰκότως τὸν μὲν ἰσοσκελῆ τὸν δὲ σκαληνὸν ὠνομάσθαι. O.

14 D. *οὐ χαμαί*] *παροιμία, οὐ μὴ χαμαὶ πέσῃ, ἐπὶ τῶν διακενῆς οὐδὲν λεγόντων, ἀλλ' ἐπιτυγχανόντων.* R-S.

E. *οὐδὲν γὰρ*] *συνῳδὸν τῷ πᾶσα δόσις ἀγαθὴ καὶ ἔξῃς.* O.

15 A. *σημείωσαι διὰ τὴν σύνταξιν.* O.

A. *γέρα*] *γρ. καὶ ἔργα.* R.

B. *τὸν Δαίδαλον*] *γρ. καὶ τὸν διδάσκαλον.* R.

C. *σημείωσαι πῶς τῷ ἄρτι κατὰ πλάτος ἐχρήσατο.* O.

C. *ἑκὼν εἶναι*] *Ἀττικὸν τοῦτο, καὶ παρέλκει τὸ εἶναι. γίνεται δὲ ἐπὰν ἀρνητικὸν ἐπιφέρηται ποιοῦν ἀπόφασιν, ἐπὶ καταφατικοῦ δὲ οὐκ ἔξὸν τοῦτο ποιεῖν.* O.

D. *εἴπερ τις ἄλλος*] *ὡς οὐδεὶς ἄλλος.* R.

D. *θὴς ὁ μισθοῦ δουλεύων.* R.

D. *διωκάθειν*] *ἤγουν διώκειν.* R.

ΕΙΣ ΤΗΝ ΣΩΚΡΑΤΟΥΣ ΑΠΟΛΟΓΙΑΝ.

P. 17 D. *πρῶτον*] *παραγραφικοῦ δύναμιν ἔχει τοῦτο· σχεδὸν γὰρ τοῦτο λέγει, ὅτι τοσούτοις ἔτεσιν οὐδενὶ δέδωκα δίκας τὸν αὐτὸν τρόπον πολιτευόμενος.* O.

D. *τὸ τοῦ ἤθους ἄπλαστον πιθανότητα ποιεῖ. εἰκότως οὖν οὕτω χρῆται νῦν Σωκράτης.* O.

18 B. *οὗτος ὁ Ἄνυτος Ἀνθεμίωνος ἦν υἱός, Ἀθηναῖος γένος, Ἀλκιβιάδου ἐραστής, πλούσιος ἐκ βυρσοδεψικῆς· ὅθεν καὶ σκωπτόμενος ὑπὸ Σωκράτους διὰ τοῦτο . . . . . ἔπεισε μισθῷ Μέλητον ἀσεβείας γραφὴν δοῦναι κατὰ Σωκράτους. μέμνηται Λυσίας ἐν Σωκράτους ἀπολογίᾳ καὶ Ξενοφῶν ὁμοίως, καὶ Ἀριστόξενος ἐν τῷ Σωκράτους βίῳ . . . Θεόπομπος δὲ Στρατιώτισιν Ἐμβάδαν αὐτὸν εἶπε παρὰ τὰς ἐμβάδας, ἐπεὶ καὶ Ἄρχιππος Ἰχθύσιν εἰς σκυτέα αὐτὸν σκώπτει. Μέλητος δὲ τραγῳδίας φαῦλος ποιητής, Θρᾷξ γένος, ὡς Ἀριστοφάνης Βατράχοις, Πελαργοῖς Λαΐου υἱὸν αὐτὸν λέγων, ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐδιδάσκοντο, καὶ ὁ Μέλητος Οἰδιπόδειαν ἔθηκεν, ὡς Ἀριστοτέλης Διδασκαλίαις. ἐν δὲ Γεωργοῖς ὡς Καλλίαν περαίνοντος αὐτοῦ μέμνηται. μέμνηται αὐτοῦ καὶ Λυσίας ἐν Σωκράτους ἀπολογίᾳ.* O.

C. ἐρήμην κατηγοροῦντες] ἐρήμη δίκη ἐστίν, ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν καταδικαιτηθῇ. R S. ἀντὶ τοῦ εἰς ἐρήμην δίκην κατηγοροῦντες. λέγεται καὶ ἐρήμην ἁλῶναι ἀντὶ τοῦ εἰς ἐρήμην δίκην ἐμπεσεῖν. ἐρήμη δὲ δίκη λέγεται ἡ μὴ ἔχουσα τὸν ἀπολογούμενον. O.

C. εἰς Ἀριστοφάνην αἰνίττεται τὸν κωμικόν. O.

19 B. ἀντωμοσία ἐπὶ δίκῃ λέγεται, διὰ τὸ ὀμνύναι ἑκατέρους, τὸν μὲν ἐγκαλοῦντα ὅτι ἠδίκηται, τὸν δὲ ἐγκαλούμενον μὴ ἠδικηκέναι. οἱ δὲ ἀντωμοσίαν τὴν ἐπὶ πράγμασιν ἀμαρτύροις καὶ ἀνεγγράφοις εἰς ὅρκον περιισταμένην δίκην, ἐφ' οἷς οἱ κριταὶ δοξάζουσιν. ἔνιοι ὅταν ἐπὶ δημοσίῳ ἀγῶνι σκηπτομένου τινὸς κάμνειν ὁ ἀντίδικος ἀντομνύηται, φάσκων προσποιεῖσθαι αὐτόν, καὶ περὶ τούτου διαλαμβάνωσιν οἱ δικασταί. οἱ δέ, ὅτι ὁ τοῦ κατηγορουμένου ὅρκος ἀντωμοσία, ἐπὶ τῷ τἀληθῆ ἀπολογήσεσθαι, ὥσπερ τοῦ κατηγοροῦντος πρότερον διωμοσία, ἐπὶ τῷ τἀληθῆ κατηγορήσειν. R S.

C. Ἀριστοφάνης ὁ κωμῳδιοποιὸς φαλακρὸς ἦν, ὡς αὐτὸς φησὶν Εἰρήνῃ· ἐκωμῳδεῖτο δ' ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν. Κρατῖνος·

τίς δὲ σύ; κομψός τις ἔροιτο θεατής
ὑπολεπτόλογος γνωμιδιώτης εὐριπιδαριστοφανίζων.

καὶ αὐτὸς δ' ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις·

χρῶμαι γὰρ αὐτοῦ, φησί, τοῦ στόματος τῷ στρογγύλῳ·
τοὺς νοῦς δ' ἀγοραίους ἧττον ἢ 'κεῖνος ποιῶ.

Ἀριστώνυμος δ' ἐν Ἡλίῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν Γέλωτι τετράδι φασὶν αὐτὸν γενέσθαι, διο τὸν βίον κατέτριψεν ἑτέροις πονῶν· οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν, ὡς καὶ Φιλόχορος ἐν τῇ πρώτῃ περὶ ἡμερῶν ἱστορεῖ. ταύτῃ δὲ καὶ Ἡρακλῇ φασὶ γεννηθῆναι. τρεῖς δ' ἔσχεν υἱούς, Φίλιππον τὸν τοῖς Εὐβούλου δράμασιν ἀγωνισάμενον, καὶ Ἀράρότα ἰδίοις τε καὶ τοῦ πατρὸς δράμασι διηγωνισμένον, καὶ τρίτον, ὃν Ἀπολλόδωρος μὲν Νικόστρατον καλεῖ, οἱ δὲ περὶ Δικαίαρχον Φιλεταῖρον. κατεκλήρωσε δὲ καὶ τὴν Αἴγιναν, ὡς Θεογένης ἐν τῷ περὶ Αἰγίνης. κωμῳδεῖται δὲ ὅτι καὶ τὸ τῆς εἰρηνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα· Εὔπολις. Αὐτολύκῳ, Πλάτων Νίκαις. O.

E. προῖκα] κατὰ δωρεάν, ἄνευ μισθοῦ. R.

Ε. ἦ δ' ὅς — ἦν δ' ἐγὼ] ἔφη οὗτος — ἔφην δ' ἐγώ. R.

20 A. *Χαιρεφῶν οὗτος ὁ Σωκρατικὸς ἰσχνὸς ἦν καὶ ὠχρός, τὸ δὲ ἦθος συκοφάντης καὶ πόλαξ, πρὸς δὲ καὶ πλέκτης καὶ αὐχμηρός, τὴν δὲ περιουσίαν πένης. Εὔπολις μὲν οὖν ἐν Πόλεσι διὰ τὴν χροιὰν πύξινον αὐτὸν καλεῖ, Ἀριστοφάνης δ' ἐν Ὄρνισι νυκτερίδα, ἐν δὲ Τελμισσεῦσιν εἰς συκοφάντην ἀποσκώπτει· Κρατῖνος Πυτίνῃ εἰς αυχμηρὸν καὶ πένητα· Εὔπολις δ' ἐν Κόλαξιν Καλλίου κόλακα λέγει, Ἀριστοφάνης δ' ἐν Δράμασι κλέπτην· ἐν δ' Ὥραις νυκτὸς αὐτὸν παῖδα καλεῖ.* O.

21 A. ἀνεῖλεν] *χρησμὸς περὶ Σωκράτους δοθεὶς Χαιρεφῶντι τῷ Σφηττίῳ·*

σοφὸς Σοφοκλῆς, σοφώτερος Εὐριπίδης·
ἀνδρῶν δ' ἁπάντων Σωκράτης σοφώτατος. O.

E. ἦα] *ἀντὶ τοῦ ἐπορευόμην.* R.

E. ἰτέον] *κατὰ κοινοῦ τὸ ἐδόκει, ἵν' ᾖ ἐδόκει οὖν ἰτέον εἶναι σκοποῦντι.* O.

E. νὴ τὸν κύνα] *Ῥαδαμάνθυος ὅρκος οὗτος ὁ κατὰ κυνὸς ἢ χηνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου·*

οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων,
ἔπειτα χήν· θεοὺς δ' ἐσίγων,

Κρατῖνος Χείρωσι. κατὰ τούτων δὲ νόμος ὀμνύναι, ἵνα μὴ κατὰ θεῶν οἱ ὅρκοι γίγνωνται. τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι. R S.

22 A. ἦ μὴν] *ὄντως δή.* R.

B. ἐπ' αὐτοφώρῳ] *ἐπ' αὐτόπτῳ, ἐπ' ὄψει.* R.

C. ἤκουσαν] *γρ. ἃ οὐκ ἦσαν.* R.

23 E. *Ἄνυτος μὲν καὶ Μέλητος εἴρηνταί τινες, ὅτι ὁ μὲν πλούσιος ἐκ σκυτοδεψικῆς, Μέλητος δὲ τραγῳδιοποιὸς φαῦλος· Λύκων μέντοι πατὴρ ἦν Αὐτολύκου, Ἴων γένος, δήμων Θορίκιος, πένης, ὡς Κρατῖνος Πυτίνῃ, Ἀριστοφάνης Σφηξίν. Εὔπολις δ' ἐν Φίλοις καὶ ἐπὶ τῇ γυναικὶ Ῥοδίᾳ κωμῳδεῖ αὐτόν, ἐν δὲ τῷ πρώτῳ Αὐτολύκῳ εἰς ξένον, Μεταγένης δ' Ὁμήρῳ εἰς προδότην·*

- - - - - καὶ Λύκων ἐνταῦθά που
- - προδοὺς Ναύπακτον ἀργύριον λαβὼν
ἀγορᾶς ἅγαλμα ξενικὸν ἐμπορεύεται. O.

24 C. χαριεντίζεται] *εὐτραπελεύεται, σκώπτει.* R.

25 C. ὦ τᾶν] ὦ οὗτος, ὦ ἑταῖρε, ὦ τάλαν, ὦ μέλε· ταῦτα παρὰ τοῖς νεωτέροις ὑπὸ τῶν γυναικῶν λέγεται μόνων, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν. πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ ὦ τᾶν, ὡς παρὰ Κτησιφῶντι. οἱ δὲ Ἀττικοὶ τὴν πρώτην συλλαβὴν περισπῶσι, τὴν δὲ δευτέραν βαρύνουσι, καὶ βέλτιον· ἀδύνατον γὰρ μίαν λέξιν εὑρεθῆναι δύο ἔχουσαν περισπωμένας. Δίδυμος δὲ τὸ πλῆρες εἶναί φησιν ὦ ἔταν, ἀγνοῶν ὡς ἀπὸ τοῦ ἔτης ἡ κλητική ἐστιν ἔτα, καὶ Δωρικῶς ἔταν. R S.

27 C. ἀντιγραφή ἐστιν, ὅταν ὁ φεύγων καὶ αὐτὸς γράφηται τὸν διώκοντα, ὡς ἐπὶ τῶν λαγχανόντων τὴν μὴ οὖσαν δίκην καὶ τῶν παραγραφομένων· καὶ οὗτοι γὰρ τρόπον τινὰ κατηγοροῦσιν. R S.

D. καλῶς γε σὺ ποιῶν, Σώκρατες, ὄγνοις καὶ ἵπποις τοὺς θεοὺς Ἀθηναίων παραβάλλεις. O.

28 C. τιμωρήσεις] ἀντὶ τοῦ ἐκδικήσεις, ἢ ἀντὶ τοῦ εἰ τῷ Πατρόκλῳ ἐκδίκησιν τοῦ φόνου παράσχῃς. τὸ τιμωρῶ δὲ σημειωτέον οτι δοτικῇ συντάσσεται, ὅτε ἀντὶ τοῦ βοηθῶ λαμβάνεται. O.

30 D. πολλοῦ δέω] πόρρω λίαν εἰμί. R.

31 C. τί τὸ Σωκράτους δαιμόνιον ὅ τινές φασιν ὅτι ἦχω τὸ καὶ ἐξιὸν καταλαμβάνεται αὐτῷ οὐς. O.

40 D. κατέδαρθεν] κατεκοιμήθη. R.

ΕΙΣ ΤΟΝ ΚΡΙΤΩΝΑ.

P. 43 A. ἐπιεικῶς] ἱκανῶς, ἐπίπαν, φιλικῶς παρὰ Πλάτωνι. R S.

D. ἀλλὰ δοκεῖ] γράφεται καὶ ἀλλὰ δοκεῖν. R.

45 C. χωρὶς μὲν] γράφεται καὶ ἀλλὰ χωρὶς μέν. R.

D. εἰ γὰρ ὤφελον] ἀντὶ τοῦ εἴθε. R.

46 E. ὅσα γε τἀνθρώπεια] ἀντὶ τοῦ ὅσον κατ' ἄνθρωπον, ὅσον εἰς γνῶσιν ἦκεν ἀνθρώπων, ὅσον αἰσθάνεσθαι ἄνθρωπος δύναται. O.

48 C. χρήματα πράττοντες ἀντὶ τοῦ τελοῦντες. R.

50 A. εἰπέ μοι] σημείωσαι τὴν μετάβασιν τοῦ ἀριθμοῦ. O.

51 E. *γεννῆται οἱ τοῦ αὐτοῦ γένους μετέχοντες καὶ ἀπ' ἀρχῆς ἔχοντες κοινὰ ἱερά. οἱ δὲ ὁμογάλακτας, φράτορας, συγγενεῖς τοὺς γεννήτας.* R S. *ζήτει δὲ εἰ διὰ β νν γραφόμενον γεννῆται ὀφείλει γράφεσθαι.* O.

54 D. *δύο σημαίνει τὸ ἴσθι, τό τε ὑπάρχειν καὶ τὸ γνῶναι. εἰ μὲν οὖν κατα τὸ ὑπάρχειν, τοῦτο βούλεται ἐνταῦθα δηλοῦν· ἔσο νῦν καὶ διαγίνου τοῖς παροῦσιν εἰς πάντα ὅσα γέ μοι δοκεῖ, ἢ ταῦτα νῦν ἔσο τὰ ἐμοὶ δοκοῦντα. κατὰ δὲ τὸ τοῦ γνῶναι σημαινόμενον οὕτως· γνῶθι κατὰ τὰ ἐμοὶ νῦν δοκοῦντα ὡς εἴπερ ταῦτα ἐρεῖς μάτην ἐρῶν.* O.

ΕΙΣ ΤΟΝ ΦΑΙΔΩΝΑ.

P. 57 A. *οὐδεὶς πάνυ τι] ἀντὶ τοῦ οὐδαμῶς. ἐστὶ γὰρ τὸ ἐξῆς οὕτως· πάνυ οὐδεὶς ἐπιχωριάζει.* O.

58 B. *Θεωρίαν ἀπάξειν] ἀντὶ τοῦ θυσίαν ἀπενεγκεῖν. Θεωροὶ δέ εἰσιν οἱ πεμπόμενοι θῦσαι καὶ θεραπεῦσαι τὸν θεόν· ὅθεν καὶ αἱ ὁδοὶ δι' ὧν ἐπορεύοντο θεωρίδες κέλευθοι ἐκαλοῦντο, καὶ τὰ διδόμενα θεωρικά, καὶ ἡ ναῦς ἡ εἰς Δῆλον πεμπομένη θεωρίς, καὶ ὁ ἱερεὺς θεωρός.* R S.

60 B. *ἄτοπον τὸ θαυμαστόν, ὡς καὶ ἐν Θεαιτήτῳ φησίν· οὐδέν γ' ἄτοπον, ἀλλὰ πολὺ θαυμαστότερον ἦν· ἐσαφηνίσθη γὰρ διὰ τῆς ἀντιθέσεως. τάττεται δὲ καὶ ἐπὶ τοῦ ἀνυπόπτου· Εὔπολις Μαρικᾷ·*

καὶ πόλλ' ἀγάθ' ἐν τοῖσι κουρείοις ἐγώ
ἀτόπως καθίζων, κοὐδὲ γινώσκειν δοκῶν.

καὶ τὸ ἀδόκητον καὶ ἀνυπονόητον. οἱ δὲ ἄλογον. R S.

61 C. *καθῆκε τὰ σκέλη] συντονώτερον ἀνέλαβε σχῆμα καὶ σεμνότερον, ὡς περὶ προβλήματος σεμνοτέρου μέλλων διαλέγεσθαι.* R S.

D. *τὸ μὴ θεμιτὸν] κατὰ τὸν Κέβητα ἡ τάξις τῶν προβλημάτων· τὸ πρῶτον πρόβλημα τὸ μὴ ἐξάγειν ἑαυτόν, οὗ ἐπιχείρημα μυθικὸν ἐξ Ὀρφέως ληφθέν.* S.

D. *οὗτος ὁ Φιλόλαος Πυθαγόρειος ἦν, ἐξ Ἰταλίας πεφευγὼς διὰ τὸν ἐμπρησμὸν τὸν τότε ὑπὸ Γύλωνος γεγονότα διὰ τὸ ἀνεπιτήδειον αὐτὸν πρὸς φιλοσοφίαν ὄντα ἀπελαθῆναι τοῦ ὁμα-*

κοῖον. ὃς καὶ δι' αἰνιγμάτων ἐδίδασκε, καθάπερ ἦν ἔθος αὐτοῖς. ἦλθεν οὖν οὗτος εἰς Θήβας, τεθνεῶτι τῷ διδασκάλῳ Λύσιδι χοὰς ποιήσων, ἐκεῖ τεθαμμένῳ. Ἵππαρχος δὲ καὶ Φιλόλαος μόνοι τῆς εἰρημένης συμφορᾶς τῶν Πυθαγορείων διεσώθησαν [πρὸς τὸν Λύσιν δὲ τοῦτον Πλάτων ποιεῖται τὸν διάλογον]. R S.

E. τὸ μὲν ἴσως διὰ τὸ μυθικὸν ἐπιχείρημα, τὸ δὲ μάλιστα διὰ τὸ φιλόσοφον. R S.

E. μέχρις ἡλίου δυσμῶν] ὡς ζήσεσθαι μέλλων μέχρις ἡλίου δυσμῶν. ἐν γὰρ ἡμέρᾳ φονεύειν ἀπείρητο, καθὰ τοῖς Πυθαγορείοις τὸ ἐν μεσημβρίᾳ καθεύδειν, διὰ τὸ τὸν ἥλιον τότε μᾶλλον ἐνεργεῖν. R S.

62 A. τἆλλα] οἷον πλοῦτος, δόξα, ξίφος. ἐπαμφοτερίζει γὰρ καὶ τἆλλα πάντα, θάνατος δὲ μόνως ἀγαθόν ἐστιν. R S.

A. οἷς βέλτιον τεθνάναι] κατὰ Σωκράτην ἡ τάξις τῶν προβλημάτων. πρῶτον γὰρ δὴ ἐθέλειν ἀποθνήσκειν κατὰ προαίρεσιν, εἶτα μὴ ἐξάγειν ἑαυτοὺς κατὰ φύσιν. S.

A. ἐπιγελάσας, ἴττω Ζεύς] ἐγέλασε, διότι ἐκάλεσε τὸν φονεύοντα ἑαυτὸν εὐεργέτην. τὸ δὲ ἴττω ἐπιχωριάζοντός ἐστιν ἀντὶ τοῦ ἴστω, τῇ Βοιωτίδι διαλέκτῳ· ὃ δείκνυσιν ὅτι φύσει τὸν Σωκράτην θαυμάζει. R S.

B. ἐν ἀπορρήτοις] ἐντεῦθεν τὸ πρῶτον πρόβλημα, τὸ μὴ δεῖν ἐξάγειν ἑαυτόν, οὐ ἐπιχείρημα μυθικὸν ἐξ Ὀρφέως ληφθέν· ἔπειτα δεύτερον διαλεκτικὸν καὶ φιλόσοφον. R S.

C. ὃ μέντοι νῦν] ἐντεῦθεν τὸ δεύτερον πρόβλημα τὸ τοὺς φιλοσόφους ἐθέλειν ἀποθνήσκειν. S.

64 A. κινδυνεύουσιν] ἀντὶ τοῦ δι' ἀνάγκης καὶ ἀποδείξεως τοῦτο αὐτοῖς συνάγεται. R S.

B. γελασείοντα] γελαστικῶς ἔχοντα, γελάσαι θέλοντα. R.

B. θανατῶσι] θανάτου ἐπιθυμοῦσιν. R.

D. ἥκιστα] οὐδαμῶς. R.

D. καθ' ὅσον μὴ πολλὴ ἀνάγκη] τοῦτο ἐπεξηγηματικόν ἐστι τοῦ ἐν τοῖς ἐφεξῆς, τοῦ ἐὰν ὅ τι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι μηδὲ κοινωνῶμεν, ὅ τι μὴ πᾶσα ἀνάγκη. τὸ γὰρ ὅ τι ἴσον τῷ καθ' ὅσον. λείπει δ' ἐκεῖ τὸ κοινωνεῖν αὐτοῦ· ὅπερ δὴ νοεῖται καὶ συνυπακούεται. R S.

65 B. ἢ δ' ὃς] ἐὰν μὲν ᾖ δύο μέρη λόγου, ἔσται ἔφη δὲ ὅς, τουτέστιν ἔφη δὲ οὗτος· οἱ δὲ λέγουσιν ὅτι αὐτὸ μόνον σημαίνει

τὸ ἔφη. ἐὰν δὲ ᾖ ἓν μέρος λόγου, ἔσται φίλος, ὡς Ἀθηναῖοι, ἢ ὄφελος, ὡς Αἰγινῆται, ἢ ὄξος, ὡς Χαλκιδεῖς, ᾧ πρὸς τὰ ἱερὰ χρῶνται. τάττεται δὲ ἐπὶ παντὸς προσώπου καὶ ἀριθμοῦ, ὡς τὸ ὦ τᾶν. R.

67 A. ὅ τι μὴ πᾶσα ἀνάγκη] ἀντὶ τοῦ εἰ μὴ κατὰ τὰ ἀναγκαῖα. τὸ δὲ ἑξῆς οὕτως· μηδὲ κοινωνῶμεν εἰ μὴ κατὰ τοῦτο καθ' ὃ πᾶσα ἀνάγκη .... O.

E. διαβέβληνται] ἀντὶ τοῦ διαβεβλημένως ἔχουσι πρὸς τὸ σῶμα. R.

E. ψυχὴν] γρ. καὶ τὴν τύχην ἔχειν. R.

69 B. ἔχῃ] γρ. καὶ οὐδ' ἀληθὲς ἔχουσα. R.

72 A. ἰδὲ τοίνυν] Ἀττικοὶ ὀξύνουσι τὰ ἰδέ, λαβέ, εὑρέ, ὡς τὰ ἐλθέ, εἰπέ. O.

C. ὁμοῦ πάντα] ὁμοῦ σημαίνει ποτὲ μὲν τὸ ἐγγύς, ὡς δηλοῖ Δημοσθένης ἐν τῷ τῆς παραπρεσβείας· καίτοι τὸν μὲν ἀνδριάντα τοῦτον οὔπω πεντήκοντα ἔτη φασὶν ἀνακεῖσθαι Σαλαμίνιοι, ἀπὸ Σόλωνος δ' ἐστὶν ὁμοῦ σ' ἔτη καὶ μ'. καὶ ἐν τῷ κατὰ Ἀριστογείτονος· εἰσὶν ὁμοῦ πάντες δισμύριοι Ἀθηναῖοι. καὶ Μένανδρος ἐν τῷ Ἑαυτὸν τιμωρουμένῳ·

πρὸς τῆς Ἀθηνᾶς, δαιμονᾷς γεγονὼς ἔτη
τοσαῦθ'; ὁμοῦ γάρ ἐστιν ἑξήκοντά σοι.

καὶ Ἀριστοφάνης Τριφάλητι· ἡ γὰρ τὸν Τριφάλητα τίκτουσα φησὶ

λάβεσθε· καὶ γάρ ἐσθ' ὁμοῦ.

δηλοῖ δὲ καὶ τὸ ἐν ταὐτῷ· Ὅμηρος·

ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν ἐφ' ὑμετέροισι δόμοισι,

καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους· οὐκοῦν εἰ μέν τι ἐάσομεν τούτων συμβάντων ὑμᾶς, οὐ καθαροῖς ὁμοῦ διατρίψομεν. ἔστι καὶ χρονικόν· Σοφοκλῆς Οἰδίποδι·

πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

ἔχει καὶ δύναμιν συλλεκτικήν, ὡς παρὰ Μενάνδρῳ ἐν Θρᾳξὶ· οἱ Θρᾷκες Λιβύτρωες καλοῦνται· πάντα νῦν ἤδη σθ' ὁμοῦ. ὅπερ δηλοῖ τὸ ἐν τῷ αὐτῷ. R S.

74 B. τότε μέν] γρ. καὶ τῷ μὲν — τῷ δέ. R.

75 D. ὃ ἔστι] ἀντὶ τοῦ τὸ ὄν ὃ πάντα περιείληφε. O.

78 A. ἐξεπάσητε] γρ. καὶ ἐξιάσηται. R.

83 A. ὅσον μὴ ἀνάγκη] ἀντὶ τοῦ εἰ μὴ ὅσον κατὰ τὰ τῆς ζωῆς συνεκτικά· ταῦτα γὰρ καὶ ἀναγκαῖα. O.

86 E. ὑπερδικεῖν] ἤγουν συνηγορεῖν. καὶ ὑπέρδικοι οἱ συνήγοροι. R.

E. θρᾶττον] ταράττον, ἐνοχλοῦν. R.

89 C. πρὸς δύο οὐδ' ὁ Ἡρακλῆς] ταύτης τὴν αἰτίαν ὁ Δοῦρις οὕτως ἀφηγεῖται. Ἡρακλέα φησὶ βωμὸν δειμάμενον ἐπὶ τῷ Ἀλφειῷ πυγμῆς ἀγῶνα θεῖναι, καὶ νικήσαντα, τὴν ἑξῆς Ὀλυμπιάδα πάλιν ἀγωνιζόμενον, ὑπὸ Ἐλάτου καὶ Φεράνδρου πάλῃ ληφθῆναι, καὶ ἐξ ἐκείνου τὸ πρὸς δύο οὐδ' Ἡρακλῆς παροιμιασθῆναι. Ἐχεφυλλίδας δὲ αὐτὸν ὑπὸ Κτεάτου καὶ Εὐρύτου τῶν Μολιονιδῶν ἡττηθῆναι κατὰ τὴν ἐπ' Αὐγέαν στρατείαν· διωχθέντα δὲ ἄχρι τῆς Βουπρασίδος καὶ περιβλεψάμενον, ὡς οὐδεὶς ἐξίκετο τῶν πολεμίων, ἀναψῦξαι τε, καὶ ἐκ τοῦ παρρέοντος ποταμοῦ πιόντα προσαγορεῦσαι τοῦτο ἡδὺ ὕδωρ· ὃ νῦν δείκνυται ἰόντων ἐκ Δύμης εἰς Ἦλιν, καλούμενον ὑπὸ τῶν ἐγχωρίων βαδὺ ὕδωρ. τὰ δὲ αὐτὰ καὶ Φερεκύδης καὶ Κώμαρχος καὶ Ἴστρος ἐν τοῖς Ἡλιακοῖς ἱστοροῦσι. καὶ διὰ τοῦτο θεωροὺς τοὺς Μολιονίδας ἰόντας εἰς Κόρινθον λοχήσαντα τὸν Ἡρακλέα περὶ Κλεωνὰς ἀποκτεῖναι· ὅθεν Ἠλείοις ἀπώμοτον εἶναι τὰ Ἴσθμια ἀγωνίζεσθαι, ὅτι θεωροὺς πεμφθέντας εἰς τὸν Ἰσθμὸν τοὺς Μολιονίδας ἑλὼν Ἡρακλῆς ὑπὸ Κορινθίων ἐδέχθη. Ἡρόδωρος δὲ καὶ Ἑλλάνικός φασιν ὡς, ὅτε τὴν ὕδραν Ἡρακλῆς ἀνῄρει, τὴν Ἥραν αὐτῷ καρκίνον ἐφορμῆσαι, πρὸς δύο δὲ οὐ δυνάμενον μάχεσθαι σύμμαχον ἐπικαλέσασθαι τὸν Ἰόλεων, καὶ ἐντεῦθεν ῥηθῆναι τὴν παροιμίαν. ἐμνήσθη δὲ ταύτης Πλάτων καὶ ἐν ια΄ Νόμων· ὀρθὸν μὲν δὴ τὸ πάλαι τε εἰρημένον, ὡς πρὸς δύο μάχεσθαι χαλεπόν, καὶ ἐνταῦθα. R S.

89 E. ᾔσθησαι] γρ. καὶ σύ. R.

96 A. ὑπερήφανος] ὑπέρφρων. R.

99 B. καρδόπῳ] τῇ μάκτρᾳ τοῦ ἀλεύρου. R.

D. παροιμία, δεύτερος πλοῦς, ἐπὶ τῶν ἀσφαλῶς τι πραττόντων, παρ' ὅσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν ἀσφαλῶς παρασκευάζονται τὸν δεύτερον. ἐμνήσθη δὲ ταύτης καὶ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῶν Ἠθικῶν, καὶ Μένανδρος Κεκρυφάλῳ καὶ Πλοκίῳ καὶ Θεοφορουμένῃ. R S.

101 D. *τὴν αὐτοῦ σκιὰν δέδοικεν, ἐπὶ τῶν σφόδρα δειλοτάτων. μέμνηται ταύτης Ἀριστοφάνης Βαβυλωνίοις.* R S.

102 D. *ξυγγραφικῶς ἐρεῖν*] *ἐπειδὴ ᾔσθετο ἑαυτοῦ ὁ Σωκράτης τῷ παρίσῳ χρησαμένου σχήματι δι' ὧν φησὶ παρέχων ὑπερέχον ταύτῃ φησὶν συγγραφικῶς ἐρεῖν, ὡς τῶν τοιούτων τῆς ἐπιμελείας ὄντων καὶ λογογραφικῆς ἰδέας κατὰ σχολὴν τοῖς τοιούτοις καλλύνεσθαι προμηθουμένης, ἀλλ' οὐ διαλεκτικῆς ἑτοιμότητα καὶ λέξιν καὶ διάνοιαν ἀποσχεδιαζούσας. τοιαῦτα δὲ σχήματα πολλὰ παρὰ Θουκυδίδῃ καὶ τοῖς λοιποῖς, μάλιστα δὲ τὸ ἐν τῇ Κορινθίων δημηγορίᾳ οὕτως εἰρημένον· καὶ προεπιβουλεύειν μᾶλλον αὐτοῖς ἢ ἀντεπιβουλεύειν· πρὸς ὃ οἶμαι καὶ τὸ παρὸν Σωκράτει ἐξενήνεκται.* O.

103 B. *οὐκ ἄν ποτέ φαμεν ἐθελῆσαι*] *σημείωσαι ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ.* O.

C. *οὐδ' ἂν ἔφη*] *γρ. καὶ ὁ δ' αὖ.* R.

104 C. *ἐναντίον γέ ἐστι δυοὰς*] *καθ' ὃ ἀριθμοὶ ἄμφω οὔ, καθ' ὃ δὲ ἐναντιότητα δεδεγμέναι.* O.

105 B. *καὶ μή μοι*] *καὶ μή μοι ἦν ἂν ἐρωτῶ ἀπόκρισιν ἀποκρίνου, ἀλλ' ἄλλην, μιμούμενος ἐμέ.* R.

107 A. *ἀναβάλλοιτο*] *ἀνακρούοιτο.* R.

B. *ἕρμαιον, τὸ ἀπροσδόκητον κέρδος, ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσι. ταύτας δὲ τῷ Ἑρμῇ ἀφιεροῦσιν ὡς ὄντι καὶ τούτῳ ἑνὶ τῶν ἐνοδίων θεῶν.* R S.

E. *πορεῦσαι*] *ἀντὶ διαπορθμεῦσαι, διαπεράσαι.* O.

108 A. *θυσιῶν*] *γρ. καὶ ὁσίων.* R.

108 D. *Γλαύκου τέχνη*] *ἢ ἐπὶ τῶν μὴ ῥᾳδίως κατεργαζομένων, ἢ ἐπὶ τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως εἰργασμένων. Ἵππασος γάρ τις κατεσκεύασε χαλκοῦς τέτταρας δίσκους οὕτως, ὥστε τὰς μὲν διαμέτρους αὐτῶν ἴσας ὑπάρχειν, τὸ δὲ τοῦ πρώτου δίσκου πάχος ἐπίτριτον μὲν εἶναι τοῦ δευτέρου, ἡμιόλιον δὲ τοῦ τρίτου, διπλάσιον δὲ τοῦ τετάρτου, κρουομένους δὲ τούτους ἐπιτελεῖν συμφωνίαν τινά. καὶ λέγεται Γλαῦκον ἰδόντα τοὺς ἐπὶ τῶν δίσκων φθόγγους πρῶτον ἐγχειρῆσαι δι' αὐτῶν χειρουργεῖν, καὶ ἀπὸ ταύτης τῆς πραγματείας ἔτι καὶ νῦν λέγεσθαι τὴν καλουμένην Γλάυκου τέχνην. μέμνηται δὲ τούτου Ἀριστόξενος ἐν τῷ περὶ τῆς μουσικῆς ἀκροάσεως, καὶ Νικοκλῆς ἐν τῷ*

περὶ θεωρίας. ἔστι δὲ καὶ ἑτέρα τέχνη γραμμάτων, ἣν ἀνατιθέασι Γλαύκῳ Σαμίῳ, ἀφ' ἧς ἴσως καὶ ἡ παροιμία διεδόθη. οὗτος δὲ καὶ σιδήρου κόλλησιν εὗρεν, ὥς φησιν Ἡρόδοτος. R S.

109 B. αὐτὴν δὲ τὴν γῆν] τοῦτ' ἐκεῖνο, ὃ λέγει ἐν τῷ Τιμαίῳ, τὸν οὐρανὸν τῶν τεσσάρων εἶναι στοιχείων, ἀφ' ἑκάστου τοῦ καθαρωτάτου καὶ οἷον νῷ μόνῳ θεατοῦ τε καὶ ληπτοῦ εἰς τὴν κατασκευὴν τοῦ ποιητοῦ δεηθέντος. R.

110 E. κατεδηδεσμένοι] καταβεβρωμένοι. R.

111 E. αἰώραν] ὕψωσιν, ἔπαρσιν. R.

112 D. ἀμφοτέρους] γρ. ἄναντες γὰρ πρὸς ἀμφότερα. R.

114 C. ὥστε ἀρετῆς] ὁ μηδενὸς ἄλλου χάριν τὴν ἀρετὴν διατεινόμενος χαρακτηρίζειν τί πέπονθας; ὡσπερεὶ παλινῳδίαν ᾄδεις καὶ τῆς εἰσέπειτα ῥαστώνης τὸ τῆς ἀρετῆς ἀπεμπολεῖς ἄπρατον; ἀλλ' ἢ τῶν πρὶν λήθεσο ἢ οὐκ ἐνόησας. O.

115 D. ἠγγυήσατο] γρ. ἠγγυᾶτο. R.

117 C. ἀστακτὶ] ἀντὶ τοῦ οὐ κατὰ σταγόνα, ἀλλ' ἀθρόα καὶ ποταμηδόν. O. γρ. ἀβαστακτὶ καὶ βίᾳ. R.

ΕΙΣ ΤΟΝ ΚΡΑΤΥΛΟΝ.

P. 384 A. χαλεπὰ τὰ καλὰ] παροιμία ἐπὶ τῶν ἐν εὐπραγίᾳ μεταβαλλομένων εἰς ὠμότητα. φησὶ δὲ αὐτὴν Δίδυμος ὑπὸ Σόλωνος ἀναφωνηθῆναι ἐπὶ Πιττακῷ ἱκετεύοντι τὴν ἀρχὴν ἀποθέσθαι, καὶ φάντι χαλεπὸν ἐσθλὸν φῦναι, διὰ τὸ τὸν Περίανδρον εἰς ὠμότητα μεταβαλεῖν. ὅθεν, οἶμαι, φησὶ καὶ Μένανδρος

ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν
ἀγαθὰ τὰ λίαν ἀγαθά.

μέμνηται δὲ αὐτῆς καὶ Ἐπίχαρμος καὶ Πλάτων Πολιτείᾳ καὶ Κρατύλῳ. R. S.

C. σκοπεῖν] γρ. σκώπτειν. R.

E. τῶν μεθιστάντων] γρ. τῶν ἐθισάντων. R.

391 C. ἀλήθειαν τὴν Πρωταγόρου] τοῦτο διαπαίζει τῶν Πρωταγόρου, ἐν οἷς φησὶν ἐκεῖνος· τὸ ἑκάστῳ δοκοῦν ἀληθές ἐστιν. O.

E. περί του ποταμοῦ] περί τινος. R.

395 B. ἀτηρὰ] ἀκόλαστα, ὑβριστικά, χαλεπά, κακά, βλαβερά. R.

E. ταλάντατον] ἀτυχέστατον. R.

396 E. ἀποδιοπομπεῖσθαί φασι τὸ ἀποτρέπεσθαι τον προστρόπαιον Διὰ καὶ οἱονεὶ καθαίρεσθαι τὰ δεινά. RS.

397 B. χαίρειν ἐᾷν] γρ. χρῆναι. R.

D. θεῖν] τρέχειν, σπεύδειν. R.

D. ἐπονομάσαι] ἐπικαλέσαι. R.

398 C. γεγόνασιν ἐρασθέντες] σημείωσαι διὰ σύνταξιν. O.

401 A. κομψῶς] καλῶς, μετρίως. R.

402 C. ᾤπνιεν] ὠμίλει, συνεγίνετο κατὰ νόμον καὶ ἐμίγνυτο, συνῴκει. R.

403 E. τὸν Πλούτωνα ἀπὸ τούτου ἔσχε τὸ ὄνομα] σημείωσαι διὰ τὴν σύνταξιν. O.

405 D. ὁμοπολῶν] γρ. καὶ ἐπισκοπῶν. R.

407 D. ἄρρατον] ἀσφαλὲς ἢ ἀκάματον, οἱ δὲ ἰσχυρόν, ἔνιοι μικρόν, οἱ δὲ μέγα, οἱ δὲ τὸ σκληρὸν καὶ ἀμετάστροφον. R.

411 D. περὶ τὸ φέρεσθαι] γρ. καὶ περὶ τὸ ῥεῖν γε. R.

412 B. ἐσύθη] ἀπεφέρετο, ἀπηνέχθη. R.

D. διὰ τοῦ ὄντος] γρ. καὶ ἰόντος. R.

413 A. παροιμία, ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷς, ὅμοιον τῷ ὑπερβάθμιον πόδα τείνεις. R. παροιμία τοῦτο ἐπὶ τῶν πέρα τοῦ δέοντός τι ποιούντων, οἷον ὑπὲρ τὰ ἐσκαμμένα ἐπήδησεν. εἰσῆκται δὲ ἐντεῦθεν. Φάϋλλός τις κουφότατος πάντων ἅλματι μετέωρον φέρειν ἑαυτὸν πεντήκοντα πρὸς τοῖς πέντε πόδας παρὰ δόξαν ἐπὶ μῆκος ἥλατο. ὃν καὶ διὰ τοῦτο θαυμάσαντες οἱ πρὸς αὐτὸν ἀμιλλώμενοι στίχῳ τὸ θαῦμα ἀοίδιμον τῷ μακρῷ καταλελοίπασι χρόνῳ,

πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος
ποιησάμενοι. οὗτοι γὰρ ὀρύγματα τέμνοντες τάφρων ἐπὶ πεντήκοντα μόνον πόδας διεστηκότα τὸ τῆς ἀγωνίας ἀκρότατον ἐπεδείκνυντο. αὐτὸς δ' ὑπερπαίσας τοῦτο πέντε ποσὶν . . O.

415 D. ῥοπὴν] γρ. καὶ ῥοήν. R.

420 D. τῇ κατ' ἀνάγκην] γρ. καὶ κατὰ τὰ ἄγκη. R.

421 D. ἀγὼν πρόφασιν οὐκ ἀναμένει, ἐπὶ τῶν φύσει ῥαθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. μέμνηται δὲ αὐτῆς Πλάτων ἐνταῦθα οὗ-

τως· οὐ μέντοι μοι δοκεῖ προφάσεις ἀγὼν δέχεσθαι, καὶ ἐν Νόμων ἕκτῳ· ἀλλὰ γὰρ ἀγῶνα προφάσεις φασὶν οὐ πάνυ δέχεσθαι. Αἰσχύλος δέ φησι Γλαύκῳ Ποτνιεῖ·

ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους·

καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις β΄. R S.

424 C. δεινοὶ] ἱκανοί, ἢ δέους ἄξιοι, ὡς νῦν. R.

D. τῶν χρωμάτων] γρ. καὶ φαρμάκων. R.

428 D. θαμὰ] πυκνῶς, συχνῶς. R.

434 E. διαφέρειν] γρ. διάφορον. R.

436 E. φερομένου] γρ. ῥέοντος. R.

439 A. ἄλλο ὂν] γρ. ἀλλοῖον. R.

ΕΙΣ ΤΟΝ ΘΕΑΙΤΗΤΟΝ.

P. 142 A. ἄρτι] τοῦτο σημαίνει τὸ παρὸν καὶ ὑπόγυον καὶ τὸ παραυτίκα μέλλον γίνεσθαι. R.

B. αἱρεῖ] καταλαμβάνει, νῦν δὲ τὸ καταπονεῖ. R.

C. ἀτὰρ] καὶ δή, ὡς νῦν. σημαίνει δὲ καὶ ὅμως καὶ ἄτε δή καὶ πλήν καὶ δέ. R.

C. ἐθαύμασα Σωκράτους] σημείωσαι διὰ τὴν σύνταξιν. O.

143 C. οὐδέν γε ἀπὸ τρόπου] οὐ πόρρω τοῦ καθήκοντος. R.

D. ἐπίδοξοι] ἔνδοξοι, ἢ ὡς νῦν, προσδόκιμοι. R.

144 A. ἀνερμάτιστα] ἀστήρικτα· ἔρματα γὰρ τὰ ἐρείσματα ἢ στηρίγματα. R S.

C. ἔξω δρόμῳ] τόποι τινὲς ἦσαν, ὁ μὲν ἐκτὸς ἄστεος, ὁ δὲ ἐντός, ἀπὸ τῶν ἐν αὐτοῖς τελουμένων ὑπὸ τῶν νέων δρόμοι καλούμενοι. R S.

146 A. ὄνος κάθου, ἐπὶ τῶν ἐν πράγματι ἡττωμένων. εἴρηται δὲ ἀπὸ τῶν παίδων τῶν σφαιριζόντων καὶ τὸν νικηθέντα εἰς ὄνον καθιζόντων. ἐμνήσθη δὲ ταύτης ἐνταῦθα Πλάτων. R S. ἐν τῇ διὰ σφαίρας *παιδιᾷ . . . ἡ μὲν οὐρανία,* ἡ δὲ ἀπόρραξις, *ἡ δὲ ἐπίσκυρος,* ἡ δὲ φαινίνδα. *καὶ οὐρανία μέν ἐστιν ἡ* εἰς οὐρανὸν τῆς σφαίρας ἀναβολή, ἣν ὁ ποιητὴς ἐμφαίνειν δοκεῖ ἐν οἷς φησίν

οἱ δ' ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο
πορφυρέην, τήν σφιν Πόλυβος ποίησε δαΐφρων,

τὴν ἕτερος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα
ἰδνωθεὶς ὀπίσω, ὁ δ' ἀπὸ χθονὸς ὑψόσ' ἀερθεὶς
ῥηϊδίως μεθέλεσκε πάρος ποσὶν οὐδας ἱκέσθαι.

ἀπόρραξις δέ ἐστιν ὅταν τὴν σφαῖραν μὴ πρὸς τοῖχον ἀλλὰ πρὸς τὸ ἔδαφος σκληρῶς ῥίπτωσιν, ὥστε ἀποκρουομένην ἄλλεσθαι πάλιν. τὴν δὲ ἐπίσκυρον καὶ ἐφηβικὴν καὶ ἐπίκοινον ἔλεγον· ἐχρῶντο δὲ αὐτῇ κατὰ πλήθη· ὠνομάσθη δὲ οὕτως, ἐπειδὴ οἱ παίζοντες ἐπὶ λατύπης ἑστῶτες, ἣν σκῦρον προσαγορεύουσι, βολῇ σφαίρας ἀλλήλους ἐκδιώκουσιν. φαινίνδα δέ ἐστιν ὅταν ἑτέρῳ τὴν σφαῖραν προδεικνύντες ἑτέρῳ αὐτὴν ἐπιπέμπωσι. τῶν οὖν παιζόντων ταῦτα τοὺς μὲν νικῶντας βασιλεῖς ἐκάλουν, καὶ ὅ τι ἂν προσέτασσον τοῖς ἄλλοις ὑπήκουον, τοὺς δ' ἡττωμένους ὄνους. Κρατῖνος δὲ Χείρωσι χαριέντως ὁμοῦ ἐγκαταμίξας καὶ τὴν ὄνος λύραν παροιμίαν ἔπλεξε τὸν λόγον οὕτως·

ὡς ὄνος ἀπωτέρω κάθηνται τῆς λύρας·

τοὺς γὰρ ἡττωμένους, ὡς ἔφαμεν, ὄνους καθῆσθαι ἔλεγον, βασιλεῖς δὲ τοὺς νικῶντας. O.

146 C. *ἀπειθεῖν*] γρ. *ἀπιστεῖν.* R.

147 A. *ἱπνοπλαθῶν*] γρ. *κοροπλαθῶν.* R.

148 E. *ἀπαλλαγῆναι τοῦ εὑρεῖν*] γρ. *μέλειν.* R.

151 B. *ἐγκύμονες εἶναι*] σημείωσαι διὰ τὴν σύνταξιν. O.

152 B. *διὰ τοῦ ἔοικεν ὁ Θεαίτητος φαίνεται ἀγαπῶν τὸ Πρωταγόρου δόγμα, καὶ ἐμμένων τῇ ἐξ ἀρχῆς ἑαυτοῦ ἀποκρίσει.* O R.

C. *ἐπιστήμη οὖσα*] *ὅ τι γὰρ αἰσθάνεταί τις, καὶ ἐπίσταται.* O.

C. *ἆρ' οὖν*] *πρώτη κατασκευὴ τοῦ Πρωταγορείου δόγματος.* O R.

C. *συρφετῷ*] *κονιορτῷ τῷ μετὰ κόπρων. οἱ δὲ κοιμῶν καὶ συρμός, καὶ σύρφη φρύγανα.* R S.

153 B. *κινήσεων ὄντων*] *τὴν σύνταξιν σημείωσαι, ὅτι οὐδετέρως εἶπεν ὄντων πρὸς τὰ πράγματα· οὐδέτερον γὰρ τὸ πρᾶγμα.* R. *ἡ σύνταξις πραγματική· οὐδετέρως γὰρ εἶπεν ὄντων πρὸς τὰ πράγματα ἀφορῶν.* O.

C. *τὸν κολοφῶνα ἀναγκάζω προσβιβάζειν*] *δώδεκα πόλεις τῆς Ἰωνίας συνήεσαν εἰς τὸ Πανιώνιον λεγόμενον, περὶ τῶν [redacted] βουλευσόμεναι, καὶ εἴ ποτε ἴσαι αἱ ψῆφοι ἐγένοντο, οἱ*

Κολοφώνιοι περιττὴν ἐτίθεντο τὴν νικῶσαν· Σμυρναίους γὰρ ἑλόντες εἶχον συνοίκους, ὑπὲρ ὧν καὶ τήνδε τὴν ψῆφον ἐτίθεντο. ὅθεν ἐπὶ τῆς κρατούσης καὶ βεβαιοτάτης ψήφου ἡ παροιμία ἐτίθετο, οἷον τὸν Κολοφῶνα ἐπιτίθημι ἢ τὸν Κολοφῶνα ἀναγκάζω προσβιβάζων. RS.

D. παροιμία, ἄνω κάτω πάντα, ἐπὶ τῶν τὴν τάξιν μεταστρεφόντων. Μένανδρος Ἐγχειριδίῳ, καὶ ἐν Χήρᾳ·

τὸ λεγόμενον τοῦτ' ἐστὶ νῦν,
τἄνω κάτω, φασί, τὰ κάτω δ' ἄνω. RS.

D. ὑπόλαβε] δευτέρα κατασκευὴ ὑπὲρ τῶν Πρωταγόρᾳ δοκούντων. R.

E. προσήκουσαν] ἀντὶ τοῦ σύμμετρον. R.

154 A. ἴδιον] ἀντὶ τοῦ μερικόν. R.

A. ἢ σὺ διϊσχυρίσαιο] ταῦτα πάντα ἡ δευτέρα κατασκευὴ ἐστι τῶν Πρωταγορείων δογμάτων, ἕως τοῦ περὶ τῆς Ἴριδος λόγου. O.

A. ᾧ παραμετρούμεθα] τουτέστι τῷ αἰσθητηρίῳ. ἔστι δὲ τὸ ῥῆμα μέσης διαθέσεως. οὐδὲ ἁπτόμεθα, λέγει, τοῦ αἰσθητοῦ. τὸ δ' αὐτὸ εὐθὺς καὶ παραμετρούμενον λέγει, ἁπτόμενον δὲ τὸ αἰσθητήριον. R.

155 A. φάσματα λέγει ταῦτα ὡς τῶν ψυχῶν ἀπατηλά, εἰ μή τις ὀρθῶς αὐτὰ μεταλάβοι. R.

A. κομιδῇ] πάνυ, παντελῶς· συναγωγή, ἐπιμέλεια. καὶ κομίστρια ἡ τροφός. R.

B. ὁ Πρόκλος τὸ ἀλλὰ παρέλκειν λέγει. R.

C. ὑπερφυῶς ὡς] μέχρι τοῦδε τὰ τῆς δευτέρας κατασκευῆς τῶν Πρωταγορείων δογμάτων. R.

E. ἆθρει δὴ περισκοπῶν] τρίτη κατασκευὴ ὑπὲρ τῶν Πρωταγορείων δογμάτων. O.

E. ἀπριξ] προσπεφυκότως, ἰσχυρῶς, ὃ οὐχ οἷόν τε πρῖσαι διὰ τὴν σύμφυσιν. R.

156 C. πρὸς τὰ πρότερα λέγει, πρὸς τὸ πάντων χρημάτων μέτρον εἶναι τὸν ἄνθρωπον, καὶ τὰ τοιαῦτα. R.

C. ὅσον μὲν οὖν ἄρα δὴ] οἷον ὡς τὸ ἁπτὸν καὶ τὸ γευστόν, παρέλιπε δὲ ὄψιν καὶ ἀκοὴν ταχέως γινόμενα· τούτων γὰρ σχ[illegible] δὸν ἀχρόνως αἰσθανόμεθα. διὰ δὲ τὸ ἐναργῆ αὐτὰ εἶναι παρ[illegible] λιπεν. ἐξῆς δὲ ὅταν λέγῃ τὰ δὲ γεννώμενα [illegible]

δή ὑποστικτέον. οὕτω γὰρ δὴ λέγει, τουτέστι τὰ βραδέα, ἅπερ εἰσὶ γευστὰ καὶ ἁπτά. R S.

D. τῆς δὲ λευκότητος] καὶ γάρ, φησίν, ἡ αὐτὴ αἴσθησις τῶν ἀντικειμένων οὐκ ἔστιν, οὐδὲ τὸ αὐτὸ αἰσθητὸν πάσης ἐστίν, ἀλλὰ μία ὄψις ἡ τοῦ λευκοῦ αἰσθητοῦ ἑνός. καὶ τὸ λευκὸν οὐ δύναται ἡ τοῦ μέλανος αἴσθησις ἀντιλαβέσθαι, ἀλλ' ἡ τοῦ λευκοῦ, καὶ ἔμπαλιν. ἑκατέρου δὲ λέγει, οἷον τῆς τοῦ μέλανος ὄψεως ἐπὶ τὸ λευκὸν αἰσθητόν. ἐφεξῆς δὲ ὄψιν μὲν λέγει τὴν ὀπτικὴν δύναμιν, λευκότητα δὲ τὴν λευκαντικὴν δύναμιν. R S.

157 A. ἐξ ἀρχῆς] ὅτε ἔλεγε τάχος καὶ βραδύτης ἕν, καὶ πάλιν φθαρτός ἐστι, καὶ τὰ τοιαῦτα. R.

B. χρῆσθαι αὐτῷ] ἤγουν τῷ εἶναι, ὡς ὁ τῶν Πρωταγορείων λόγος. O R.

B. πολλῶν] ἀντὶ τοῦ συνθετῶν. O.

B. ἀθροισθέντων] ἀντὶ τοῦ συντεθέντων. R.

C. μὴ τοίνυν ἀπολείπωμεν] ἔτι συνηγορῶν τῷ Πρωταγόρᾳ τὰς πρὸς αὐτὸν ἐνστάσεις δοκεῖ διαλύειν. R.

158 D. ἐντεῦθεν ἄρχεται διαλύειν τὰς πρὸς Πρωταγόραν ἐνστάσεις διὰ τὸ ἄπορον εἶναι τὸ περὶ τῶν ἐνυπνίων. R.

E. οὕτως ἐρωτῶντες] ἔτι συνηγορεῖ καὶ ἐν τούτοις τῷ τοῦ Πρωταγόρου δόγματι, λαμβάναν τρία αἰτήματα. R.

E. ταὐτὸν εἶναι] οἷον ὡς ἵππος καὶ ἄνθρωπος ταὐτόν ἐστι κατὰ τὸ αἰσθητικόν. ἀλλ' οὐ λέγω, φησίν, οὕτως. R.

159 A. πρόσθεν] ἤγουν ἐν τοῖς κατὰ Πρωταγόραν. R. κατὰ τὸν Πυθαγόραν. O.

160 A. ἐμαυτῷ τοιοῦτος] κατὰ τὴν αἴσθησιν τοιοῦτος. κατὰ κρινοῦ δὲ ἡ ἄρνησις. R.

C. οὐκοῦν ὅτε δὴ] ὥστε, φησίν, οὐδὲν ἄτοπον συμβαίνει διὰ τὰς ἐνστάσεις, οἷον τὰς ὀνειρώξεις καὶ τὰ τοιαῦτα. R.

D. κατὰ δὲ Θεαίτητον] ἕπεται γὰρ ταῖς ἐκείνων θέσεσιν ὁ τοῦ Θεαιτήτου λόγος. R.

E. ἀμφιδρόμια] ἡμέρα πέμπτη τοῖς βρέφεσιν ἐκ γενέσεως, οὕτω κληθεῖσα, παρ' ὅσον ἐν ταύτῃ καθαίρουσι τὰς χεῖρας αἱ συνεφαψάμεναι τῆς μαιώσεως, καὶ τὸ βρέφος περὶ τὴν ἑστίαν φέρουσι τρέχουσαι κύκλῳ, καὶ τοὔνομα τίθενται τούτῳ, δῶρά τε πέμπουσι τῷ παιδίῳ, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας καὶ σηπίας, οἵ τε φίλοι καὶ οἰκεῖοι καὶ ἁπλῶς οἱ προσήκοντες. R S.

161 C. τῆς ἀληθείας] τὸ τοῦ *Πρωταγόρου* σύγγραμμα, ἐν ᾧ ταῦτα δοξάζει, Ἀλήθεια ἐκαλεῖτο ὑπὸ *Πρωταγόρου*. R S.

C. ἤρξατο] σημείωσαι ὁριστικὸν ῥῆμα ἀνθ' ὑποστατικοῦ. O.

C. γυρῖνος τὸ ἐκ τοῦ βατράχου παιδίον. R.

E. δημούμενον] δημοκοποῦντα, παίζοντα, θωπεύοντα. R.

162 A. διωλύγιος] μεγάλη, ἢ ἐπὶ πολὺ διήκουσα. R. ἀντὶ τοῦ περιβόητος. σημαίνει δ' ἔσθ' ὅτε καὶ τὸ σκοτεινὸν καὶ νυκτέρινον. O.

B. εἰ οὕτως σοι φίλον, οὐδ' ἐμοὶ ἐχθρὸν] παροιμία ἐπὶ τῶν ἓν τισι συμφερομένων. R.

B. φροιμιαζόμενοι] παραιμιαζόμενοι. R.

D. δημηγορίας] τὸν δοκοῦντα ἔλεγχον, ὃν ἄρτι ἔλεγεν ὁ Σωκράτης κατὰ *Πρωταγόρου*, ὅτε τοῦ κυνοκεφάλου ἐμέμνητο, δημηγορίαν νῦν καλεῖ, διὰ τῆς εἰρωνείας τὸν λόγον παραμυθησάμενος, ἵνα πάλιν διεγείρῃ τὸν νέον. R S.

E. οὐδ' ἑνὸς μόνου] καὶ γὰρ εἰ τὴν τῶν πολλῶν κρίσιν λάβοιμεν ἐπὶ γεωμετρίας κυρίαν, γέλοιοι ἂν εἶμεν, ἀσύμμετρα λέγοντες ἀλλήλοις μεγέθη, καὶ τὴν πεπερασμένην εὐθεῖαν διαιρετὴν εἶναι εἰς ἄπειρον, καὶ τὰ τοιαῦτα. ἐκ δὲ τῆς τῶν κυβευόντων συνηθείας ἔλαβε τὸ οὐδ' ἑνὸς μόνου, ὅταν ἐκεῖ πέσῃ ἐν τῷ παίζειν ἓν τὸ ἐλάχιστον. R S.

163 A. ἐπιστήμη τε καὶ αἴσθησις] πρόκειται νῦν τῷ Σωκράτει ἐλέγξαι τὴν ἐξ ἀρχῆς θέσιν τοῦ Θεαιτήτου τιθεμένου τὴν ἐπιστήμην αἴσθησιν. O.

C. καίτοι ἠδύνατο λέγειν, εἰ οὐκ ἐπίσταται ὁρῶν ὁ ἀγράμματος, ἄλλο ἐστὶν ἐπιστήμη καὶ ἄλλο ὅρασις ἤτοι αἴσθησις. R.

C. εἴ τις ἔροιτο] καὶ τοῦτο πειραστικὸν δίλημμα τοῦ ἑξῆς. O.

164 A. τὸν πρόσθεν] τὸν τὴν αἴσθησιν θέμενον εἶναι ἐπιστήμην. R.

C. πάλιν ἐξ ἀρχῆς] πάλιν ἐν τούτοις πρόκειται τῷ Σωκράτει ἀνακαλέσασθαι τὸν διὰ τὴν ἀπειρίαν ἑαυτοῦ κατασυλλογισθέντα Θεαίτητον. R.

D. μῦθος ἀπώλετο] παροιμία ἐπὶ τῶν τὴν διήγησιν μὴ ἐπὶ πέρας ἀγόντων. R.

E. προπηλακίζομεν] ἀδικοῦμεν, ὑβρίζομεν, [redacted] ἐξουθενοῦμεν. R S.

165 A. *σκέψαι οὖν*] *πάλιν ἐπιχειρεῖ ἐλέγχειν ἐν τούτοις τὰ τοῦ Πρωταγόρου καὶ Θεαιτήτου δόγματα.* R.

E. *ἐπίκουρον τοῖς αὐτοῦ ἐρεῖ*] *ἀπὸ κοινοῦ τὸ ἐρεῖ.* R.

166 C. *ἐξέλεγξον*] *ἐκ τῶν δύο, φησί, θάτερον ἐξέλεγξον, εἴπερ δύνασαι· ἢ γὰρ ὡς οὐκ εἰσὶν αἱ αἰσθήσεις ἴδιαι, ἢ τούτων ἰδίων αὐτῶν οὐκ ἔστι τὰ αἰσθητὰ ἴδια ἑκάστῳ.* R.

C. *ὑηνεῖς*] *ὑϊκόν τι καὶ ζωῶδες ποιεῖς.* R. *οἷον ὡς εἴ τις εἴποι χοιρίζεις.* O.

D. *πολλοῦ δέω*] *πόρρω λίαν εἰμί, οὐ βούλομαι λέγειν, σιωπῶ.* R.

E. *ἐναντία*] *κατὰ γὰρ τὴν Πρωταγόρου δόξαν τὸ μὲν αἰσθητὸν πᾶν δοκεῖ εἶναι μὴ ὄν, τὸ δὲ δίκαιον καὶ τὸ καλὸν ἔστι μέν, ἀλλ' οὐ φύσει, θέσει δὲ μόνον, οἷον οἱ νόμοι παρ' ἑκάστοις. μόνον δὲ τὸ ἀγαθὸν φύσει.* R.

167 B. *τοῖς φυτοῖς*] *πρὸς τί γάρ, φησί, τὸ ἀληθὲς καὶ το ψεῦδος, ὡς τὸ καλὸν καὶ τὸ δίκαιον; τὸ δὲ ἑξῆς, ὥσπερ, φησίν, ἡ κακὴ ψυχὴ δοξάζει συγγενῆ ἑαυτῇ πονηρά, οὕτως ἡ χρηστὴ χρηστά. ἑκατέρως δὲ τῇ δοκήσει τὸ ἀληθὲς καὶ πρός τι.* R.

D. *σώζεται ὁ λόγος ὁ λέγων μέτρον πάντων εἶναι τὸν ἄνθρωπον. ἐν τούτοις δὲ τοῖς ἀγαθοῖς καὶ κακοῖς τοῖς ἀληθῆ μὲν δοξάζουσιν ἑκάτεροις, διαφέρουσι δὲ τῷ κρείττονι καὶ χείρονι μόνῳ.* R.

168 B. *πρεσβύτεροι*] *οἱ γὰρ νέοι φιλόνεικοι.* R.

C. *τὸν Θεόδωρον νῦν παρακαλεῖ πρὸς τὴν διάλεξιν, ἵνα δι' αὐτοῦ οἱ ἀληθεῖς ἔλεγχοι κατὰ Πρωταγόρου γένωνται. καὶ ἤτοι διὰ τὸ ἀξιόπιστον τοῦ πρεσβυτικοῦ προσώπου τοῦτο ποιεῖ, ἢ καταβάλλων τὸ τοῦ νέου, ὡς εἰκός, οἴημα.* R.

D. *χαριεντισμὸν*] *ἀντὶ τοῦ παίγνιον.* R.

169 A. *ὀλίγον*] *μετὰ γὰρ τοὺς τοῦ Πρωταγόρου ἐλέγχους πάλιν ἐπὶ τὴν Θεαιτήτου μαιείαν ἀναδραμεῖται.* R.

B. *Ἡρακλέες τε καὶ Θησέες*] *οἱ Θρασύμαχοι, Καλλικλεῖς, Διονυσόδωροι, Εὐθύδημοι, καὶ οἱ τοιοῦτοι.* R.

C. *περαιτέρω*] *οἷον τοῦ ἐλέγχου μόνου, πλέον δὲ ἄλλο οὐδέν, οἷον τὰ περὶ ἐπιστήμης.* R.

170 A. *ὥσπερ πρὸς θεοὺς ἔχειν*] *ἀντὶ τοῦ ἐκθειάζειν τοὺς ἐν ἑκάστοις ἐπιστήμονας· οἷον καὶ τὸ Ὁμηρικόν· θεοῖς ἐναλίγ-*

κια μήδε' ἔχοντα· καί· ἴσος Ἐνυαλίῳ ἀνδρειφόντῃ· καὶ τὰ τοιαῦτα. R S.

B. ἄλλων ζώων] οἷον ποιμένας, ἡνιόχους, κνηγούς. R.

C. τῷ λόγῳ] τῷ κατασκευασθέντι ἐκ τῆς κοινῆς ἐννοίας τῶν πολλῶν. R.

D. περί τινος δόξαν] οἷον περὶ προνοίας, περὶ τοῦ ἐφ' ἡμῖν καὶ τῶν τοιούτων. R.

171 A. οἷς μὴ δοκεῖ] οὐ γάρ ἐστι ποιότης ἐν τοῖς τοιούτοις ποσοῖς. R.

B. ὅταν τῷ τἀναντία] ὅταν, φησίν, ὁ Πρωταγόρας συναισθηται τῆς τοῦ λόγου ἀτοπίας. R.

C. σοφώτερον ἡμῶν εἶναι] ἔπου θεῷ, ἔπου λόγῳ. R.

E. τὰ μὲν πολλὰ] τὰ μὲν σωματικὰ καὶ πρός τι. R.

172 A. τῇ ἀληθείᾳ] ὡς θέσει. ἐντεῦθεν μέχρι τῶν ἑξῆς σελιδίων ιδ ἀποστηθίζειν χρή. O.

A. συμφέροντα] τὸ γὰρ συμφέρον, φησί, φύσει, ὁ δὲ νόμος θέσει. R.

B. ὅσον ἂν δοκῇ χρόνον] ἀντὶ τοῦ ἕως τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. R.

C. τοῖς τοιούτοις] οἷον ἐργαστηρίοις, ἐμπορίαις. R.

C. τὴν ἄλλως] ἀντὶ τοῦ ματαίως καὶ ὡς ἔτυχεν. R.

C. φαύλως διατρίβοντας] οἷον τοὺς πολιτικούς. R.

D. πράττειν προσίσταται] Ἀττικὸν τὸ σχῆμα, γίνεται δὲ τῆς ἐπιφορικῆς φράσεως προταττομένης ὀρθῆς πτώσεως ἀντὶ γενικῆς ἢ δοτικῆς ἢ αἰτιατικῆς. γενικῆς μὲν οἷον Ἀλκιβιάδης ἐξελθὼν τῶν πυλῶν Λακεδαιμόνιοι ἡτύχησαν· ἔδει γὰρ εἰπεῖν Ἀλκιβιάδου ἐξελθόντος· δοτικῆς δὲ οἷον ἐξερχόμενος ἔδωκέ μοι· ἀντὶ γὰρ τοῦ ἐξερχομένῳ ἐξερχόμενος εἶπεν. ἀντὶ δὲ αἰτιατικῆς ὡς ἐνταῦθα· ἔδει γὰρ εἰπεῖν σπουδὰς δὲ ἑταιριῶν καὶ νώμους οὐδὲ ὅναρ πράττειν προσίσταται αὐτοῖς, ἀντὶ τοῦ παρίσταται. O.

E. ἀντωμοσίαν γὰρ τὸ ἐγκαλεῖν καὶ ἀντιγράφεσθαι ἔλεγον Ἀθήνησι διὰ τὸ ἀντομνύναι τόν τε διώκοντα καὶ τὸν φεύγοντα. O.

173 D. θαλάττης χόες] παροιμία ἐπὶ τοῦ πολυμαθοῦς καὶ ἐμπείρου. R.

E. φύσιν ἐρευνωμένη] γενικῶς τὸ φθαρτόν. O.

174 A. ἐγγὺς οὐδέν] γρ. οἶδεν. R.

B. διερευνώμενος] ὅτι ἐν τούτοις τὸν ὡς ἀληθῶς μαθημα-

τικὸν ἄνδρα εἰς ταὐτὸν ἄγει τῷ ὄντως φιλοσόφῳ, ἔτι δὲ καὶ τὸν φυσικόν, ἢ μᾶλλον ὡς μέρη τοῦ φιλοσόφου βούλεται εἶναι τοὺς ἄλλους ἐπιστήμονας. R.

C. εἰς φρέατα] ἐπὶ τῶν ὑλαίων πραγμάτων καὶ εἰδωλικῶν. R.

D. βδάλλοντα] ἀμέλγοντα ἢ θηλάζοντα ἀπὸ τοῦ βδέλλα. R.

E. δοκεῖ ἀκούειν] νομίζει γίγνεσθαι κατὰ κοινοῦ. R.

175 E. θῶπας] ἀπατηλούς. R.

E. τορῶς] τομῶς, ἐντρεχῶς, εὐπετῶς. O.

176 A. ἀναβάλλεσθαι] τῶν γὰρ ἀπαιδεύτων καὶ τὸ ἔνδυμα καὶ τὸ σχῆμα θορυβῶδες. R. ἄλλοι δὲ τὸ ἀναβάλλεσθαι ἐπὶ τῶν κιθαρῶν ἀκούουσι τῆς ᾠδῆς, οἷον τὸ ἄρχεσθαι κιθαρίζειν. καὶ οἶμαι οὐ κακῶς· τό τε γὰρ πρόπρουμα τῆς κιθάρας ἀναβολὴ καλεῖται (Ἀριστοφάνης Εἰρήνῃ· συνελέγοντ' ἀναβολὰς ποτώμεναι), καὶ τὰ τοῦ λόγου ἐξῆς πρὸς ταύτην τείνει τὴν ἔννοιαν. O.

C. βάνυσοι] οἱ ἑδραῖοι τεχνῖται καὶ παρὰ βανύω, ὅ ἐστι καμίνῳ, τὶ ἔργον διατιθέμενοι. οἱ δὲ βάνυσον τὸν ἀπάνθρωπον καὶ ὑπερήφανον. ἔνιοι δὲ βαναύσου χειρὸς τῆς ὑβριστικῆς ἢ τεχνικῆς. δηλοῖ δὲ τοὺς χειροτέχνας καὶ δημιουργούς. R S.

D. γῆς ἄλλως ἄχθη] ἀλλὰ δεῖ ἐπιτιμᾶν αὐτοῖς, φησί, τὸ Ὁμηρικὸν ἐτώσιον ἄχθος. τὸ γὰρ φυσικὸν βάρος καλόν, τὸ δὲ ἄλλως καὶ μάταιον κακόν. R.

177 A. παντάπασιν ὡς δεινοὶ] τοὺς γὰρ τὰ συμφέροντα διδάσκοντας σοφοὺς οἱ δεινοὶ ὡς ἀνόητα φάσκοντας ἐκφαυλίζουσιν, ὡς ὁ τοῦ Ὁμήρου Πάρις·

ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί. R.

B. δοῦναι] διαλεκτικῶς. O.

B. τελευτῶντες] ἐλεγχόμενοι. O.

B. ἐκείνη] ἡ δημώδης. O.

B. διαφέρειν] οἱ δεινοὶ ἐκεῖνοι. O.

C. τὴν φερομένην] τὴν ἐν γενέσει. O.

E. μὴ λεγέτω τὸ ὄνομα] ἀντὶ τοῦ μὴ ὄνομα ψιλὸν μόνον λέγωμεν, οἷον τὸ ὠφέλιμον καὶ βλαβερόν. R.

178 A. ἑκάστῃ] ἐπιρρηματικῶς ἀπουστέον ἀντὶ τοῦ ἑκασταχοῦ. O.

A. μέλλοντα χρόνον] τὸ γὰρ ἁπλῶς μέλλον καθολικώτερον τοῦ ὠφελίμου. R.

A. τοῦτο δὲ μέλλον ὀρθῶς ἂν ἐπιλέγοιμεν] τοῦτο τὸ γενικώτερον μεταλαβὸν τὴν ἐρώτησιν, καὶ μὴ ἐπὶ μόνου τοῦ ὠφελίμου. γράφεται καὶ τοῦτο δὲ μᾶλλον ὀρθῶς ἂν λέγοιμεν. R.

E. ὦ μέλε] παρὰ τοῖς νεωτέροις ὑπὸ γυναικῶν λέγεται μόνον, ὡς τὸ ὦ τάλαν, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν, ὡς ἐν Ἱππεῦσιν Ἀριστοφάνους, καὶ ἐν Μενάνδρου Συνερώσῃ·

ἄφες τὸν ἄνθρωπον· τί κόπτεις, ὦ μέλε;

σημαίνει δέ, ὦ δείλαιε, ὦ πονηρέ. ἔνιοι δέ, ὦ ἐπιμελείας ἄξιε καὶ οἷον μεμεληκέναι. R.

179 C. ἀνάλωτοι] ἐντεῦθεν εἰσβάλλει εἰς τοὺς κατὰ τοῦ Ἡρακλείτου ἐλέγχους. εἰ γὰρ πάντα, φησί, κινεῖται συνεχῶς καὶ ἀόριστά ἐστι καὶ ἄστατα, ἡ Πρωταγόρου δόξα ἀνάλωτός ἐστιν. R.

D. διακρούοντα] ἐκ μεταφορᾶς τῶν διακωδωνούντων τὰ κεράμια, εἰ ἀκέραιά εἰσιν. R.

D. ἀκούοντα] ἀπὸ τῆς τῶν χυτρῶν τοῦτο λαμβάνει δοκιμασίας, ὡς καὶ ἔμπροσθεν εἴρηκεν. διακωδωνοῦντες γὰρ τὰ κεράμια τὰ ἀκέραια τῶν μὴ τοιούτων διακρίνομεν. O.

E. Ὁμηρίδας φησὶ τοὺς Ἡρακλειτείους διὰ τὸ τῆς ἀεικινησίας δόγμα, ἐπεὶ καὶ Ὅμηρος Ὠκεανὸν ἀπεφήνατο θεῶν γένεσιν καὶ μητέρα Τηθύν. O.

E. ἔμπειροι] ἀλλ' οὐκ ἐπιστήμονες διὰ τὸ ἄστατον τῶν ἀεὶ κινουμένων. R.

E. τὰ συγγράμματα] τὰ τοῦ Ἡρακλείτου συγγράμματα. ἠγριωμένοι καὶ μεγαλόφρονες· τοιοῦτος γὰρ ὁ Ἡράκλειτος γέγονεν, οὗ καὶ ἀπόφθεγμα φέρεται τοιοῦτον· πολυμαθίη νόον οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην. R S.

180 B. τούτῳ] τῷ στασίμῳ διὰ τὴν ἑαυτῶν θέσιν τὴν πάντα κινεῖσθαι λέγουσαν. R S.

C. πρόβλημα] γεωμετρικῶς δεῖ, φησίν, ἐκθεμένους τὸ πρόβλημα ζητεῖν ἀποδεικτικῶς, πότερον πάντα κινεῖται ἢ οὔ. R.

E. προϊόντες] ἀπὸ μὲν Θεαιτήτου εἰς Ἡράκλειτον, εἶτα εἰς Παρμενίδην καὶ Μέλισσον. R.

181 A. ῥέοντας] πικρὰ ἡ λέξις καὶ σκωπτική. R S.

A. οἱ τοῦ ὅλου στασιῶται] γλυκεῖα ἡ λέξις καὶ ἐγκωμιαστικὴ τῶν ἀμφὶ Παρμενίδην. R.

B. ἀκίνητα κινούντων] παροιμία καθ' ὑπερβολήν, ὅτι μὴ

τικὸν ἄνδρα εἰς ταὐτὸν ἄγει τῷ ὄντως φιλοσόφῳ, ἔτι δὲ καὶ τὸν φυσικόν, ἢ μᾶλλον ὡς μέρη τοῦ φιλοσόφου βούλεται εἶναι τοὺς ἄλλους ἐπιστήμονας. R.

C. εἰς φρέατα] ἐπὶ τῶν ὑλαίων πραγμάτων καὶ εἰδωλικῶν. R.

D. βδάλλοντα] ἀμέλγοντα ἢ θηλάζοντα ἀπὸ τοῦ βδέλλα. R.

E. δοκεῖ ἀκούειν] νομίζει γίγνεσθαι κατὰ κοινοῦ. R.

175 E. θῶπας] ἀπατηλούς. R.

E. τορῶς] τομῶς, ἐντρεχῶς, εὐπετῶς. O.

176 A. ἀναβάλλεσθαι] τῶν γὰρ ἐπαιδεύτων καὶ τὸ ἔνδυμα καὶ τὸ σχῆμα θορυβῶδες. R. ἄλλοι δὲ τὸ ἀναβάλλεσθαι ἐπὶ τῶν κιθαρῶν ἀκούουσι τῆς ᾠδῆς, οἷον τὸ ἄρχεσθαι κιθαρίζειν. καὶ οἶμαι οὐ κακῶς· τό τε γὰρ πρόκρουμα τῆς κιθάρας ἀναβολὴ καλεῖται (Ἀριστοφάνης Εἰρήνῃ· συνελέγοντ' ἀναβολὰς ποτώμεναι), καὶ τὰ τοῦ λόγου ἑξῆς πρὸς ταύτην τείνει τὴν ἔννοιαν. O.

C. βάναυσοι] οἱ ἑδραῖοι τεχνῖται καὶ παρὰ βαύνῳ, ὅ ἐστι καμίνῳ, τὶ ἔργον διατιθέμενοι. οἱ δὲ βάναυσον τὸν ἀπάνθρωπον καὶ ὑπερήφανον. ἄλλοι δὲ βαναύσου χειρὸς τῆς ὑβριστικῆς ἢ τεχνικῆς. δηλοῖ δὲ τοὺς χειροτέχνας καὶ δημιουργούς. R S.

D. γῆς ἄλλως ἄχθη] ἀλλὰ δεῖ ἐπιτιμᾶν αὐτοῖς, φησί, τὸ Ὁμηρικὸν ἐτώσιον ἄχθος. τὸ γὰρ φυσικὸν βάρος καλόν, τὸ δὲ ἄλλως καὶ μάταιον κακόν. R.

177 A. παντάπασιν ὡς δεινοὶ] τοὺς γὰρ τὰ συμφέροντα διδάσκοντας σοφοὺς οἱ δεινοὶ ὡς ἀνόητα φάσκοντας ἐκφαυλίζουσιν, ὡς ὁ τοῦ Ὁμήρου Πάρις·

ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί. R.

B. δοῦναι] διαλεκτικῶς. O.

B. τελευτῶντες] ἐλεγχόμενοι. O.

B. ἐκείνη] ἡ δημώδης. O.

B. ὑπενφέρειν] οἱ δεινοὶ ἐκεῖνοι. O.

C. τὴν φερομένην] τὴν ἐν γενέσει. O.

E. μὴ λεγέτω τὸ ὄνομα] ἀντὶ τοῦ μὴ ὄνομα ψιλὸν μόνον λέγωμεν, οἷον τὸ ὠφέλιμον καὶ βλαβερόν. R.

178 A. ἑκάστῃ] ἐπιρρηματικῶς ἀκουστέον ἀντὶ τοῦ ἑκασταχοῦ. O.

A. μέλλοντα χρόνον] τὸ γὰρ ἁπλῶς μέλλον καθολικώτερον τοῦ ὠφελίμου. R.

αἴσθησις· ἀλλ' ἔλαβε τοῦτο ἀπὸ τοῦ δουρείου ἵππου, ᾧ Τροίαν εἷλον οἱ Ἕλληνες, τοῖς κοίλοις αὐτοῦ κατακρυψάντων ἑαυτοὺς τῶν ἀρίστων. διὸ καὶ πάνυ εὐσήμως τὸ ἐγκάθηνται· οὐδὲ γὰρ τοῦ μηχανήματος ἀλλὰ τῶν ἐγκεκρυμμένων αἱ αἰσθήσεις. O.

E. πάντα τὰ τοιαῦτα λέγει τὰ αἰσθητά· εἰς τὸ σῶμα δέ, εἰς τὰ αἰσθητήρια. R.

185 A. ἀδύνατον εἶναι δι' ἄλλης ταῦτα αἰσθέσθαι] τὴν διάνοιαν καὶ τὴν κοινὴν αἴσθησιν νῦν εἰς ταὐτὸν ἄγει διὰ τὸ πρόχειρον· μετ' ὀλίγον δὲ διαστέλλει. R.

C. ἀμφοτέρω] φωνὴν καὶ χρόαν. R.

C. τό τ' ἐπὶ πᾶσι] τὸ τῶν πέντε αἰσθήσεων γενικῶς. R.

D. οὐσίαν] ἢ τὸν ἐπὶ τούτοις ὁρισμόν. R. ἐν Σοφιστῇ τὸ ὂν μετὰ τοῦ μὴ ὄντος συζυγὲς ἐρεῖ. O.

D. διὰ τίνος ποτέ] νῦν τὸ διανοητικὸν ἐκ τῆς κοινῆς αἰσθήσεως διέκρινεν. R.

D. ἀκολουθεῖς] τῇ τε κοινῇ αἰσθήσει καὶ τῇ διανοίᾳ. R.

186 A. ποτέρων] τῶν μετὰ σώματος ἢ τῶν ἄνευ σώματος. R. ἤτοι ὧν ἡ ψυχὴ δι' ἑαυτῆς ἐπισκοπεῖ ἢ διὰ τῶν τοῦ σώματος δυνάμεων. O.

A. ἐπὶ πάντων] ἀντὶ τοῦ περιεκτικώτερον καὶ γενικώτερόν ἐστιν. R.

B. πρὸς τὰ μέλλοντα] οἱ γὰρ πολλοὶ τὸ ἀγαθὸν ἐν τοῖς πρακτοῖς τίθενται μόνοις· καὶ διὰ τοῦτο εἶπεν οὕτω πρὸς τὰ μέλλοντα. R.

187 E. ψευδῆ φαμὲν] τρία ἐπιχειρήματα κατὰ τῆς ψευδοδοξίας· ἐκτίθεται· εἶτα προβὰς τῷ λόγῳ καὶ ἐπικρίνων λέγει, ὅτι τὸ μὲν πρῶτον καὶ τὸ τρίτον δεῖταί τινος λύσεως, τὸ δὲ δεύτερον ἀποδέχεται, διότι μὴ ὂν ἐλάμβανε τὸ μηδαμῶς ὄν. R. πρῶτον ἐπιχείρημα κατασκευάζον, ὅτι οὐκ ἔστι ψευδὴς δόξα. O.

188 A. μανθάνειν γὰρ] τὸ πρῶτον λῆμμα ἀντιφατικῶς. O.

A. χαίρειν λέγω] ἀντὶ τοῦ ἀφίημι αὐτά, τό τε μανθάνειν καὶ τὴν λήθην· ὁδοὶ γάρ εἰσι μεταξὺ τοῦ τε εἰδέναι καὶ μὴ εἰδέναι. O.

C. οὐκ ἀπὸ τῶν γνώσεων, φησί, καὶ τῶν γινωσκόντων, ἀλλ' ἀπὸ τῶν γνωστῶν. R.

D. μὴ απλοῦν ᾖ] ὁμολογεῖται παρὰ πᾶσι, φησίν, ὅτι ὁ ψευδῆ δοξάζων τὰ μὴ ὄντα δοξάζει. R. δεύτερον ἐπιχείρημα κατασκευάζον, ὅτι οὐκ ἔστι ψευδὴς δόξα. O.

δεῖ ἔδη μηδὲ βωμοὺς κινεῖν ἢ τάφους ἢ ὅρους. ἐμνήσθη ταύτης καὶ ἐν Νόμων ὀγδόῳ. R.

B. ἔτι διασύρει τὸν Ἡρακλείτου χορὸν ὡς ἀσεβῆ· τὰ γὰρ ἱερὰ ἀκίνητα. R.

C. στρέφηται] ὡς ὁ στρόβιλος. R.

E. ἀμφότερον] ἔστι καὶ τρίτον σκέλος τῆς διαιρέσεως τὸ λέγον οὐδὲν ἀμφοτέρως, ὅπερ σὺν τῷ δευτέρῳ ἐλέγχεται. R.

E. ἀμφοτέρως] ἀντὶ τοῦ πάντα κατὰ τὰς δύο κινεῖται κινήσεις. R.

E. οὐδὲν μᾶλλον] τὸ γὰρ μὴ ἀλλοιούμενον, καθ' ὃ οὐκ ἀλλοιοῦται, οὐ κινεῖται ἀλλ' ἵσταται. R.

182 A. ποιότης] ἐκ τούτων δῆλον ὅτι τὸ τῆς ποιότητος ὄνομα Πλάτων ἐστὶν ὁ πρῶτος θεὶς ἐν τοῖς Ἕλλησιν. R.

A. ἀλλόκοτον] ἐναντίον, ἢ ξένον. R.

A. ἀθρόον] γενικῶς. R.

A. κατὰ μέρη] εἰδικῶς. R.

B. ἄλλα] τὰ τῶν Ἡρακλειτείων ἄλλα δοξάσματα. R.

183 A. εἰ πάντα κινεῖται] εἰ γάρ, ὡς φασί, πάντα παντοίως κινεῖται, εἴ τι δ' ἄν τις εἴποι, οὐδ' ἐκεῖνο ἔσται, ἀλλὰ καὶ αὐτὴ αὐτῶν ἡ δόξα κινεῖται καὶ μεταβάλλει. R.

A. οὕτω τ' ἔχειν] ἀντὶ τοῦ συνδραμεῖν τὴν ἀντίφασιν. R.

B. οὐδ' ὅπως] ἀόριστον γὰρ πάντη τὸ οὐδ' ὅπως. R.

B. μάλιστα δ' οὕτως ἄν] ἤγουν ἡ λέγουσα ἀπειραχῶς τὸ οὐδὲ οὕτως. R.

D. τοὺς φάσκοντας] τοὺς περὶ Μέλισσον. R.

D. ἱππεῖς προκαλεῖσθαι εἰς πεδίον, ἐπὶ τῶν τοὺς ἔν τισι βελτίους καὶ ἐπιστημονικωτέρους αὑτῶν εἰς ἔριν προκαλουμένων. Πλάτων Θεαιτήτῳ καὶ Μένανδρος Καταψευδομένῳ. γράφεται δὲ καὶ ἵππον εἰς πεδίον προκαλεῖσθαι, ἐπὶ τῶν εἰς ἃ βούλεταί τις προκαλούντων. R S.

E. ἕνα ὄντα] ἀντί νυ πολλῶν

* λαῶν ἐστὶν * ἀνήρ, ὅντε Ζεὺς κῆρι φιλήσῃ. O.

E. βάθος τι] φαίνεται καὶ Ἀριστοτέλης σεμνύνων τὸν Παρμενίδην. καὶ νῦν φησὶ φοβεῖσθαι ἔξ τινα καὶ διὰ τοῦτο μὴ ἐπιχειρεῖν βασανίζειν τὰ τοῦ Παρμενίδου. R.

184 D. τῷ ἐρωτηματικὸν ἀντὶ τοῦ τίνι. O.

D. οὐχ ὅτι οἱ δούρειοι ἵπποι πολυαίσθητοι, οἷς οὐδεμία

196 D. ἀμφότερά γε] τὸ τὴν ἀντίφασιν συντρέχειν. R.

D. τολμητέον] τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. R.

197 A. τόλμα τοίνυν] διὰ τοὺς ἀντιλογικούς. R.

199 D. τινος] τοῦ ἐπιστητοῦ. O.

200 E. δείξειν αὐτὸ] ἐπὶ τῶν ἐκ τῆς πείρας γινωσκομένων. κατιόντων γάρ τινων εἰς ποταμὸν πρὸς τὸ διαπερᾶσαι, ἤρετό τις τὸν προηγούμενον εἰ βάθος ἔχει τὸ ὕδωρ· ὁ δὲ ἔφη· αὐτὸ δείξει. R.

201 B. τί μήν] καταφατικόν ἐστιν, ἐν ἴσῳ τῷ οἶομαι. R.

204 A. μέρη τὸ ὅλον] ἀντὶ τοῦ τὸ ὅλον οὐδὲν παρὰ τὰ μέρη. O.

209 B. Μυσῶν ἔσχατος, ἐπὶ τῶν εὐτελεστάτων. Μάγνης Ποαστρία· οὐκ ἔστιν οὐδείς, οὐδ' ὁ Μυσῶν ἔσχατος· καὶ Μένανδρος Ἀνδρογύνῳ· Μυσῶν ἔσχατος πολέμιος. R S.

D. ὑπέρου περιτροπὴ ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων πολλάκις καὶ μηδὲν ἀννόντων, ἢ ἐπὶ τῶν ταχέως τι πραττόντων. μέμνηται δὲ αὐτῆς Φιλήμων ἐν Ἥρωσι καὶ ἐνταῦθα Πλάτων. R S.

ΕΙΣ ΤΟΝ ΣΟΦΙΣΤΗΝ.

P. 216 A. ΣΟΦΙΣΤΗΣ] ὅτι σοφιστὴν καλεῖ ὁ Πλάτων καὶ τὸν Ἔρωτα καὶ τὸν Ἀιδην καὶ τὸν Δία, καὶ παγκάλην λέγει εἶναι τὴν σοφιστικὴν τέχνην· ὅθεν ὑπονοοῦμεν ὅτι γλαφυρωτέρου σκοποῦ ἔχεται ὁ διάλογος. ἔστι γὰρ κατὰ τὸν μέγαν Ἰάμβλιχον σκοπὸς νῦν περὶ τοῦ ὑπὸ σελήνην δημιουργοῦ. οὗτος γὰρ καὶ εἰδωλοποιὸς καὶ καθαρτὴς ψυχῶν, ἐναντίων λόγων ἀεὶ χωρίζων, μεταβλητικός, καὶ νέων πλουσίων ἔμμισθος θηρευτής, ψυχὰς ὑποδεχόμενος πλήρεις λόγων ἄνωθεν ἰούσας, καὶ μισθὸν λαμβάνων παρ' αὐτῶν τὴν ζωοποιΐαν τὴν κατὰ λόγον τῶν θνητῶν. οὗτος ἐνδέδεται τῷ μὴ ὄντι, τὰ ἔνυλα δημιουργῶν, καὶ τὸ ὡς ἀληθῶς ψεῦδος ἀσπαζόμενος, τὴν ὕλην· βλέπει δὲ εἰς τὸ ὄντως ὄν. οὗτός ἐστιν ὁ πολυκέφαλος, πολλὰς οὐσίας καὶ ζωὰς προβεβλημένος, δι' ὧν κατασκευάζει τὴν ποικιλίαν τῆς γενέσεως. ὁ δ' αὐτὸς καὶ γόης, ὡς θέλγων τὰς ψυχὰς τοῖς φυσικοῖς λόγοις, ὡς δυσαποσπάστως ἔχειν ἀπὸ τῆς γενέσεως. καὶ γὰρ ὁ ἔρως γόης,

καὶ ἡ φύσις ὑπό τινων μάγος πέπληται διὰ τας συμπαθείας καὶ ἀντιπαθείας τῶν φύσει. νῦν οὖν τὸν παντοδαπὸν σοφιστὴν βούλεται διδάσκειν. καὶ γὰρ καὶ ὁ φιλόσοφος σοφιστης ὡς μιμούμενος τόν τε οὐράνιον δημιουρὸν καὶ τὸν γενεσιουργόν. καὶ ἡ διαιρετικὴ μιμεῖται τὴν ἀπὸ τοῦ ἑνὸς τῶν ὄντων πρόοδον, καὶ ὁ γενεσιουργὸς τὸν οὐράνιον δημιουργόν· διὸ καὶ σοφιστής. καὶ αὐτὸς δὲ ὁ σοφιστὴς ἄνθρωπος ὢν διὰ τὸ τὰ μεγάλα μιμεῖσθαι σοφιστὴς καλεῖται· ὅθεν καὶ τὸν σοφιστὴν πολυκέφαλον εἴρηκεν. ὁ δὲ ξένος εἰς τύπον τοῦ πατρὸς τῶν δημιουργῶν νοείσθω ὑπερουράνιος καὶ ἐξῃρημένος, οἱ δὲ ἀκροαταὶ εἰς τὰς δημιουργικὰς νοήσεις, ὁ μὲν εἰς τὴν τοῦ Διός, ὁ δὲ εἰς τὴν ἀγγελικὴν ὡς Ἑρμαϊκὸς καὶ γεωμετρικός. καὶ ἐπεὶ ἡ δημιουργία ἐκ τοῦ ἀτέλους εἰς τὸ τέλειον, διὰ τοῦτο πρῶτον ὁ ξένος τῷ Θεοδώρῳ συγγίνεται, εἶτα δι' ἐπιστροφῆς τῷ Διΐῳ Σωκράτει. R S.

216 A. Ἐλέα πόλις Ἰταλίας. R. αὕτη ἡ Ἐλέα οὐχ ὥς τινες ὑπέλαβον τῆς Ἰωνίας ἐστὶν ἀλλὰ τῆς Ἰταλίας, εἴ τι δεῖ Στράβωνι πείθεσθαι τῷ γεωγράφῳ· κεῖται δὲ ἐν τῷ ἐχομένῳ κόλπῳ τοῦ Ποσειδωνιάτου κόλπου, ἧς αἱ Οἰνωτρίδες προβέβληνται νῆσοι. O.

A. τὸ μὲν Ὁμηρικὸν ἔχει· καί τε θεοὶ ξείνοισιν ἐοικότες καὶ τὰ ἑξῆς. ὁ δὲ Σωκράτης νῦν, συμφωνῶν ἑαυτῷ ἐν τῇ Πολιτείᾳ, πρᾴτερον ἐπιρραπίζει τὸν τοῦ Ὁμήρου λόγον διὰ τοῦ συνοπαδὸν γινόμενον. τὸ γὰρ μεταμορφοῦσθαι θεὸν ὡς ἀπατηλὸν ἐκβάλλει τῆς ἑαυτοῦ πολιτείας Πλάτων. R S.

220 A. ἄττα] τοῦτο ψιλούμενον μὲν τινά σημαίνει, δασυνόμενον δὲ ἅτινα, ὡς Δημοσθένης δηλοῖ ἐν τῷ τῆς παραπρεσβείας· ὁ δὲ πρεσβεύων Αἰσχίνης οὐτοσὶ ἐλθὼν πῶς μὲν καὶ ἄττα ποτὲ διελέχθη; ἐνίοτε δὲ ἐκ τοῦ περιττοῦ προστίθεται, ὡς ἐν τῷ Χείρωνι Φερεκράτης· τοῖς δέκα ταλάντοις ἄλλα προστιθείς, ἔφη ἄττα πεντήκοντα· οὐδὲν γὰρ σημαίνει ἐνταῦθα τὸ ἄττα. Ἀριστοφάνης Νεφέλαις·

ὅστις σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων.

Ἐρατοσθένης δὲ χρονικῶς αὐτό φησι παραλαμβάνεσθαι·

πυθοῦ χελιδὼν πηνίκ' ἄττα φαίνεται,

καὶ πάλιν

ὁπηνίκ' ἄτθ' ὑμεῖς κοπιᾶτ' ὀρχούμενοι. R S.

A. πτηνὸν φῦλον] γρ. φαῦλον. R.

23 E. ἀμφηγνόησά σου] γρ. ἀμφηγνόησας σύ. R.

241 D. τυφλῷ] καὶ τυφλῷ δῆλον, ἐπὶ τῶν ἄγαν σαφεστάτων. μέμνηται ταύτης καὶ Μένανδρος Δεισιδαίμονι καὶ Ῥαπιζομένῃ, καὶ Ἀριστοφάνης Πλούτῳ. R S.

243 B. ἦν] ἀντὶ τοῦ ἦμην, Ἀττικῶς. R.

D. κατὰ πόδα] παρ' αὐτά, κατὰ τάξιν. R.

247 A. τί μήν;] κατάφασιν δηλοῖ ἀντὶ τοῦ πῶς γὰρ οὔ; διὰ τί γὰρ οὔ; R.

252 C. παροιμία ἐπὶ τῶν ἑαυτοῖς τινὰ κακὰ μαντευομένων, λεγομένη ἐξ Εὐρυκλέους ἐγγαστριμύθου μάντεως, ἀφ' οὗ καὶ γένος τι μάντεων Εὐρυκλεῖς ἔλεγον. ἐγγαστρίμυθος δέ ἐστιν ὁ ἐν γαστρὶ μαντευόμενος. τοῦτον τὸν ἐγγαστρίμαντιν νῦν τινὲς Πύθωνά φασι, Σοφοκλῆς δὲ στερνόμαντιν. καὶ Ἀριστοφάνης ἐν Σφηξί·

μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν.

Φιλόχορος δὲ ἐν τρίτῳ καὶ γυναῖκας ἐγγαστριμύθους φησίν. Ἄλλως. ἐπὶ τῶν ἑαυτοῖς κακὰ μαντευομένων. Εὐρυκλῆς γὰρ ἐδόκει δαίμονά τινα ἐν τῇ γαστρὶ ἔχειν, τὸν ἐγκελευόμενον αὐτῷ περὶ τῶν μελλόντων λέγειν· ὅθεν καὶ ἐγγαστρίμυθος ἐκαλεῖτο. οὗτος δὲ προειπών τινί ποτε τὰ μὴ καθ' ἡδονὴν κακῶς ἀπήλλαξεν. ἄτοπον δὲ τὸν μὴ ἑδραῖον ἀλλ' ἀεὶ ἐκτοπίζοντα λέγει. R S.

254 E. τινὲ αὐτοῦ] γρ. τιν' ἑαυτοῦ. R.

259 D. ἀμηγέπη] ὁπωσδήποτε, καθ' ὁτιοῦν. λέγεται δὲ καὶ ἀμωσγέπως, καὶ ἀμόθεν, καὶ ἀμουγέπου, καὶ ἀμοιγέποι, καὶ ἀμόσεποι. R S.

ΕΙΣ ΤΟΝ ΠΟΛΙΤΙΚΟΝ.

P. 257 A. Εἶεν] ἄγε δή. ἢ συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα· ἢ ἀναφώνημα ὅμοιον τοῦ ἀλλά. R.

D. τὸν μὲν] τὸν Θεαίτητον. R.

D. τοῦ δ'] τοῦ νέου Σωκράτους. R.

260 C. ὅτι αὐτοπώλης πᾶς ὁ τὸ ἴδιον ἐργόχειρον ἢ οἶνον ἢ σῖτον ἐξ οἰκείου γεωργίου πιπράσκων, ὁ δὲ παρὰ τούτων ἀγοράζων ἤτοι ὠνούμενος καὶ πιπράσκων ἄλλοις κάπηλος λέγεται. O.

261 D. ὅτι ἄλλο βοηλάτης καὶ ἄλλο βουφορβός, καὶ ἄλλο ἱπποπόμος καὶ ἄλλο ἱπποτρόφος. O.

265 B. νεαλὴς ὁ πρόσφατος. κυρίως δὲ ἐπὶ τῶν ἁλσὶ παττομένων ἡ λέξις. ἔστι δὲ καὶ ὁ νεωστὶ ἁλωκὼς ἰχθύς, καὶ δὴ καὶ ὁ νεωστὶ ἁλισθείς. R S.

D. τὸ κενούμενον αὐτῷ πειρώμεθα] γρ. καὶ τὸ μόριον αὐτῷ πειρώμεθα. R.

266 D. ἃ μή μ' ἔφθης] γρ. ἵνα μὴ μεμφθῇ. R.

277 D. δεδέηκεν] γρ. καὶ δεδήλωκεν. R.

280 C. πιλητικὴν] τὴν ἐξ ἐρίων πίλησιν. R.

283 C. πάσης ὑπερβολῆς] γρ. καὶ πάσης ὑπεροχῆς R.

E. ὡς οὐκ] γρ. καὶ οὐχ ὡς. R.

E. ἆρ' οὖν] γρ. ἆρ' ἄν. R.

285 A. κομψὸς τωθαστής, γελοιαστής, σκωπτικός, ἢ καλός, ἢ μέτριος. R.

D. ἦ που] ἴσως, σχεδόν. τὸ δὲ ἦ πού γε, πολλῷ πλέον. R.

290 D. γέ τινος] γρ. γείτονος. R.

294 C. ξυμβαίνῃ] γρ. καὶ ξυμβὰν ᾖ. R.

298 D. κύρβεσι] τρίγωνοι πίνακες οἱ κύρβεις, ἐν οἷς οἱ περὶ τῶν ἱερῶν νόμοι ἐγγεγραμμένοι ἦσαν καὶ πολιτικοί· ἄξονες δὲ τετράγωνοι, ἐν οἷς οἱ περὶ τῶν ἰδιωτικῶν. τινὲς δὲ ἀδιάφορα ταῦτα φασίν. R S.

307 C. βλακικὰ] εὐήθη, μωρά, ἀνόητα, ἀπὸ ἰχθύος καλουμένου βλακός, ὁμοίου σιλούρῳ, ἀχρήστου τοσοῦτον ὡς μηδὲ κυνὶ βρώσιμον εἶναι. οἱ δὲ ἀπὸ τοῦ ἐν Κύμῃ χωρίου, τῆς Βλακείας. R S.

310 E. εὐήτριον] ἱμάτιον εὐϋφές. ἤτριον δὲ ἔνδυμα ὑμενῶδες. R.

ΕΙΣ ΤΟΝ ΠΑΡΜΕΝΙΔΗΝ.

P. 126 A. Κλαζομεναὶ πόλις Ἰωνίας. R.

E. Μελίτη δῆμος Κεκροπίδος. R.

127 A. ἡ τῶν Παναθηναίων ἑορτὴ καὶ ὁ ἀγὼν ἐτέθη μὲν

πρῶτον ὑπὸ Ἐριχθονίου τοῦ Ἡφαίστου καὶ τῆς Ἀθήνης, ὕστερον δὲ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄστυ. ἄγεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς Ἴσθμια οὐ πρεσβύτερος, καὶ ἀγένειος * καὶ * ἀνήρ· τῷ δὲ νικῶντι διδόασιν ἔλαιον ἐν ἀμφορεῦσι, καὶ στεφανοῦσιν αὐτὸν ἐλαίᾳ πλεκτῇ. R.

B. παιδικὰ] καὶ ἐπὶ θηλειῶν καὶ ἐπὶ ἀρρένων ἐρωμένων ἡ λέξις εὕρηται, κατὰ μεταφορὰν δὲ τὴν ἀπὸ τούτων καὶ ἐπὶ πάντων τῶν σπουδαζομένων πάνυ· ὡς καὶ ἐν Φαίδρῳ λέγεται· ἐσπούδακας, ὦ Φαῖδρε, ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην, ἐρεσχηλῶν σε. ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων. R S.

C. Κεραμεικῷ] τόπος Ἀθήνησιν, ἔνθα καὶ οἱ πόρνοι προεστήκεισαν. εἰσὶ δὲ δύο Κεραμεικοί, ὁ μὲν ἔξω τείχους, ὁ δὲ ἐντός. R S.

128 C. Λάκαιναι σκύλακες] ὡς ἡ συνήθεια Λακωνικάς φησιν. O.

130 B. ἄγασθαι] θαυμάζεσθαι. R.

D. ἔθραξε] ἐτάραξεν, ἠνώχλησεν, ἔνυξεν. R. εἰς θυμὸν ἐκίνησεν, τὰς φρένας διέσεισεν. O.

131 B. ἡδέως] ἀντὶ τοῦ κατὰ φύσιν νῦν. σημαίνει δὲ ἔστιν ὅτε καὶ τὸ εὐήθως καὶ τὸ γελοίως. R.

133 B. ἀπίθανος] ἀντὶ τοῦ δύσκολος καὶ μὴ ῥᾳδίως πειθόμενος. R.

136 D. τὸ δεινότερον οὐχ ὡς ἰσχυρότερον ἄπορον, ὡς εἰώθασι δεινοὺς λέγειν τοὺς κρατοῦντας τῇ δυνάμει τῶν λόγων, ἀλλ' ὡς μείζονος δείματος καὶ εὐλαβείας τοῖς νοῦν ἔχουσιν ἄξιον. R.

D. ἄλλως τε καὶ] μάλιστα. R.

E. τὸ τοῦ μελοποιοῦ Ἰβύκου ῥητόν· Ἔρως αὖτέ με κυανέοισιν ὑπὸ βλεφάροις τακερὰ ὄμμασι δερκόμενος, κηλήμασι παντοδαποῖς εἰς ἄπειρα δίκτυα Κύπριδος βάλλει· ἦ μὰν τρομέω νιν ἐπερχόμενον, ὥστε φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γήραϊ ἀέκων σὺν ὄχεσφι θοοῖς εἰς ἅμιλλαν ἔβα. R S.

137 A. διανεῦσαι] περαιωθῆναι. R.

140 D. τὸ αὐτὸ εἶναι] γρ. αὐτῷ αὐτὸ εἶναι. R.

162 A. ἀνήσει] ἀφήσει, ἢ ἀναπείσει. R.

261 D. ὅτι ἄλλο βοηλάτης καὶ ἄλλο βουφορβός, καὶ ἄλλο ἱπποκόμος καὶ ἄλλο ἱπποτρόφος. O.

265 B. νεαλὴς ὁ πρόσφατος. κυρίως δὲ ἐπὶ τῶν ἁλσὶ παττομένων ἡ λέξις. ἔστι δὲ καὶ ὁ νεωστὶ ἁλωκὼς ἰχθύς, καὶ δὴ καὶ ὁ νεωστὶ ἁλισθείς. R S.

D. τὸ κινούμενον αὐτῷ πειρώμεθα] γρ. καὶ τὸ μόριον αὐτῷ πειρώμεθα. R.

266 D. ἃ μή μ' ἔφθης] γρ. ἵνα μὴ μεμφθῇ. R.

277 D. δεδέηκεν] γρ. καὶ δεδήλωκεν. R.

280 C. πιλητικὴν] τὴν ἐξ ἐρίων πίλησιν. R.

283 C. πάσης ὑπερβολῆς] γρ. καὶ πάσης ὑπεροχῆς R.

E. ὡς οὐκ] γρ. καὶ οὐχ ὡς. R.

E. ἆρ' οὖν] γρ. ἆρ' ἄν. R.

285 A. κομψὸς τωθαστής, γελοιαστής, σκωπτικός, ἢ καλός, ἢ μέτριος. R.

D. ἦ που] ἴσως, σχεδόν. τὸ δὲ ἦ πού γε, πολλῷ πλέον. R.

290 D. γέ τινος] γρ. γείτονος. R.

294 C. ξυμβαίνῃ] γρ. καὶ ξυμβὰν ᾖ. R.

298 D. κύρβεσι] τρίγωνοι πίνακες οἱ κύρβεις, ἐν οἷς οἱ περὶ τῶν ἱερῶν νόμοι ἐγγεγραμμένοι ἦσαν καὶ πολιτικοί· ἄξονες δὲ τετράγωνοι, ἐν οἷς οἱ περὶ τῶν ἰδιωτικῶν. τινὲς δὲ ἀδιάφορα ταῦτα φασίν. R S.

307 C. βλακικὰ] εὐήθη, μωρά, ἀνόητα, ἀπὸ ἰχθύος καλουμένου βλακός, ὁμοίου σιλούρῳ, ἀχρήστου τοσοῦτον ὡς μηδὲ κυνὶ βρώσιμον εἶναι. οἱ δὲ ἀπὸ τοῦ ἐν Κύμῃ χωρίου, τῆς Βλακείας. R S.

310 E. εὐήτριον] ἱμάτιον εὐϋφές. ἤτριον δὲ ἔνδυμα ὑμενῶδες. R.

ΕΙΣ ΤΟΝ ΠΑΡΜΕΝΙΔΗΝ.

P. 126 A. Κλαζομεναὶ πόλις Ἰωνίας. R.

E. Μελίτη δῆμος Κεκροπίδος. R.

127 A. ἡ τῶν Παναθηναίων ἑορτὴ καὶ ὁ ἀγὼν ἐτέθη μὲν

ρῶτον ὑπὸ Ἐριχθονίου τοῦ Ἡφαίστου καὶ τῆς Ἀθήνης, ὕστερον δὲ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄστυ. ἄγεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς Ἴσθμια οὐ μεσβύτερος, καὶ ἀγένειος * καὶ * ἀνήρ· τῷ δὲ νικῶντι διδόασιν αιον ἐν ἀμφορεῦσι, καὶ στεφανοῦσιν αὐτὸν ἐλαίᾳ πλεκτῇ. R.

B. παιδικὰ] καὶ ἐπὶ θηλειῶν καὶ ἐπὶ ἀρρένων ἐρωμένων λέξις εὕρηται, κατὰ μεταφορὰν δὲ τὴν ἀπὸ τούτων καὶ ἐπὶ ἄντων τῶν σπουδαζομένων πάνυ· ὡς καὶ ἐν Φαίδρῳ λέγεται· ποῦδακας, ὦ Φαῖδρε, ὅτι σου τῶν παιδικῶν ἐπειλαβόμην, ἐρεηλῶν σε. ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων. R S.

C. Κεραμεικῷ] τόπος Ἀθήνησιν, ἔνθα καὶ οἱ πόρνοι προπτήκεισαν. εἰσὶ δὲ δύο Κεραμεικοί, ὁ μὲν ἔξω τείχους, ὁ δὲ τός. R S.

128 C. Λάκαιναι σκύλακες] ἃς ἡ συνήθεια Λακωνικὰς ησιν. O.

130 B. ἄγασθαι] θαυμάζεσθαι. R.

D. ἔθραξε] ἐτάραξεν, ἠνώχλησεν, ἔνυξεν. R. εἰς θυμὸν ίνησεν, τὰς φρένας διέσεισεν. O.

131 B. ἡδέως] ἀντὶ τοῦ κατὰ φύσιν νῦν. σημαίνει δὲ ἔστιν ε καὶ τὸ εὐήθως καὶ τὸ γελοίως. R.

133 B. ἀπίθανος] ἀντὶ τοῦ δύσκολος καὶ μὴ ῥᾳδίως πειθόνος. R.

136 D. τὸ δεινότερον οὐχ ὡς ἰσχυρότερον ἄπορον, ὡς εἰώτσι δεινοὺς λέγειν τοὺς κρατοῦντας τῇ δυνάμει τῶν λόγων, λ' ὡς μείζονος δείματος καὶ εὐλαβείας τοῖς νοῦν ἔχουσιν ιον. R.

D. ἄλλως τε καὶ] μάλιστα. R.

E. τὸ τοῦ μελοποιοῦ Ἰβύκου ῥητόν· Ἔρως αὖτέ με κυαοισιν ὑπὸ βλεφάροις τακερὰ ὄμμασι δερκόμενος, κηλήμασι ιντοδαποῖς εἰς ἄπειρα δίκτυα Κύπριδος βάλλει· ἦ μὰν τρομέω ν ἐπερχόμενον, ὥστε φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γήραϊ κων σὺν ὄχεσφι θοοῖς εἰς ἅμιλλαν ἔβα. R S.

137 A. διανεῦσαι] περαιωθῆναι. R.

140 D. τὸ αὐτὸ εἶναι] γρ. αὐτῷ αὐτὸ εἶναι. R.

162 A. ἀνήσει] ἀφήσει, ἢ ἀναπείσει. R.

ΕΙΣ ΤΟΝ ΦΙΛΗΒΟΝ.

P. 13 C. πειρασόμεθα] πειρώμεθα. R.

14 A. ὥσπερ μῦθος ἀπολόμενος] ὁ μῦθος ἀπώλετο· τούτῳ χρῶνται τῷ λόγῳ οἱ λέγοντές τι πρὸς τοὺς μὴ προσέχοντας. μέμνηται δὲ αὐτῆς καὶ Κρατῖνος ἐν Δραπέτισι καὶ Κράτης Λαμίᾳ. R S.

15 C. μὴ κινεῖν κακὸν εὖ κείμενον, ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀγνοίας πράγματα ἐγειρόντων. ταύτης μέμνηται καὶ Ὑπερείδης ὁ ῥήτωρ ἐν τῷ πρὸς Ἀριστογείτονα· καὶ οὐδὲ ἐκ τῆς παροιμίας δύνασαι μανθάνειν τὸ μὴ κινεῖν κακὸν εὖ κείμενον. μετῆκται δὲ ἐκ τοῦ ἐν Ῥόδῳ Κολοσσοῦ, ὃς πεσὼν πολλὰς οἰκίας κατέσεισε· βασιλέως δὲ βουλομένου αὐτὸν ἀναστῆσαι, φοβούμενοι οἱ Ῥόδιοι μὴ πάλιν καταπέσῃ, τὸ προκείμενον ἐπεφθέγξαντο. R S.

26 B. πέρας ἔχοντ'] γρ. πέρας ἐχόντων. R.

30 D. γενούστης ὁ οἷον γεννήτης, ἢ συγγενής, ἢ ἔγγονος, ὧν τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον, ἢ ὁ οἷον γεννητικός. γεννῆται δὲ οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες, ἀλλ' οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φρατρίας. οὗτοι δέ εἰσι, καθάπερ οἱ δημόται καὶ φράτορες, νόμῳ τινὶ ἔχοντες κοινωνίαν. τὸ δὲ γένος ἔχει ἄνδρας λ'. αἱ δὲ φρατρίαι ἐκαλοῦντο τριττύς, ὅτι τεσσάρων φυλῶν οὐσῶν εἰς τρία ἑκάστην διεῖλον μέρη, τὰς μὲν φυλὰς δ' κατὰ τὰς ὥρας τοῦ ἐνιαυτοῦ, τὰς δὲ φρατρίας καὶ τριττύας δυοκαίδεκα, οἷον μῆνας, τὰ δὲ γένη λ' ἐν ἑκάστῃ φρατρίᾳ, καθάπερ ἡμέρας τξ· δωδεκάκις γὰρ λ' τξ'. R S.

35 C. δεικνύει] γρ. μηνύει. R.

44 C. βούλεσθαι] γρ. πείθεσθαι. R.

45 D. μηδὲν ἄγαν] ἑνὸς τῶν ἑπτὰ σοφῶν ἀπόφθεγμα, ὅμοιον τῷ μηδὲν ὑπὲρ τὸ μέτρον. R.

48 B. πέλας] τοῦτο καὶ τοπικῶς τάσσεται καὶ χρονικῶς καὶ ἐπὶ συγγενείας. Θουκυδίδης γοῦν ἐπὶ Κερκυραίων εἴρηκε πέλας, διὰ τὸ σύνεγγυς εἶναι ἀλλήλοις τὰ ναυτικά. R.

C. γνῶθι σαυτόν, ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων. λέγουσι δὲ οἱ μὲν Χίλωνος εἶναι τὸ ἀπόφθεγμα, οἱ δὲ Λάβυος εὐνούχου τινὸς νεωκόρου· οἱ δέ φασιν ὅτι Χίλωνος ἐρομένου τὸν θεὸν τί εἴη ἄριστον, εἶπεν ἡ Πυθία τὸ γνῶθι σαυτόν. R S.

56 B. *πρρσαγώγιον τεκτονικόν ἐστιν ὄργανον, ὃ προσάγοντες εὐθύνουσι τὰ στρεβλὰ ξύλα.* R.

E. *τευταζόντων*] *πραγματευομένων, ἐπὶ πολὺ διατριβόντων ἐν τῷ αὐτῷ, φροντιζόντων, ἢ ἐπιστρεφῶς τι πραττόντων, ἢ ἐνεργούντων, ἢ σπουδαζόντων· ἅπαντα γὰρ δυνατὸν ἐπὶ τοῦ παρόντος ἐκδέξασθαι. σημαίνει δὲ καὶ τὸ ἡσυχαζόντων, καὶ ἔτι τὸ σκευωρουμένων, ἢ στραγγευομένων, ὅ ἐστι σκολιῶς διακειμένων, πρὸς τούτοις καὶ ταυτολογούντων ἢ φλυαρούντων· πολύσημος γὰρ ἡ λέξις ἥδε.* R S.

57 D. *ἀκοὴν*] *γρ. καὶ ὁλκήν.* R.

60 D. *οἳ περισπωμένως ἑαυτῷ, ὡς ἐνταῦθα· ὀξυτόνως δέ, οἵ τινες. σημαίνει δὲ καὶ τὸ ὅποι.* R.

61 D. *δόξα σημαίνει τὸν παρὰ τῶν πολλῶν ἔπαινον. τάττεται δὲ καὶ ἀντὶ τῆς δοκήσεως, τουτέστιν ἀντὶ τῆς κατ' ἀρετὴν ὑπολήψεως. διαφέρει δὲ εὐκλείας, ἐπεὶ ἐκείνη ἐστὶ παρὰ τῶν ἀγαθῶν, δόξα δὲ ὁ παρὰ τῶν πολλῶν ἔπαινος.* R S.

62 D. *μισγαγκεία ἡ μῖξις, ὅπου ποταμοὶ ἢ ῥύακες συμβάλλουσιν.* R.

66 B. *γενεᾶς*] *γρ. καὶ γενναίας.* R.

66 D. *τὸ τρίτον τῷ σωτῆρι*] *ἐκ μεταφορᾶς εἴρηται τοῦ ἐν ταῖς συνουσίαις ἔθους· Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι. ἐκίρνων γὰρ ἐν αὐταῖς κρατῆρες τρεῖς. καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος, ὡς ἐνταῦθά τε καὶ δὴ καὶ ἐν Πολιτείᾳ. ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ καὶ Ἀριστοφάνης Ταγηνισταῖς.* R S.

ΕΙΣ ΤΟ ΣΥΜΠΟΣΙΟΝ.

P. 172 A. *Φάληρον δῆμος Αἰαντίδος, ἐξ οὗ Ἀπολλόδωρος.* R.

A. *Ἀγάθων τραγῳδίας ποιητὴς εἰς μαλακίαν σκωπτόμενος Ἀριστοφάνει τῷ Γηρυτάδῃ. ἦν δὲ Τισαμενοῦ τοῦ Ἀθηναίου υἱός, παιδικὰ γεγονὼς Παυσανίου τοῦ τραγικοῦ, μεθ' οὗ πρὸς*

Ἀρχέλαον τὸν βασιλέα ᾤχετο, ὡς Μαρσύας ὁ νεώτερος. ἐμιμεῖτο δὲ τὴν κομψότητα τῆς λέξεως Γοργίου τοῦ ῥήτορος. O.

173 A. ἦ] Ἀττικὸν τοῦτο, ἀπὸ τοῦ ἔα συνηρημένον. σημαίνει δὲ τὸ ἔα τὸ ὑπῆρχον. ἔστι γὰρ ἀπὸ τοῦ ἦν κατὰ διάλυσιν Ἰωνικήν. Ὅμηρος·

εἰ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ἱκάνει. R.

B. Κυδαθήναιον δῆμος ἐν ἄστει τῆς Πανδιονίδος φυλῆς. καλεῖται δὲ καὶ Κύδαθον. ἐξ οὗ Ἀριστόδημος. R.

174 A. βλαύτας] ὑποδήματα. οἱ δὲ βλαυτία, σανδάλια ἰσχνά. R.

B. αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασι. ταύτην δὲ λέγουσιν εἰρῆσθαι ἐπὶ Ἡρακλεῖ, ὃς ὅτε εἱστιᾶντο τῷ Κήϋκι ξένοι ἐπέστη. Κρατῖνος δὲ ἐν Πυλαίᾳ μεταλλάξας αὐτὴν γράφει οὕτως·

οἶδ' αὖθ' ἡμεῖς, ὡς ὁ παλαιὸς
λόγος, αὐτομάτους ἀγαθοὺς ἰέναι
κομψῶν ἐπὶ δαῖτα θεατῶν.

καὶ Εὔπολις ἐν Χρυσῷ γένει. R S.

176 B. ῥᾷστα] τὸ ἥδιστα ἐνταῦθα σημαίνει. R.

D. Μυρρινοῦς δῆμος Αἰγηΐδος, ἀφ' ἧς ὁ Φαῖδρος. R.

177 A. παιᾶνας] ἢ τοὺς λεγομένους παιᾶνας ὕμνους εἰς Ἀπόλλωνα ἐπὶ καταπαύσει λοιμοῦ· ἢ Παιήονα τὸν τῶν θεῶν ἰατρόν· ἢ παιῶνας, ὡς νῦν, ᾠδὰς ἐπὶ εὐτυχίᾳ καὶ νίκῃ, διὰ τοῦ ω, ἐξ οὗ καὶ παιωνίζειν. R.

179 B. ἡ περὶ τῆς Ἀλκήστιδος ὑπόθεσις τοιαύτη τίς ἐστιν. Ἀπόλλων ἠτήσατο παρὰ τῶν Μοιρῶν, ὅπως ὁ Ἄδμητος τελευτᾷν μέλλων παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἐθέλοντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις ἡ γυνὴ τοῦ Ἀδμήτου ἐπέδωκεν ἑαυτήν, οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς γενομένης Ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν Θάνατον ἀποστῆναι ποιήσας ἐσθῆτι καλύπτει τὴν γυναῖκα, τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα αὐτὴν τηρεῖν· εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου ἔδειξεν ἣν ἐπένθει. Ἄλλως. Ἄλκηστις ἡ Πελίου θυγάτηρ, ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν

τῇ Θετταλίᾳ διασώζεται, βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου τὴν γυναῖκα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία. R S.

183 B. Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος, ἐπὶ τῶν δι' ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων. μέμνηται δὲ ταύτης καὶ Ἡσίοδος, λέγων

ἐκ τοῦδ' ὅρκον ἔθηκεν ἀμείνονα ἀνθρώποισι
νοσφιδίων ἔργων περὶ Κύπριδος,

καὶ Πλάτων ἐν Συμποσίῳ. R.

184 A. βασανίζειν] δοκιμάζειν, διακρίνειν. μετενήνεκται δὲ ἀπὸ τῆς Λυδῆς λίθου, δι' ἧς ὁ χρυσὸς βασανίζεται, τουτέστι δοκιμάζεται. R.

185 C. ἐκ τοῦ παραχρῆμα] ἐκ τοῦ αὐτομάτου, ἐκ τοῦ προχείρου. R.

C. τὸ τοῦ λυγμοῦ σύμπτωμα ἐπιγίνεται τῷ στομάχῳ διὰ πλήρωσιν ἢ κένωσιν ἢ ψῦξιν, ἐνίοτε δὲ καὶ διὰ δῆξιν δριμέων ὑγρῶν καὶ φαρμακωδῶν ταῖς ποιότησιν· οὓς ἐὰν ἐμῶσιν, αὐτίκα παύονται λύζοντες. πολλοὶ καὶ τὸ διὰ τριῶν πεπερῶν πιόντες ἢ αὐτὸ τὸ πέπερι, ἐὰν εὐθέως ἐπιπίωσιν οἶνον, αὐτίκα λύζουσι. καὶ τροφῆς δὲ διαφθαρείσης εἰς δακνώδη ποιότητα λύζουσιν ἔνιοι. καὶ ῥιγώσαντες δὲ τὸ στόμα τῆς κοιλίας ἔνιοι λύζουσι, καὶ μάλιστά γε τοῖς παισὶ συμβαίνει λύζειν συνεχῶς ἐπὶ τῇ τοῦ στομάχου ψύξει καὶ τῇ τῆς τροφῆς διαφθορᾷ. γίνεται δὲ λυγμὸς καὶ ἐν πυρετοῖς καὶ μάλιστα φλεγμαίνοντος στομάχου ἢ ἑτέρου σπλάγχνου. ψύξεως μὲν οὖν προηγησαμένης τοῦ λυγμοῦ ἐπιτίθει τῷ στομάχῳ ἐν ἠρίῳ ἔλαιον, ἐν ᾧ ἑψῶμεν κύμινον, πήγανον, ἀψίνθιον· δίδου δὲ ποτὸν πήγανον μετ' οἴνου ἢ σεύτλου ἡψημένου μελικράτῳ. καλὸν δὲ καὶ τὸ σκιλλητικὸν ὄξος καταρροφούμενον. τὸ δὲ καστόρειον καὶ τοῖς διὰ ψῦξιν λύζουσι τελείοις δίδου, καὶ τοῖς ἐπὶ πλήθει χυμῶν τοῦτο πάσχουσι, δι' ὀξυκράτου κεράτια ιή'. ὅταν δὲ ὑπὸ πληρώσεως λυγμὸς γένηται, ἔμετος τούτοις ἴαμα καὶ τῶν ἄκρων τρῖψις καὶ πνεύματος κατοχή. R.

D. ἀνακογχυλιάσαι τὸ κλύσαι τὴν φάρυγγα, ὃ λέγομεν ἀναγαργαρίσαι. R.

E. οὐκ ἂν φθάνοις] ἐπὶ τῶν εἰς πέρας ἀγόντων ἀξίωσίν τινος, μήπω πέρας ἐπιθέντος αὐτῇ. R.

186 A. ὡς ἔπος εἰπεῖν] ὡς φαίνεται, ὡς ἐν λόγῳ εἰπεῖν.

τοῦτο σχηματίζεται παρὰ τοῖς παλαιοῖς καὶ ὡς εἰπεῖν ἔπος, καὶ ὡς ἔπος εἰπεῖν, καὶ ὡς ἔπος φάναι, καὶ ὡς φάναι ἔπος. ἔτι δὲ καὶ διὰ μιᾶς λέξεως ἐκφωνεῖται, οἷον ὡς φάναι καὶ ὡς εἰπεῖν· σημαίνει δὲ τὸ αὐτό. οἱ δέ φασιν ἀντὶ τοῦ ὡς φαίνεται πεῖσθαι, ἢ ἀντὶ τοῦ ὡς ἐν λόγῳ εἰπεῖν. R.

B. πρεσβεύωμεν] προτιμῶμεν, μεγαλύνωμεν. R.

189 A. γαργαλισμῶν οἷον] σημ. διὰ σύνταξιν. O.

190 A. κυβιστὴρ ὁ ὀρχηστής, καὶ κυβιστᾷν τὸ ὀρχεῖσθαι. R.

D. ἀσκωλιάζειν κυρίως μὲν τὸ ἐπὶ τοὺς ἀσκοὺς ἅλλεσθαι ἀληλιμμένους, ἐφ' οὓς ἐπήδων γελοίου ἕνεκα· τινὲς δὲ καὶ ἐπὶ τῶν συμπεφυκόσι τοῖς σκέλεσιν ἁλλομένων. ἤδη δὲ τιθέασι καὶ ἐπὶ τοῦ ἅλλεσθαι τὸν ἕτερον τῶν ποδῶν ἀνέχοντα, ἢ ὡς νῦν, ἐπὶ σκέλους ἑνὸς βαίνοντα. ἔστι δὲ καὶ τὸ χωλαίνειν. R S.

191 D. ἰχθύδιόν τι τῶν πλατέων ἡ ψῆττα, ἐκ δύο δερμάτων συγκεῖσθαι τὴν ἰδέαν δοκοῦν, ὅ τινες σανδάλιον καλοῦσιν, οἱ δὲ βούγλωσσον, κακῶς δέ· ἄλλα γάρ ἐστι ταῦτα. R.

193 A. λίσπαι] αἱ λεῖαι καὶ ἐκπετριμμέναι καὶ ἄπυγοι λίαν, καὶ οἱ διαπεπρισμένοι ἀστράγαλοι. οἵ τε Ἀθηναῖοι λίσποι καλοῦνται τῷ ἐκ τῆς ἐν τῷ κωπηλατεῖν συνεχοῦς ἐφέδρας αὐτοὺς ἀπογλούτους εἶναι. R.

194 B. ὀκρίβαντα] τὸ λογεῖον ἐφ' οὗ οἱ τραγῳδοὶ ἠγωνίζοντο. τινὲς δὲ κιλλίβαντα τρισκελῆ φασίν, ἐφ' οὗ ἵστανται οἱ ὑποκριταὶ καὶ τὰ ἐκ μετεώρου λέγουσιν. R S.

195 B. ὅμοιον ὁμοίῳ] ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον, ἐπὶ τῶν τοὺς τρόπους παραπλησίων καὶ ἀλλήλοις ἀεὶ συνδιαγόντων, ἐξ Ὁμήρου λαβοῦσα τὴν ἀρχήν. μέμνηται δὲ αὐτῆς Πλάτων καὶ ἐν Λύσιδι καὶ ἐν Συμποσίῳ, καὶ Μένανδρος Σικυωνίῳ. R S.

D. πίλναται] προσπελάζει, προσεγγίζει. R.

197 C. ὕπνον δ' ἐνὶ πήδει] γρ. καὶ ὕπνον νηκηδεῖ. R.

198 A. ἀδεὲς δέος, ἐπὶ τῶν τὰ μὴ ἄξια φόβου δεδιότων. ὅμοιον τούτῳ καὶ τὸ φοφοδεὴς ἄνθρωπος. R.

202 A. ὅτι μεταξὺ ἐπιστήμης καὶ ἀμαθείας ἐστὶν ἡ ὀρθὴ δόξα, κἂν λόγον μὴ ἔχῃ. O.

203 D. ἴτης] ἵστωρ, ἐπιστήμων, ὡς ἐνταῦθα. λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ ἰταμοῦ καὶ θρασέος. R.

205 A. τὸ τέλος οἱ Ἀττικοὶ τάττουσι καὶ ἀντὶ τάξεως καὶ

τάγματος καὶ δαπάνης, ἔνθεν ὁ πολυτελὴς καὶ εὐτελὴς καὶ ὁ συντελής, καὶ τὸ εἰς γάμους ἀνάλωμα, ὅθεν τὰ προτέλεια. λέγεται καὶ ἀντὶ ἀρχῆς. Θουκυδίδης· προσελθὼν δὲ τοῖς τέλεσιν, ὡς εἰ ἔφη τοῖς ἐν ἀρχῇ οὖσι. σημαίνει καὶ τὸ ἀποτέλεσμα τῶν πραγμάτων. καὶ τὸ εἰσπραττόμενον ὑπὸ τῶν τελωνῶν χρέος τέλος καλεῖται. R S.

C. ἓν μόνον] γρ. καὶ ἓν μόριον. R.

206 D. συσπειρᾶται] συστρέφεται. R.

D. ἀνείλεται] ἀνειλεῖται. R.

D. σπαργῶντι] ὁρμῶντι, ὀργῶντι, ταραττομένῳ, ἢ ἀνθοῦντι. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν μασθῶν πεπληρωμένων γάλακτος. R.

208 D. Κόδρος ἦν ἀπὸ Δευκαλίωνος, ὥς φησιν Ἑλλάνικος. γίνεται γὰρ Δευκαλίωνος μὲν καὶ Πύρρας, ὡς δὲ τινές, Διὸς καὶ Πύρρας, Ἕλλην· Ἕλληνος δὲ καὶ Ὀρσηΐδος Ξοῦθος, Αἴολος, Δῶρος, Ξενοπάτρα· Αἰόλου δὲ καὶ Ἰφιδος τῆς Πηνειοῦ Σαλμωνεύς, Σαλμωνέως δὲ καὶ Ἀλκιδίκης Τυρώ, ἧς καὶ Ποσειδῶνος Νηλεύς, Νηλέως δὲ καὶ Χλωρίδος Περικλύμενος, Περικλυμένου δὲ καὶ Πεισιδίκης Βῶρος, Βώρου δὲ καὶ Λυσιδίκης Πένθιλος, Πενθίλου δὲ καὶ Ἀγχιρρόης Ἀνδρόπομπος, Ἀνδροπόμπου δὲ καὶ Ἡνιόχης τῆς Ἁρμενίου τοῦ Ζευξίππου τοῦ Εὐμήλου τοῦ Ἀδμήτου Μέλανθος. οὗτος Ἡρακλειδῶν ἐπιόντων ἐκ Μεσσήνης εἰς Ἀθήνας ὑπεχώρησε, καὶ αὐτῷ γίνεται παῖς Κόδρος. χρόνῳ δὲ ὕστερον γενομένης τοῖς Βοιωτοῖς ἀμφισβητήσεως πρὸς Ἀθηναίους, ὡς μὲν τινές, περὶ Οἰνόης καὶ Πανάκτου, ὡς δὲ τινές, περὶ Μελαινῶν, καὶ τῶν Βοιωτῶν ἀξιούντων τοὺς βασιλέας προκινδυνεῦσαι περὶ τῆς χώρας εἰς μονομαχίαν καταστάντας, Ξάνθιος μὲν ὁ τῶν Βοιωτῶν βασιλεὺς ὑποδέχεται, Θυμοίτης δὲ ὁ τῶν Ἀθηναίων ἀρνεῖται, λέγων τῷ βουλομένῳ μονομαχεῖν τῆς ἀρχῆς παραχωρεῖν. Μέλανθος δὲ ὑποστὰς τὸν κίνδυνον ἐπὶ τῷ βασιλεῦσαι τῶν Ἀθηναίων αὐτὸν καὶ τοὺς ἐξ αὐτοῦ, ὁπλισάμενος προῆει, καὶ πλησίον τοῦ Ξανθίου γενόμενος εἶπεν· ἀδικεῖς, ὦ Ξάνθιε, σὺν ἑτέρῳ ἐπ' ἐμὲ ἥκων καὶ οὐ μόνος, ὡς ὡμολόγηπο. Ξάνθιος δὲ ταῦτα ἀκούσας μετεστράφη, θεάσασθαι βουλόμενος εἴ τις αὐτῷ ἑπόμενος εἴη· καὶ μεταστραφέντα βαλὼν αὐτὸν ἀπέκτεινε, καὶ βασιλεὺς τῆς Ἀττικῆς ἐγένετο. ὅθεν τοῖς Ἀθηναίοις κρατήσασι τῆς χώρας ἔδοξεν ἑορτὴν ἄγειν, ἣν πάλαι μὲν Ἀπατηνόρια, ὥστε-

βὴν λαχοῦσα· ἧς υἱὸς ἐγένετο Εὔανδρος ὁ τὸ ἐν Ῥώμῃ τοῦ Πανὸς ἱερὸν τὸ καλούμενον Λούπερκον κτίσας· περὶ ἧς ἔγραψεν Ἐρατοσθένης. Πέμπτη ἡ Ἐρυθραία, ἥτις καὶ τὰ κατὰ τὸν Τρωϊκὸν πόλεμον συνενεχθέντα προηγόρευσε· περὶ ἧς Ἀπολλόδωρος ὁ Ἐρυθραῖος διεξέρχεται. Ἕκτη ἡ Σαμία, ἧς τὸ κύριον ὄνομα Φυτὼ φασιν. Ἑβδόμη ἡ Κυμαία μὲν γένος, ὄνομα δὲ Ἀμάλθεια· οἱ δὲ Ἐρωφίλην φασί· παρά τισι δὲ κλῆσιν ἠνέγκατο Ταράξανδρα· Βιργίλιος δὲ ὁ Ῥωμαῖος ποιητὴς Δηϊφόβην αὐτὴν ὀνομάζει. Ὀγδόη ἡ Ἑλλησποντία, ἥτις ἐν κώμῃ Μαρμυσσῷ τὴν γένεσιν ἔσχε περί τινα πολίχνην Γεργετίωνα· ὑπὸ τὴν ἐνορίαν δὲ αὕτη τῆς Τροίας ἐτύγχανεν. ἦν ἐν καιρῷ Σόλωνος καὶ Κύρου, ὡς ἔγραψεν Ἡρακλείδης ὁ Ποντικός. Ἐννάτη ἡ Φρυγία. Ἐπὶ πᾶσι δεκάτη ἡ Τιβουρτία μὲν γένος, ὄνομα δὲ Ἀλβουναία. ταύτας δέ φασι τῶν φρενῶν ἐξισταμένας τὰ μέλλοντα χρησμῳδεῖν· τῶν ὑπολαμβανόντων δὲ γραφῇ τοὺς χρησμοὺς οὐκ ἐχόντων σοφίαν τὰ χρησμῳδούμενα γράφειν ἀπταίστως, ἄλλως τε καὶ τῷ τάχει τῆς φορᾶς τῶν λόγων οὐκ ἐχόντων καθυπηρετουμένας τὰς χεῖρας, συμβῆναι πολλοὺς τῶν χρησμῶν εἰς χωλιάμβους διαπεσεῖν καὶ μηκέτι τυχεῖν διορθώσεως, ἅτε δὴ τῶν χρησμῳδῶν γυναίων ἐν ἐκστάσει μὲν καθεστώτων, ἐπειδὴ τὴν ὕπαρξιν προηγόρευον τῶν μελλόντων, πεπαυμένων δὲ τοῦ χρησμολογεῖν μηδαμῶς αἴσθησιν ἐχόντων μήτε ὧν ἔλεγον μήτε τί ἂν βούλοιντο τὰ κεχρησμῳδημένα. πᾶσαι μὲν οὖν μαντικαί, ἡ δὲ Ἐρυθραία, ἡ καὶ Ἐριφύλη καλουμένη, τῶν ἄλλων ἐξαίρετος· καὶ γὰρ γεννηθεῖσα εὐθὺς προσεῖπεν ἐξ ὀνόματος ἕκαστον καὶ ἔμμετρα ἐφθέγξατο, καὶ εἰς βραχὺν χρόνον τέλειον εἶδος ἀνθρώπου ἔλαβε. R S.

C. κυρίως τῷ ἀπειροκάλως ἐχρήσατο· αὐτοῦ γὰρ καλῶς ἔχοντος τοῦ ὀνόματος τῆς μανίας, ἀπειρίᾳ τοῦ καλοῦ ἠγνόησαν τὸ καλὸν τοῦ ὀνόματος. R.

248 A. ὑποβρύχιαι] ὑπὸ τὸ ὕδωρ, ὅ ἐστι τὴν γένεσιν, ποντισθεῖσαι. R.

C. θεσμός τε Ἀδραστείας] ἡ Ἀδράστεια μία ἐστὶ θεὸς τῶν μενουσῶν ἐν τῇ νυκτί, γενομένη ἐκ Μελίσσου καὶ Ἀμαλθείας· ὁ μὲν οὖν Μέλισσος κατὰ τὴν πρόνοιαν εἴρηται, ἡ δὲ Ἀμάλθεια κατὰ τὸ ἀκλινὲς καὶ μὴ μαλθάσσεσθαι. ἐκ τῆς οὖν προνοίας τῆς ἀκλινοῦς γέγονεν ἡ Ἀδράστεια, ἥτις ἀδελφή ἐστι τῆς Εὐδης·

Εὐδη δ' εὐειδὴς καὶ ὁμόσπορος Ἀδράστεια·

ἡ πάντων ὁμοῦ τῶν νόμων τὰ μέτρα ἐν ἑαυτῇ συλλαβοῦσα καὶ συνέχουσα αὕτη ἐστὶν ἡ Ἀδράστεια κεκλημένη διὰ τὸ τὰ ὑπ' αὐτῆς τεθέντα καὶ νομοθετηθέντα ἀναπόδραστα εἶναι· διὸ καὶ πρὸ τοῦ ἄντρου τῆς Νυκτὸς ᾐεῖν λέγεται·

παλάμῃσι δὲ χάλκεα φόπτρα
δῶκεν Ἀδραστείῃ.

ἐν τοῖς προθύροις γὰρ τοῦ ἄντρου τῆς Νυκτὸς ᾐεῖν λέγεται τοῖς κυμβάλοις, ἵνα πάντα [τὰ] αὐτῆς τῶν νόμων κατήκοα γένηται. ἔνδον μὲν γὰρ ἐν τῷ αὐτῷ τῆς Νυκτὸς κάθηται ὁ Φάνης, ἐν μέσῳ δὲ ἡ Νὺξ μαντεύουσα τοῖς θεοῖς· ἡ δὲ Ἀδράστεια ἐν τοῖς προθύροις, πᾶσι νομοθετοῦσα τοὺς θείους θεσμούς. διαφέρει δὲ τῆς ἐκεῖ Δίκης, ὡς νομοθετικὴ δικαστικῆς· καὶ ἡ μὲν ἐκεῖ Δίκη λέγεται εἶναι τοῦ Νόμου τοῦ ἐκεῖ καὶ Εὐσεβείας, αὐτὴ δὲ ἡ Ἀδράστεια ἐκ Μελίσσου καὶ Ἀμαλθείας *οὖσα περιεπτική ἐστι καὶ τοῦ νόμου*. S.

254 E. ὕσπληξ ἀφετήριον, πληγή, ὥσπερ νῦν, πάσσαλος, κεράτινος κρίκος, πάντα θηλυκῶς. R.

E. ἐρείσας] ἑλκύσας. R.

256 E. ἐννέα χιλιάδας] ἐννέα χιλιάδας εἶπεν, ἐπειδὴ ἐν τῇ πρώτῃ γενέσει ἡ περίοδος ἡ ἀπὸ τοῦ νοητοῦ ἐπὶ τὰ τῇδε οὐδεμίαν κάκωσιν ἔχει. R.

257 B. ἐπαμφοτερίζῃ] Λυσίᾳ καὶ ἐμοὶ Σωκράτει ἔπηται. R.

C. λογογράφον] λογογράφους γὰρ ἐκάλουν οἱ παλαιοὶ τοὺς ἐπὶ μισθῷ λόγους γράφοντας καὶ πιπράσκοντας αὐτοὺς εἰς δικαστήρια, ῥήτορας δὲ τοὺς δι' ἑαυτῶν λέγοντας. R S.

D. γλυκὺς ἀγκὼν] ἐπὶ τῶν κατειρωνευομένων. τόπος δέ ἐστιν ἐν τῇ Μεμφίδι Ἀγκὼν προσαγορευόμενος ὑπὸ τῶν πλεόντων κατ' ἀντίφρασιν ἴσως, διὰ τὸ δυσχερές. ἔνιοι δὲ τάττουσιν αὐτὴν ἐπὶ τῶν εὐθυμούντων, παρ' ὅσον τὸν ἀγκῶνα οἱ εὐφραινόμενοι τιθέασιν. R S.

258 B. ἐμμένῃ] τουτέστι δεχθῇ καὶ μὴ ἐκβληθῇ ὁ λόγος. R.

B. Λυκοῦργος Λακεδαιμονίων, Σόλων δὲ Ἀθηναίων νομοθέται, Δαρεῖος δὲ τρίτος ἀπὸ Κύρου Περσῶν βασιλεύς. R.

E. ἀνδραποδώδεις εἰσὶν ἡδοναὶ αἱ ἄλλων παθῶν ἀπεχόμεναι, ὑπ' ἄλλων δὲ κρατούμεναι. R.

E. πνίγει] θάλπει, καύματι. R.

ρον δὲ Ἀπατούρια ἐκάλουν ὡς ἀπὸ τῆς γενομένης ἀπάτης. Μελάνθου δὲ Κόδρος γενόμενος ἐκδέχεται τὴν βασιλείαν· ὃς καὶ ὑπὲρ τῆς πατρίδος ἀπέθανε τρόπῳ τοιῷδε. πολέμου τοῖς Δωριεῦσιν ὄντος πρὸς Ἀθηναίους, ἔχρησεν ὁ Θεὸς τοῖς Δωριεῦσιν αἱρήσειν τὰς Ἀθήνας, εἰ Κόδρον τὸν βασιλέα μὴ φονεύσωσι. γνοὺς δὲ τοῦτο ὁ Κόδρος, στείλας ἑαυτὸν εὐτελεῖ σκευῇ ὡς ξυλιστὴν καὶ δρέπανον λαβών, ἐπὶ τὸν χάρακα τῶν πολεμίων προῆει. δύο δὲ αὐτῷ ἀπαντησάντων πολεμίων τὸν μὲν ἕνα πατάξας κατέβαλεν, ὑπὸ δὲ τοῦ ἑτέρου ἀγνοηθεὶς ὅστις ἦν, πληγεὶς ἀπέθανε, καταλιπὼν τὴν ἀρχὴν Μέδοντι τῷ πρεσβυτέρῳ τῶν παίδων. ὁ δὲ νεώτερος αὐτοῦ παῖς Νηλεὺς τῆς δωδεκαπόλεως Ἰωνίας κτιστὴς ἐγένετο. ἀφ' οὗ φασὶν Ἀθηναίοις τὴν τῶν Κοδριδῶν εὐγένειαν εἰς παροιμίαν περιστῆναι· εὐγενέστερος Κόδρου ἐπὶ τῶν πάνυ εὐγενῶν. R S.

211 B. τὸ παιδεραστεῖν ἐπὶ τοῦ παιδείας ἐρᾶν ἀεὶ κεῖται παρὰ Πλάτωνι. O.

213 B. τουτὶ τί ἦν] γρ. καὶ τοῦτ' εἶπειν. R.

E. ψυκτὴρ σκεῦος ἔνθα διανίζουσι τὰ ποτήρια, ἢ ποτηρίου εἶδος, ὡς Εὐριπίδης Τηλέφῳ. R S.

214 A. τρίτον μέρος ἡ κοτύλη τῆς χοίνικος. R S.

215 A. Σιληνοὶ Διονύσου χορευταί, παρὰ τὸ σιλλαίνειν, ὅ ἐστι σκώπτειν, λεγόμενοι, παρὰ τοὺς πότους. R.

B. Σάτυροι Διονύσου ὀπαδοὶ καὶ οὗτοι, οἳ διὰ τὸ ἐν ὄρεσιν οἰκεῖν ἀλουτοῦντες, τράγων σκέλη καὶ τρίχας νομιζόμενοι ἔχειν παραδέδονται, καὶ ταύτῃ καλεῖσθαι ἀπὸ τοῦ σεσηρέναι τῷ οἴνῳ, 'τουτέστι κεχηνέναι· φίλοινοι γάρ εἰσι. Μαρσύας δὲ αὐλητής, Ὀλύμπου υἱός, ὃς τοὺς αὐλοὺς Ἀθηνᾶς ῥιψάσης διὰ τὸ ἐνασχημονεῖν αὐτοῖς ἀνελόμενος ἤρισεν Ἀπόλλωνι περὶ μουσικῆς, καὶ ἡττήθη, καὶ ποινὴν δέδωκε τὸ δέρμα δαρείς· ἀφ' οὗπερ αἵματος ἔρρευσε ποταμὸς ὁ ἐξ αὐτοῦ ὕστερον Μαρσύας κληθείς. R.

D. κομιδῇ] κυρίως μὲν τὸ ἐπιμελῶς, ὅθεν καὶ ὀρεοκόμος καὶ γεροντοκόμος. ἰσοδυναμεῖ δὲ καὶ τῷ σφόδρα καὶ τελέως, κομιδῇ σμικρά-σφόδρα σμικρά. R.

E. κορυβαντιώντων] ἐνθουσιώντων, ἢ τινα ὄρχησιν ἐμμανῆ ὀρχουμένων. ἀπὸ τῶν Κορυβάντων, οἳ καὶ τροφεῖς καὶ φύλακες καὶ διδάσκαλοι τοῦ Διὸς εἶναι μυθολογοῦνται. τινὲς δὲ [illegible]ς αὐτοὺς τοῖς Κούρησιν εἶναι φασίν. εἶναι δὲ καὶ τῆς Ῥέας

ὀπαδούς, ἀπὸ τῶν τοῦ Διὸς δακρύων γεγενημένους· ὧν ἀριθμὸν οἱ μὲν θ', οἱ δὲ ι' λέγουσιν. R.

E. εἰρωνευόμενος] ὑποκρινόμενος, χλευάζων. R.

217 A. ἕρμαιον] τὸ ἀπροσδόκητον κέρδος ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν· καὶ γὰρ ἐν ταῖς ὁδοῖς ἔθος ἦν ἱδρῦσθαι τὸν Ἑρμῆν, παρ' ὃ καὶ ἐνόδιος λέγεται. S O.

C. ἤνυτον] ἤνυον, ἐτέλουν. R.

E. οἶνος καὶ ἀλήθεια, ἐπὶ τῶν ἐν μέθῃ τὴν ἀλήθειαν λεγόντων. ἔστι δὲ ᾄσματος Ἀλκαίου ἀρχή

οἶνος, ὦ φίλε παῖ, καὶ ἀλήθεια.

καὶ Θεόκριτος. τινὲς δέ φασιν ὅτι πρὶν οἶνον εὑρεθῆναι ὕδωρ κατὰ τῶν ἱερῶν ἔσπενδον, καθάπερ νῦν τὰ νηφάλια, οἴνου δὲ φανέντος οὕτω θαυμάσαι τοὺς ἀνθρώπους καὶ θείαν ἡγήσασθαι τὴν φύσιν, ὡς καὶ τὰς συνθήκας παρὰ τὸν οἶνον γινομένας νομίσαι δεῖν εἶναι κυρίας, καὶ μὴ τολμᾶν παραβαίνειν, ἀλλὰ κατὰ πάντας τρόπους ἀφαιρεῖν τὸ ψεῦδος ἀπὸ τῶν παρὰ τὸν οἶνον συνθηκῶν. ὁμοία δὲ ταύτης καὶ αὕτη· τὸ γὰρ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος ἐπὶ τῇ γλώσσῃ τοῦ μεθύοντος. R S.

218 A. ὅτι καρδίαν τὴν ψυχὴν λέγει. O.

B. ἐντεῦθεν παρῴδησε Καλλίμαχος ἐν ὕμνῳ Δήμητρος καλάθου τὸ θύρας δ' ἐπίθεσθε βέβηλοι. O.

219 B. τρίβων ἐστὶ στολή τις ἔχουσα σημεῖα ὡς γραμμάτια. τριβώνιον δὲ ἱμάτιον παλαιὸν καὶ τετριμμένον. R.

C. καταδεδαρθηκὼς] καθυπνωκώς. R.

E. Ποτίδαιαν] Ποτίδαια πόλις Θρᾴκης ἐν Μακεδονίᾳ, κτίσμα Κορινθίων. R.

220 B. πῖλος ἱμάτιον ἐξ ἐρίου πιλήσεως γινόμενον, εἰς ὑετῶν καὶ χειμώνων ἄμυναν. ἀρνακίδες δὲ ἀρνῶν κώδια. R.

D. χαμεύνια] ταπεινὰ κλινίδια. R.

221 A. Δήλιον χωρίον τῆς Βοιωτίας. R.

C. προτροπάδην] προθύμως, ἀμεταστρεπτί, μετὰ προτροπῆς, ἢ εἰς τοὔμπροσθεν. R.

E. κανθηλίους] τοὺς βραδεῖς νοῆσαι ἢ ἀφυεῖς, ἀπὸ κάνθωνος, ὅς ἐστιν ὄνος, εἰρημένοι, ὃς πάλιν ἀπὸ τῶν κανθηλίων, τῶν ἐπιτιθεμένων αὐτῷ ἐπικάμπτων ξύλων, τουτέστι σαγμάτων, ὀνομάζεται οὕτως. R.

Ε. βυρσοδέψας] τοὺς τὰς βύρσας ἐργαζομένους καὶ μαλάττοντας. R.

222 Β. ὥσπερ νήπιον παθόντα γνῶναι] ῥεχθὲν δέ τε νήπιος ἔγνω, ἐπὶ τῶν μετὰ τὸ παθεῖν συνιέντων τὸ ἁμάρτημα. ἐπὶ τὸ αὐτὸ ἑτέρα παροιμία· ὁ ἁλιεὺς πληγεὶς νοῦν φύσει. φασὶ γὰρ ἁλιέα ἀγκιστρεύοντα, ἐπειδὰν σπάσῃ τῷ λίνῳ τὸν ἰχθύν, τῇ χειρὶ προσαγαγόντα κατέχειν, ἵνα μὴ φύγῃ· τοῦτο δὲ συνήθως ποιοῦντα ὑπὸ σκορπίου πληγῆναι· καὶ εἶπε, πληγεὶς νοῦν φύσεις, καὶ μηκέτι προσάγειν ἐξ ἐκείνου τὴν χεῖρα. κέχρηται τῇ παροιμίᾳ Σοφοκλῆς ἐν Ἀμφιαράῳ Σατυρικῷ, λέγων ἔτ' αὖ .. ὥσπερ ἁλιεὺς πληγεὶς .. ενων διδάσκαλος. ἔστι καὶ τρίτη ὁμοία· ἐὰν μὴ πάθῃς, οὐ μὴ μάθῃς. ἐλέχθη δὲ ἐπὶ Τίμωνος τοῦ μισανθρώπου, μηκέτι προσιεμένου τοὺς κόλακας. R S.

ΕΙΣ ΤΟΝ ΦΑΙΔΡΟΝ.

P. 227 A. Φησὶν Ὀλυμπιόδωρος ἐν τῷ εἰς τὸν πρῶτον Ἀλκιβιάδην ὑπομνήματι, ὡς πρῶτος ὁ Φαῖδρος διάλογος τῷ Πλάτωνι γέγραπται. R.

A. ὁ Λυσίας οὗτος ῥήτωρ ἦν. R.

A. Ἀκουμενῷ] ἰατρὸς οὗτος ἦν. R.

A. τῷ δὲ σῷ καὶ ἐμῷ ἑταίρῳ] τὸν Ἀκουμενὸν καὶ Σωκράτους καὶ ἑαυτοῦ καλεῖ ἑταῖρον ὁ Φαῖδρος, τοῦ μὲν Σωκράτους, ὅτι ἰατροὶ ἄμφω· ὁ μὲν γὰρ ὁ Σωκράτης περὶ ψυχήν, τοῦτο ὁ Ἀκουμενὸς περὶ σῶμα· τοῦ δὲ Φαίδρου, ὅτι ἀμφότεροι περὶ τὸ φαινόμενον ἐπτόηνται. καὶ γὰρ ὁ Φαῖδρος περὶ τὸ φαινόμενον κάλλος τὸ ἐν τοῖς λόγοις ἐπτόηται, καὶ Ἀκουμενὸς ἰατρός ἐστι τοῦ φαινομένου, τουτέστι τοῦ σώματος. S.

A. ὅτι δρόμοι τόποι τινὲς ἦσαν, ὅπου ἔτρεχον οἱ νέοι. ἐκείνων οὖν τῶν ἐν τοῖς δρόμοις γυμνασίων ἀκοπώτεροι οἱ περίπατοι, ὡς κατὰ σχολὴν καὶ κατὰ βραχὺ γυμνάζοντες καὶ τὰς ἀναπαύλας αὐτοῦ πλησίον ἔχοντες· ὅτε γάρ τις βούλεται, δύναται καθέζεσθαι. R S.

Β. Μορυχίᾳ] τῇ ἀπὸ Μορύχου. Μόρυχος δὲ γάστρις τις

ἄνθρωπος, ὃν καὶ ἡ κωμῳδία ὡς γαστρίμαργον διαβάλλει. ἐν τῇ τοῦ τοιούτου οὖν οἰκίᾳ τὸν ἀπόλαστον Λυσίαν προσμένειν εἰκός. R.

B. τῶν λόγων εἱστία] Ἀττικὴ ἡ σύνταξις .... μέρους λέγειν. Ἀττικοὶ γοῦν καὶ ἔφαγον τοῦ ἄρτου φασίν, οὐ τὸν ἄρτον, καὶ ἔπιον τοῦ οἴνου, ἀλλ' οὐ τὸν οἶνον. οὕτως οὖν καὶ ἐνταῦθα εἱστία ὑμᾶς τῶν λόγων. τὸ κοινὸν εἱστία ὑμᾶς τοῖς λόγοις. ὅσοι δὲ λείπειν φασὶ τὴν διὰ πρόθεσιν, ἵν' ᾖ εἱστία ὑμᾶς διὰ τῶν λόγων, οὐ κατὰ σκοποῦ βάλλουσιν. O.

B. ἀσχολία ἡ περὶ τὰ ἀνθρώπινα πράγματα διατριβὴ καὶ τὸν θνητὸν βίον περιολκή. σχολὴ γὰρ ἡ ἀπόθεσις τούτων καὶ ἀνθολκὴ ἐπὶ τὸ νοερώτερον καὶ καθαρώτερον. διὸ καὶ σχολαστικὸς λέγεται κατὰ τὴν εἰς ἑαυτὸν στροφὴν ἢ ἀπόθεσιν τῶν ἀνθρωπίνων, ὡς καὶ Ἀριστοτέλης φησί. R.

C. τὸ πειρώμενον παθητικῶς ἀκουστέον, ἀντὶ τοῦ πειραζόμενον παρά τινος, τουτέστι προσπαιζόμενον καὶ προσβαλλόμενον. τὸ δὲ κεκόμψευται, οτι πάντα τὰ ἔνυλα κομψὰ καὶ ἁπατηλά. R.

C. τὸ χαριστέον ἐστὶν ἢ τὸ διδόναι τί τινι χωρὶς ἀντιδόσεως, ἢ τὸ ἐν λόγοις τινὶ ὑποκλίνεσθαι, ἢ ὡς νῦν, τὸ πρὸς ἀφροδίσιον ἑαυτὸν συνουσίαν ἐπιδιδόναι τινί. R.

D. ὅτι Ἡρόδικος Σηλυμβριανὸς ἰατρὸς ἦν καὶ τὰ γυμνάσια ἔξω τείχους ἐποιεῖτο, ἀρχόμενος ἀπό τινος διαστήματος οὐ μακροῦ ἀλλὰ συμμέτρου, ἄχρι τοῦ τείχους, καὶ ἀναστρέφων. R S.

E. κατὰ σχολὴν] ἐπ' αὐτὸ τοῦτο, ἢ ἐν εὐκαιρίᾳ. R.

228 A. οὐδέτερα] τὸ Σωκράτη καὶ Φαῖδρον ἀγνοεῖν καὶ ἑαυτοῦ ἐπιλελῆσθαι. R.

A. ἐκεῖνος] κατ' ἀποστροφὴν πρὸς Φαῖδρον ὁ λόγος, ὡς δῆθεν μὴ ἐκείσε παρόντος αὐτοῦ. R.

B. συγκορυβαντιῶντα] συνενθουσιῶντα. R.

C. τάχα πάντως] .. ταχέως οὐ .. καὶ εἰκαστικῶς διὰ τοῦ τάχα, καὶ βεβαιωτικῶς διὰ τοῦ πάντως. O.

C. ἀμωδγήπως] ὁπωσδήποτε, ἐν γέ τινι, καθ' ὁντιναοῦν τρόπον. R.

D. ω φιλότης] ἀντὶ τοῦ ὦ φίλε, ἀπὸ τῆς διαθέσεως τὸ διακείμενον καλῶν. R.

229 B. Ἀγραίας Ἀρτέμιδος ἱερὸν ἵδρυσαν Ἀθηναῖοι διὰ τὸ

ἔφορον εἶναι παντὸς τοῦ ἀγρίου τὴν θεὸν καὶ πᾶν τὸ ἄγριον καὶ ἀνήμερον καταστέλλειν. R S.

D. Ἀρείου πάγου] δικαστήριον Ἀθήνησιν ἐν ἀκροπόλει οὕτω καλούμενον, πάγος μὲν ὅτι ἐν τόπῳ ὑψηλῷ τοῦτο, Ἄρειος δὲ παρ' ὅσον οἱ φόνοι ἐκεῖσε ἐκρίνοντο, ὁ δὲ Ἄρης τούτων ἔφορος ἦν. ἢ ὅτι τὸ δόρυ ἔπηξεν ἐκεῖσε, ὁπότε δίκην ἔλαχε πρὸς Ποσειδῶνα, τὸν τούτου υἱὸν Ἁλιρρόθιον ἀνελών, ὃς Ἀλκίππην ἐβιάσατο τὴν Ἄρεος αὐτοῦ καὶ Ἀγραύλου τῆς Κέκροπος θυγατέρα. R S.

E. γράμμα] ἐπίγραμμα τὸ γνῶθι σαυτόν, ἐπὶ τοῦ προπυλαίου τοῦ ἐν Δελφοῖς ἱεροῦ γεγραμμένον. Δελφοὶ δὲ πόλις ἐπὶ τῷ Παρνασῷ πρὸς τῇ Φωκίδι. R.

230 A. Τυφὼν Γῆς καὶ Ταρτάρου υἱός, γεννηθεὶς ἐν Σικελίᾳ, εἶδος ἔχων συμμιγὲς ἀνδρὸς καὶ θηρίων. τεθυμμένον δὲ οἱονεὶ ὑπὸ πυρὸς ἐκπεκαυμένον ἢ βεβλαμμένον. R.

B. ἄγνος φυτόν τι θαμνῶδες, ἥ ἐστιν ἡ λύγος. R.

B. Ἀχελῷος ποταμὸς Αἰτωλίας. R.

E. ἀξιῶ δὲ μὴ διὰ τοῦτο ἀτυχῆσαι] πρῶτον μὲν λέγει, ὡς μεταμέλει τοῖς ἐρασθεῖσιν ὧν εὖ ἐποίησαν τὸν ἐρώμενον, ἐπειδὰν παύσωνται τῆς ἐπιθυμίας· δεύτερον ὅτι τοὺς πόνους ὑπολογίζονται, οὓς ἔσχον ἐν τῷ ἐρᾶν καὶ ὅτι παρημέλησαν τῶν οἰκείων, καὶ διὰ τοῦτο ἡγοῦνται τοῖς ἐρωμένοις ἀποδεδωκέναι τὴν ἀξίαν· τρίτον ὅτι λέγοντες οὓς ἐρῶσι φιλεῖν ὑπὲρ πάντας, δῆλον ὅτι τοὺς πρὸ τοῦ γενομένους ἐρωμένους κακῶς διαθήσουσιν αὐτοὺς διὰ τοὺς ὕστερον· τέταρτον ὅτι ὁμολογοῦσιν καὶ αὐτοὶ νοσεῖν καὶ μὴ σωφρονεῖν· πέμπτον ὅτι εἰ τοὺς ἐπιτηδειοτέρους πρὸς φιλίαν δεῖ αἱρεῖσθαι, ἐκ τῶν μὴ ἐρώντων εὐμαρεστέρα ἡ ἐκλογὴ πλειόνων ὄντων, χαλεπωτέρα δὲ ἐκ τῶν ἐρώντων, ὀλιγότεροι γάρ· ἔκτον τὴν αἰσχύνην δεδιότας χρὴ φυλάττεσθαι τοὺς ἐρῶντας· ἀλαζονεύονται γὰρ πρὸς τοὺς ἄλλους δεικνύντες, ὅτι οὐ μάτην ἐπόνησαν· ἕβδομον ὅτι καὶ προστάττουσι τὰ τοιαῦτα, ὥστε εἰς ὑποψίαν ἔξωθεν ἀφικέσθαι, ὅτι γεγένηται αὐτοῖς ἢ μέλλει πληρωθήσεσθαι ἡ ἐπιθυμία· ὄγδοον ὅτι τῶν πρὸς τοὺς ἄλλους ἀποτρέπουσι συνηθειῶν, δεδοικότες μὴ παρευδοκιμηθῶσιν· ἔννατον ὅτι οἱ μὴ τὸν τρόπον γνόντες, ἀλλὰ τοῦ σώματος ἐπιθυμήσαντες ἀντιποιοῦνται τῶν παιδικῶν, διὸ εὐχερεῖς εἰς μεταβολήν· δέκατον ὅτι καὶ ἐπαινοῦσι καὶ ψέγουσι παρὰ τὸ

προσῆκον, τὸ μὲν κακῶς κρίνοντες διὰ τὴν νόσον, τὸ δὲ δεδιότες μὴ ἀπέχθωνται. εἶτα ἀνθυποφοράς τινας ποιεῖται, ὧν μία μέν ἐστιν, ὅτι φιλία βέβαιος *οὐ δύναται* ἄνευ ἔρωτος συστῆναι· λύει δὲ αὐτὴν διὰ τοῦ καὶ πρὸς πατέρας καὶ ἀδελφοὺς καὶ ἡλικιώτας γίνεσθαι βεβαίαν τὴν χωρὶς ἔρωτος. δευτέρα δὲ αὕτη, ὅτι τοῖς δεομένοις μᾶλλον δεῖ παρέχειν ἢ τοῖς μή· ἐνίσταται δὲ ἐνταῦθα, ὅτι οὕτως ἂν τοῖς αἰτοῦσι τροφὰς καὶ τὰς ἑστιάσεις παρέχοιμεν, καὶ οὐ τοῖς ἀξίοις. τρίτον εἰ δεῖ κοινῶς πᾶσι τοῖς μὴ ἐρῶσι χαρίζεσθαι· τοῦτο δέ φησι καὶ οἱ ἐρασταὶ οὐκ ἀξιώσουσιν, ὥστε πᾶσι τοῖς ἐρῶσι παρέχειν. ἐπὶ πᾶσι κεφάλαιον ἔθηκεν, ὅτι τοὺς ἐρῶντας καὶ οἱ οἰκεῖοι νουθετοῦσιν ὡς κακοῦ ὄντος ἐπιτηδεύματος, τοὺς δὲ μὴ ἐρῶντας οὐδεὶς αἰτιᾶται. ταῦτα μὲν τὰ λεχθέντα αἰτιᾶται ὁ *Πλάτων*. O.

231 E. εἰ τοίνυν τὸν νόμον τὸν καθεστηκότα δέδοικας] εἰ τοίνυν τὸν νόμον λέγει τοιοῦτον, ὡς νενομισμένου αἰσχροῦ τοῦ χαρίζεσθαι, τοῦτο δὲ πρῶτον μὲν παρ' ἱστοριαν ἐστίν, ἔτι δὲ καὶ ἐναντίωμα ἔχει. εἰ γὰρ αἰσχρόν ἐστι τὸ χαρίζεσθαι κατὰ τὸν νόμον, οὐδενὶ χαριστέον, οὔτε τῷ ἐρῶντι οὔτε τῷ μὴ ἐρῶντι· τὸ γὰρ αἰσχρὸν πρὸς οὐδένα ποιητέον οὐδὲ λεκτέον. ὅτι δὲ παρ' ἱστοριαν, ἐκ τῶνδε μαθεῖν ἔστι. καὶ γὰρ παρ' Ἀθηναίοις ἐφεῖτο ἐρᾶν, καὶ τοῦ Ἔρωτος βωμοὶ καὶ ἀγάλματα ἦσαν καὶ Ἀντέρωτος, ὡς καὶ ἐπιγράμματά γε ἐπὶ τῶν ἀγαλμάτων ἐγέγραπτο ἐπαινούντων τὸ ἐρᾶν. καὶ ὁ δρόμος γε ὁ μακρὸς τοῖς Παναθηναίοις ἀπὸ τοῦ βωμοῦ τοῦ Ἔρωτος ἐγένετο· ἐντεῦθεν γὰρ ἁψάμενοι οἱ ἔφηβοι τὰς λαμπάδας ἔθεον, καὶ τοῦ νικήσαντος τῇ λαμπάδι ἡ πυρὰ τῶν τῆς θεοῦ ἱερῶν ἐφήπτετο. ὁ δὲ Σόλων ἐν τοῖς νόμοις καὶ πόσους πήχεις ἀπέχοντα ἀκολουθεῖν δεῖ τὸν ἐραστὴν τῷ ἐρωμένῳ δεδήλωκε, καὶ τοῖς ἐλευθέροις τὸ ἐπιτήδευμα τετήρηκε, δοῦλον κωλύσας ἐρᾶν ξηραλοιφεῖν τε, καὶ τὸν μὴ θρέψαντα τοὺς γονεῖς μηδὲ θάψαντα καὶ τὸν φρούριον προδεδωκότα· καὶ ἐν τοῖς ποιήμασιν ὡς καλοῦ τοῦ ἐρᾶν μνημονεύει λέγων·

ὄλβιος ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
καὶ κύνες ἀγρευταὶ καὶ ξένος ἀλλοδαπός·

καὶ ἔτι·

ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
καὶ Μουσέων *ἃ* τίθησ' ἀνδράσιν εὐφροσύνας. S.

234 D. δαιμονίως] πανούργως, δολίως, κεκρυμμένως. R.

D. γάννυσθαι] φαιδρύνεσθαι, χαίρειν, διαχεῖσθαι. R.

D. συνεβάκχευσα] σὺν σοὶ ἐπὶ τὸ κρεῖττον παρήλλαξα. R.

E. φιλίου] τοῦ τὰ περὶ φιλίας ἐπισκοποῦντος. R.

235 C. Σαπφὼ λυρικὴ ποιήτρια, Σκαμανδρωνύμου, Μιτυληναία. Ἀνακρέων δέ, καὶ οὗτος λυρικὸς ποιητής, Σκυθίνου ἢ Παρθενίου, Τηΐος. R S.

D. οἱ ἐννέα ἄρχοντες, κατ' ἐνιαυτὸν καθιστάμενοι, ὤμνυον μὴ παρανομήσειν, εἰ δὲ φωραθεῖεν, ἐκ καταδίκης τῷ Ἀπόλλωνι πέμπειν εἰκόνα χρυσῆν, ἐπὶ καταδίκῃ μὲν τοῦ ἄρχοντος, χαριστήριον δὲ τῷ θεῷ παρὰ Ἀθηναίων. Σωκράτει γοῦν ὑπισχνεῖται Φαῖδρος, εἰ καλλίω λόγον εἴποι Λυσίου, καθάπερ οἱ ἄρχοντες, εἰκόνα καὶ αὐτοῦ καὶ Σωκράτους χρυσῆν εἰς Δελφοὺς τῷ Ἀπόλλωνι ἀναθήσειν. Εἰς τὸ αὐτό. ὁ πολέμαρχός ἐστιν ἄρχων ᾧ κατηγγύων τοὺς ξένους· ἔστι δὲ ὥσπερ λοχαγὸς τοῦ βασιλέως, ὃς καὶ ἀπόντος αὐτοῦ ἐπιμελεῖται τῶν κατὰ τὴν πόλιν. ὁ δὲ βασιλεὺς μυστηρίων προνοεῖται καὶ τὰς θυσίας τὰς πατρίους διοικεῖ. ἄρχων δέ ἐστιν ὁ ἐπώνυμος τοῦ ἐνιαυτοῦ. οἷς πᾶσι καὶ ἑορταὶ καὶ θεοὶ οἷς θύουσι καὶ δίκαι τινὲς ἀπονέμονται. οἱ δὲ θεσμοθέται ἓξ εἰσι τὸν ἀριθμόν, ἀφ' ὧν καὶ ὁ τόπος, ὅπου συνήεσαν καὶ ἐσιτοῦντο, θεμίστιον ἐκαλεῖτο. εἶχον δὲ ἐξουσίαν τοῦ ὑπογράψαι τὰ δικαστήρια, καὶ τὰς εἰσαγγελίας εἰσῆγον καὶ τὰς χειροτονίας καὶ προβολὰς καὶ γραφὰς παρανόμων καὶ ἄλλων τινῶν. R S.

236 A. τοιαῦτα καὶ τοιούτων περὶ τῶν ἀναγκαίων φησίν, ὧν τὴν εὕρεσιν ἡ φύσις πορίζει, τὴν δὲ διάθεσιν ἡμεῖς· παρ' ἣν καὶ ἔπαινος ἢ ψόγος ἐστὶν ἡμῖν. τῶν δὲ μὴ ἀναγκαίων λέγει τῶν χρησίμων, ὧν καὶ ἡ εὕρεσις καὶ ἡ διάθεσις ἐξ ἡμῶν· παρ' ἃς δὴ καὶ ἐπαινούμεθα ἢ ψεγόμεθα. οἷον ἀναγκαῖόν ἐστι καὶ Λυσίᾳ καὶ Σωκράτει καὶ πᾶσι τοῖς κατὰ φύσιν ἔχουσι τὸ λέγειν ὡς ὁ ἐρῶν ἀκόλαστον ἔρωτα μαίνηται, ὁ δὲ μὴ τοῦτον ἐρῶν σωφρονεῖ. ἡ δὲ περὶ τούτου διάθεσις ἐπαινετὴ Σωκράτους, ὅτι ἀληθής, Λυσίου δὲ οὔ. κατὰ προσποίησιν γάρ. R.

B. Κύψελος Περιάνδρου πατὴρ ἦν, οὗπερ οἱ υἱεῖς Κορίνθου τύραννοι γεγονότες ὑπὸ Κορινθίων κατελύθησαν. ηὔξαντο οὖν οὗτοι, εἰ πάλιν τὴν ἀρχὴν ἀνακτήσαιντο, χρυσοῦν ἀνδριάντα τῷ θεῷ ἀναθήσειν ἐν Ὀλυμπίᾳ ὁλόσφυρον. οἳ δὴ κρατήσαντες Κορίνθου ἀνέθεσαν ἐκεῖσε μέγιστον ἄγαλμα χρυσοῦν τοῦ

Διός. Ὀλυμπία δέ ἐστι τόπος τις κατὰ τὴν Πελοπόννησον, ἐν Πίσῃ πόλει τῆς Ἤλιδος χώρας, ἔνθα τὰ Ὀλύμπια, ἀγὼν πενταετηρικός, Μουνυχιῶνος μηνὸς ἤγετο τῷ Διί, ἐν οἷς κοτίνου στέφανος ἆθλον ἐδίδοτο τῷ νικήσαντι. τινὲς δ' οὐ κότινον, ἀλλ' ἐκ τῆς λεγομένης καλλιστεφάνου ἐλαίας. διαφέρει δὲ κότινον ἐλαϊκὸν ἀγριελαίας. ἤγετο δὲ καὶ κατ' ἐνιαυτόν, ἅπερ ἐλάττω ἐκάλουν. R S.

B. *σφυρήλατος*] δι' ὅλου βάθους ναστός. R.

B. *εἰς τὰς ὁμοίας λαβὰς*] ἀπὸ μεταφορᾶς εἴρηται τῶν παλαιόντων, οἳ τοῦ ἀφωρισμένου αὐτοῖς πρὸς τὸ παλαίειν τόπου ὁπότε ἐκπέσοιεν, εἶτα ἐπὶ τοῦ αὐτοῦ καὶ τόπου καὶ σχήματος εἰ πάλιν ἔλθοιεν, εἰς ὁμοίας ἐληλυθέναι λέγονται λαβάς, ὡς καὶ νῦν ὁ Σωκράτης εἰς τὴν αὐτὴν τῷ Φαίδρῳ περιῆλθε προσποίησιν τοῦ μὴ δύνασθαι λέγειν. R S.

C. *τῶν κωμῳδῶν*] ἔθος ἦν αὐτοῖς τὸ τοῖς ἐρωτῶσιν, οἷον δέδωκάς μοι τόδε, πάλιν τὸ αὐτὸ λέγειν τοὺς ἀποκρινομένους, δέδωκάς μοι τοῦτο. οὕτως οὖν καὶ πρὸς Σωκράτη Φαῖδρον εἰπεῖν, ὡς εἰ ἐγὼ Σωκράτην ἀγνοῶ, καὶ τὰ ἑξῆς. R.

237 A. *ἔθνος τι ἠπειρωτικὸν τῶν ἑσπερίων τὸ Λιγύων οὕτω μουσικώτατον εἶναι φασίν, ὡς καὶ μηδ' ἐν τοῖς πολέμοις πανστρατιᾷ μάχεσθαι, ἀλλὰ τὸ μέν τι τοῦ στρατεύματος ἀγωνίζεσθαι, τὸ δὲ ᾄδειν πολεμοῦντος τοῦ λοιποῦ.* R.

B. *αἱμύλος*] ποικίλος, πυκνός, πανοῦργος, δολερός· καὶ αἱμυλία ἀσινότητος ἐπίχαρις. R.

240 C. *ἤλικα*] εἴρηται μὲν ἐνταῦθα τῷ Πλάτωνι οὕτως· ἤλικα γὰρ καὶ ὁ παλαιὸς λόγος τέρπειν τὸν ἤλικα. τὸ δὲ τέλειον ἔχει

ἥλιξ ἥλικα τέρπε, γέρων δέ τε τέρπε γέροντα,

ὡς φησι καὶ ὁ Ξενοφῶν γεροντοκόμικα. R.

241 B. *ὀστράκου μεταπεσόντος*] ὀστράκου περιστροφὴ ἐπὶ τῶν διὰ τάχους εἰς φυγὴν ὁρμώντων. εἴρηται δὲ ἀπὸ παιδιᾶς τοιαύτης. *διελόντες ἑαυτοὺς οἱ παῖδες ὡς ἰσαρίθμους γενέσθαι, οἱ μὲν πρὸς ἀνατολὴν ἵσταντο, οἱ δὲ πρὸς δυσμάς· ἄλλος δέ τις μεταξὺ ἑκατέρων καθήμενος ὄστρακον εἶχεν, ἓν μὲν τοῦ ἑνὸς μέρους κεχρισμένον λευκῷ, ἓν δὲ θατέρου μέλανι· καὶ ἔρριπτε τοῦτο ὀρθόν. καὶ εἰ μὲν κατεφέρετο τὸ λευκὸν μέρος ἄνω, οἱ πρὸς ἀνατολὰς ἑστῶτες ἐδίωκον τοὺς πρὸς ταῖς δυσμαῖς· εἰ δὲ τὸ μέλαν ἄνω, οἱ πρὸς ταῖς δυσμαῖς ἐδίωκον, ἕως κατα[illegible]*

καταληφθέντες δὲ ἐβαστάζοντο ὑπ' αὐτῶν ἀφ' οὗ κατελήφθησαν τόπου, ἕως ἐπανέλθωσιν ἐπὶ τὸν τόπον ἀφ' οὗ τὴν ἀρχὴν ἔφυγον. R S.

D. ὡς λύκοι] παρῳδεῖ τὸ Ὁμηρικὸν εἰρημένον ἐν τῇ χ ῥαψῳδίᾳ

ὡς οὐκ ἔστι λέουσι καὶ ἄρνασιν ὅρκια πιστά,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν.

ἡ παροιμία οὖν ἐπὶ τῶν ἐρωτικῶς ἐχόντων. R.

242 A. σταθερὸν τὸ σφόδρα θερμόν, ἀπὸ τῆς ἐν τῷ θέρει μεσημβρίας. καὶ Ἀντίμαχος· θέρεος σταθεροῖο. καὶ τὸ ἑστὸς δὲ καὶ ἠρεμοῦν σταθερὸν λέγουσι. R.

B. οὐ πόλεμον ἀγγέλλεις, ἐπὶ τῶν ἀγαθὰ ἀγγελλόντων. ἐμνήσθη ταύτης καὶ ἐν τῷ τρίτῳ τῶν Νόμων. R.

C. ἀφοσιώσωμαι] ἀποπληρώσωμαι τὴν παραλελειμμένην ὁσιότητα. ἔστι γὰρ ἀφοσίωσις ὁσιότητος παραλελειμμένης ἀποπλήρωσις. R.

C. ἔθραξε] ἐτάραξεν, ἠνώχλησεν, ἔνυξεν, ἐκίνησεν, ἐδυσώπησεν. R.

C. ἐδυσωπούμην] ἀντὶ τοῦ ἠλαβούμην. R. ὑπώπτευον. O.

C. ἀμπλακὼν] ἁμαρτών. R.

243 A. ὃν Ὅμηρος μὲν οὐκ ἤσθετο, Στησίχορος δὲ] περὶ τῆς Ὁμήρου τυφλώσεως διάφοροι φέρονται ἱστορίαι· αἱ μὲν γὰρ αὐτὸν καὶ τυφλὸν ἐκ γενετῆς λέγουσι καὶ οὕτω τετέχθαι, οἱ δὲ ποιμαίνοντα παρὰ τῷ τάφῳ τοῦ Ἀχιλλέως πολλάς τινας καταβαλέσθαι εἰς τὸν ἥρωα χοὰς καὶ στεφάνους, καὶ παρακαλεῖν αὐτὸν ὀφθῆναι αὐτῷ· ὁ δὲ ἥρως ὤφθη μετὰ τῆς πανοπλίας λάμπων, καὶ Ὅμηρος μὴ ἐνεγκὼν τὴν θέαν καὶ τὴν λαμπηδόνα τῶν ὅπλων ἐτυφλώθη. οἱ δὲ ὅτι ἐπειδὴ εἶπε περὶ τῆς Ἑλένης, ὅτι ἡρπάσθη καὶ ἠγάγετο αὐτὴν Ἀλέξανδρος εἰς τὸ Ἴλιον καὶ ἔσχεν ὡς γυναῖκα, κατὰ μῆνιν τῆς ἡρωΐνης ὡς ὑβρισθείσης παρ' αὐτοῦ ἐτυφλώθη. περὶ δὲ τοῦ Στησιχόρου φασίν, ὅτι Λοκροὶ καὶ Κροτωνιᾶται ἐπολέμουν πρὸς ἀλλήλους, ἔθος δὲ ἦν τοῖς Λοκροῖς, μέρος τῆς στρατιᾶς ἀφρούρητον ἀνιεροῦν τοῖς ἥρωσιν ὡς ἐκείνων φρουρούντων αὐτό· τὸν οὖν Λεώνυμον τὸν στρατηγὸν τῶν Κροτωνιατῶν ἐπιθέσθαι ἐκείνῳ τῷ μέρει ὡς ἀφρουρήτῳ, καὶ τρωθέντα ἐξ ἀδήλου ἀναχωρῆσαι χαλεπῶς διακείμενον ὑπὸ τοῦ τραύματος. ἐλθεῖν οὖν αὐτὸν εἰς τὸ ἐν Δελφοῖς μαντεῖον διὰ θεραπείαν, καὶ

λαβεῖν χρησμόν, ὅτι ὁ τρώσας καὶ ἰάσεται· ἐπανερομένου δ' αὐτοῦ καὶ τίς ὁ τρώσας — καὶ γὰρ ἦν ἄδηλον — ἀκοῦσαι ὁ Ἀχιλλεύς. ἀπελθόντα οὖν αὐτὸν εἰς Λεύκην τὴν νῆσον ἱκετεῦσαι τὸν ἥρωα καὶ ἰδεῖν κοιμηθέντας τινὰς τῶν ἡρώων, καὶ λαβεῖν μὲν παρὰ τοῦ Ἀχιλλέως θεραπείαν, ἀκοῦσαι δὲ παρ' αὐτῶν, εἰπεῖν τοῖς ἀνθρώποις, ὅτι οὐδὲν λανθάνει θεοὺς οὐδὲ ἥρωας ὧν πράττετε, ὦ ἄνθρωποι· ἐλθεῖν δὲ καὶ τὴν Ἑλένην καὶ εἰπεῖν ἀπαγγεῖλαι Στησιχόρῳ παλινῳδίαν ᾄσαι, ἵνα ἀναβλέψῃ· καὶ γὰρ Ὅμηρον δι' αὐτὸ τοῦτο τετυφλῶσθαι, ὡς κακηγορήσαντά με. καὶ οὕτω τὸν Στησίχορον ἀκούσαντα παρὰ τοῦ Λεωνύμου γράψαι τὴν παλινῳδίαν καὶ οὕτως ἀναβλέψαι. S.

A. *Πέργαμα*] τὰ ὑψηλά. R.

B. *παλινῳδίαν*] ἐναντία ᾠδὴ ἢ ῥῆσις τῆς προτέρας. R.

244 B. *Δωδώνη πόλις τῆς Μολοσσίδος, ἐν ᾗ τὸ μαντεῖον τοῦ Διός.* R. *περὶ τοῦ Δωδωναίου μαντείου διαφοραί εἰσι τὰ ἱστορούμενα. λέγουσι δὲ οἱ μὲν ὅτι δρῦς ἦν ἐκεῖ ἡ μαντεύουσα, οἱ δὲ ὅτι περιστεραί, τὸ δὲ ἀληθές, ὅτι γυναῖκες ἦσαν ἱέρειαι αἱ μαντεύουσαι δρυὶ τὴν κεφαλὴν στεφόμεναι, αἵτινες ἐκαλοῦντο πελειάδες. ἴσως οὖν ἀπὸ τοῦ ὀνόματος πλανηθέντες ὑπώπτευσαν εἶναι περιστερὰς τὰς μαντευούσας· ἐπειδὴ δὲ καὶ τὴν κεφαλὴν δρυὶ κατεστέφοντο, ἴσως διὰ τοῦτο εἰρήκασι καὶ τὴν δρῦν μαντεύειν. ἔστι δὲ Διὸς τὸ μαντεῖον, τὸ δὲ ἐν Δελφοῖς Ἀπόλλωνος.* S.

B. *Σίβυλλαι μὲν γεγόνασι δέκα, ὧν πρώτη ὄνομα Σαμβήθη. Χαλδαίαν δέ φασιν αὐτὴν οἱ παλαιοὶ λόγοι, οἱ δὲ μᾶλλον Ἑβραίαν· καὶ δὴ καὶ ἑνὶ τῶν παίδων τοῦ Νῶε εἰς γυναῖκα ἁρμοσθῆναι, καὶ συνεισελθεῖν αὐτῷ τε καὶ τοῖς ἄλλοις ἐν τῇ κιβωτῷ. ταύτην καὶ τὰ περὶ τῆς πυργοποιίας χρησμῳδῆσαί φασι, καὶ ὅσα τοῖς ταύτων συνέβη τολμήμασι· χρησμῳδῆσαι δὲ πρὸ τῆς διαιρέσεως τῶν γλωσσῶν γενομένην γλώσσῃ φασὶ τὰ χρησμῳδηθέντα τῇ Ἑβραΐδι· οὐ μόνον δέ, ἀλλὰ καὶ τὰ κατὰ τὸν Ἀλέξανδρον τὸν Μακεδόνα προειπεῖν· ἧς καὶ μνήμην Νικάνωρ ὁ τὸν Ἀλεξάνδρου βίον ἀναγράψας πεποίηκε. Δευτέρα δὲ Λίβυσσα, ἧς μνήμην ἐποιήσατο ἐν τῷ τῆς Λαμίας προλόγῳ Εὐριπίδης· ὄνομα δὲ αὐτῆς οὐ πάνυ σαφηνίζουσι. Τρίτη Δελφίς, ἡ ἐν Δελφοῖς τεχθεῖσα, περὶ ἧς ἱστόρησε Χρύσιππος ἐν τῷ περὶ Θεότητος βιβλίῳ. Τετάρτη Ἰταλική, ἡ ἐν ἐρημίᾳ τῆς Ἰταλίας τὴν διατρι-*

βὴν λαχοῦσα· ἧς υἱὸς ἐγένετο Εὔανδρος ὁ τὸ ἐν Ῥώμῃ τοῦ Πανὸς ἱερὸν τὸ καλούμενον Λούπερκον κτίσας· περὶ ἧς ἔγραψεν Ἐρατοσθένης. Πέμπτη ἡ Ἐρυθραία, ἥτις καὶ τὰ κατὰ τὸν Τρωϊκὸν πόλεμον συνενεχθέντα προηγόρευσε· περὶ ἧς Ἀπολλόδωρος ὁ Ἐρυθραῖος διεξέρχεται. Ἕκτη ἡ Σαμία, ἧς τὸ κύριον ὄνομα Φυτὼ φασιν. Ἑβδόμη ἡ Κυμαία μὲν γένος, ὄνομα δὲ Ἀμάλθεια· οἱ δὲ Ἐρωφίλην φασί· παρά τισι δὲ κλῆσιν ἠνέγκατο Ταράξανδρα· Βιργίλιος δὲ ὁ Ῥωμαῖος ποιητὴς Δηϊφόβην αὐτὴν ὀνομάζει. Ὀγδόη ἡ Ἑλλησποντία, ἥτις ἐν κώμῃ Μαρμυσσῷ τὴν γένεσιν ἔσχε περί τινα πολίχνην Γεργετίωνα· ὑπὸ τὴν ἐνορίαν δὲ αὕτη τῆς Τροίας ἐτύγχανεν. ἦν ἐν καιρῷ Σόλωνος καὶ Κύρου, ὡς ἔγραψεν Ἡρακλείδης ὁ Ποντικός. Ἐνάτη ἡ Φρυγία. Ἐπὶ πᾶσι δεκάτη ἡ Τιβουρτία μὲν γένος, ὄνομα δὲ Ἀλβουναία. ταύτας δέ φασι τῶν φρενῶν ἐξισταμένας τὰ μέλλοντα χρησμῳδεῖν· τῶν ὑπολαμβανόντων δὲ γραφῇ τοὺς χρησμοὺς οὐκ ἐχόντων σοφίαν τὰ χρησμῳδούμενα γράφειν ἀπταίστως, ἄλλως τε καὶ τῷ τάχει τῆς φορᾶς τῶν λόγων οὐκ ἐχόντων καθυπηρετουμένας τὰς χεῖρας, συμβῆναι πολλοὺς τῶν χρησμῶν εἰς χωλιάμβους διαπεσεῖν καὶ μηκέτι τυχεῖν διορθώσεως, ἅτε δὴ τῶν χρησμῳδῶν γυναίων ἐν ἐκστάσει μὲν καθεστώτων, ἐπειδὴ τὴν ὕπαρξιν προηγόρευον τῶν μελλόντων, πεπαυμένων δὲ τοῦ χρησμολογεῖν μηδαμῶς αἴσθησιν ἐχόντων μήτε ὧν ἔλεγον μήτε τί ἂν βούλοιντο τὰ κεχρησμῳδημένα. πᾶσαι μὲν οὖν μαντικαί, ἡ δὲ Ἐρυθραία, ἡ καὶ Ἐριφύλη καλουμένη, τῶν ἄλλων ἐξαίρετος· καὶ γὰρ γεννηθεῖσα εὐθὺς προσεῖπεν ἐξ ὀνόματος ἕκαστον καὶ ἔμμετρα ἐφθέγξατο, καὶ εἰς βραχὺν χρόνον τέλειον εἶδος ἀνθρώπου ἔλαβε. R S.

C. κυρίως τῷ ἀπειροκάλως ἐχρήσατο· αὐτοῦ γὰρ καλῶς ἔχοντος τοῦ ὀνόματος τῆς μανίας, ἀπειρίᾳ τοῦ καλοῦ ἠγνόησαν τὸ καλὸν τοῦ ὀνόματος. R.

248 A. ὑποβρύχιαι] ὑπὸ τὸ ὕδωρ, ὅ ἐστι τὴν γένεσιν, ποντισθεῖσαι. R.

C. Θεσμός τε Ἀδραστείας] ἡ Ἀδράστεια μία ἐστὶ θεὸς τῶν μενουσῶν ἐν τῇ νυκτί, γενομένη ἐκ Μελίσσου καὶ Ἀμαλθείας· ὁ μὲν οὖν Μέλισσος κατὰ τὴν πρόνοιαν εἴρηται, ἡ δὲ Ἀμάλθεια κατὰ τὸ ἀκλινὲς καὶ μὴ μαλθάσσεσθαι. ἐκ τῆς οὖν προνοίας καὶ ἀκλινοῦς γέγονεν ἡ Ἀδράστεια, ἥτις ἀδελφή ἐστι τῆς Εἴδης·

Εἴδη δ' εὐειδὴς καὶ ὁμόσπορος Ἀδράστεια·

ἡ πάντων ὁμοῦ τῶν νόμων τὰ μέτρα ἐν ἑαυτῇ συλλαβοῦσα καὶ συνέχουσα αὕτη ἐστὶν ἡ Ἀδράστεια κεκλημένη διὰ τὸ τὰ ὑπ' αὐτῆς τεθέντα καὶ νομοθετηθέντα ἀναπόδραστα εἶναι· διὸ καὶ πρὸ τοῦ ἄντρου τῆς Νυκτὸς ᾐγεῖν λέγεται·

παλάμῃσι δὲ χάλκεα δόπτρα
δῶκεν Ἀδραστείῃ.

ἐν τοῖς προθύροις γὰρ τοῦ ἄντρου τῆς Νυκτὸς ᾐγεῖν λέγεται τοῖς κυμβάλοις, ἵνα πάντα [τὰ] αὐτῆς τῶν νόμων κατήκοα γένηται. ἔνδον μὲν γὰρ ἐν τῷ αὐτῷ τῆς Νυκτὸς κάθηται ὁ Φάνης, ἐν μέσῳ δὲ ἡ Νὺξ μαντεύουσα τοῖς θεοῖς· ἡ δὲ Ἀδράστεια ἐν τοῖς προθύροις, πᾶσι νομοθετοῦσα τοὺς θείους θεσμούς. διαφέρει δὲ τῆς ἐκεῖ Δίκης, ὡς νομοθετικὴ δικαστικῆς· καὶ ἡ μὲν ἐκεῖ Δίκη λέγεται εἶναι τοῦ Νόμου·τοῦ ἐκεῖ καὶ Εὐσεβείας, αὐτὴ δὲ ἡ Ἀδράστεια ἐκ Μελίσσου καὶ Ἀμαλθείας *οὖσα περιεπτική ἐστι καὶ τοῦ νόμου*. S.

254 E. ὕσπληξ ἀφετήριον, πληγή, ὥσπερ νῦν, πάσσαλος, περάτινος κρίκος, πάντα θηλυκῶς. R.

E. ἐρείσας] ἑλκύσας. R.

256 E. ἐννέα χιλιάδας] ἐννέα χιλιάδας εἶπεν, ἐπειδὴ ἐν τῇ πρώτῃ γενέσει ἡ περίοδος ἡ ἀπὸ τοῦ νοητοῦ ἐπὶ τὰ τῇδε οὐδεμίαν κάκωσιν ἔχει. R.

257 B. ἐπομφοτερίζῃ] Λυσίᾳ καὶ ἐμοὶ Σωκράτει ἔπηται. R.

C. λογογράφον] λογογράφους γὰρ ἐκάλουν οἱ παλαιοὶ τοὺς ἐπὶ μισθῷ λόγους γράφοντας καὶ πιπράσκοντας αὐτοὺς εἰς δικαστήρια, ῥήτορας δὲ τοὺς δι' ἑαυτῶν λέγοντας. R S.

D. γλυκὺς ἀγκὼν] ἐπὶ τῶν κατειρωνευομένων. τόπος δέ ἐστιν ἐν τῇ Μεμφίδι Ἀγκὼν προσαγορευόμενος ὑπὸ τῶν πλεόντων κατ' ἀντίφρασιν ἴσως, διὰ τὸ δυσχερές. ἔνιοι δὲ τάττουσιν αὐτὴν ἐπὶ τῶν εὐθυμούντων, παρ' ὅσον τὸν ἀγκῶνα οἱ εὐφραινόμενοι τιθέασιν. R S.

258 B. ἐμμένῃ] τουτέστι δεχθῇ καὶ μὴ ἐκβληθῇ ὁ λόγος. R.

B. Λυκοῦργος Λακεδαιμονίων, Σόλων δὲ Ἀθηναίων νομοθέται, Δαρεῖος δὲ τρίτος ἀπὸ Κύρου Περσῶν βασιλεύς. R.

E. ἀνδραποδώδεις εἰσὶν ἡδοναὶ αἱ ἄλλων παθῶν ἀπεχόμεναι, ὑπ' ἄλλων δὲ κρατούμεναι. R.

E. πνίγει] θάλπει, καύματι. R.

259 A. μεσημβριάζοντας] ἐν μεσημβρίᾳ νυστάζοντα καὶ καθεύδοντα, κηλούμενα. R.

B. φιλόμουσον ἀντὶ τοῦ φιλόσοφον. S.

C. ἄσιτον] σημείωσαι ὅτι τοὺς τέττιγας λέγει τὸ παράπαν μὴ δεῖσθαι τροφῆς, τῇ δὲ δρόσῳ ἀρκεῖσθαι μόνῃ. R.

D. ἴασι] πέμπουσιν. R.

260 C. ὄνου σκιὰ ἐπὶ τῶν μηδενὸς ἀξίων. φασὶ δὲ εἰλκύσθαι τὴν παροιμίαν ἀπὸ τοῦ Δημοσθένει τῷ ῥήτορι συμβάντος. δίκην γάρ ποτε, ὥς φησιν Ἀριστείδης, ἀπολογούμενος, ἧς τὸ τίμημα ἦν τι χρὴ παθεῖν ἢ ἀποτῖσαι, τοῦ κατηγόρου δεινῶς εἰρηκότος καὶ προεξειργασμένου διότι ὁ εὐθυνόμενος οὐδενὶ δικαίῳ μόνῃ δὲ τῇ Δημοσθένους δεινότητι πέποιθεν, ὡς οἱ δικασταὶ μετεωρισθέντες οὐ προσεῖχον τὸν νοῦν τῷ Δημοσθένει, ἀλλ' ἐθορύβουν κωλύοντες ἀπολογεῖσθαι, καὶ τοῦτο συνέβαινεν ἐπὶ πλείονα χρόνον, διαλειπόντων ποτὲ μικρὸν καὶ γενομένης βραχείας ἡσυχίας· ἄνδρες, ἔφη, δικασταί, μικρόν μου χρόνον ἀνάσχεσθε, καὶ συγχωρήσατέ μοι λόγον οὐ πάλαι γεγονότα διηγήσασθαι. τῶν δὲ συγχωρησάντων διὰ τὸ μέγα τι ὑπολαβεῖν τὸ ὑπ' αὐτοῦ μέλλον λέγεσθαι, νεανίσκος τις, ἔφη, τῶν ἐπὶ φιλολογίαν εἰς τὴν πόλιν ἡμῶν παραγεγονότων, ὅτε ἀποτρέχειν ἔμελλεν, ἐμισθώσατο ὄνον πρὸς τὸ τὰ σκεύη αὐτοῦ διακομίσασθαι μέχρι Μεγαρέων. ὑπὸ κύνα δὲ τῆς ὥρας ὑπαρχούσης, κατὰ τὸ μέσον τῆς ἡμέρας ἐκπαίοντος τοῦ ἡλίου σφοδρότερον, οὔτε τὸ ὑποζύγιον συνέβαινεν ἐθέλειν ὁδοιπορεῖν οὔτε αὐτὸν ἀκολουθεῖν δύνασθαι. καταλύσαντος οὖν τὸ φορτίον τοῦ ὀνηλάτου, καὶ τὸν ὄνον στήσαντος ἐκτὸς τῆς ὁδοῦ, μὴ δυνάμενος ὑπομένειν τὸ καῦμα, ἀλλὰ κακῶς διακείμενος ὑπὸ τὴν τοῦ ὄνου σκιὰν ὑποδὺς μένειν οἷός τε ἦν. τοῦ δὲ ὀνηλάτου ἐκεῖνον μὲν κωλύοντος, ἑαυτῷ δὲ ἐπιβάλλειν λέγοντος διὰ τὸ καὶ τὸν ὄνον ἴδιον εἶναι καὶ τὴν ἀπ' αὐτοῦ σκιὰν ὑπάρχειν ἰδίαν· μεμισθωκέναι γὰρ μόνον τὸν ὄνον διακομιοῦντα αὐτοῦ τὰ σκεύη, οὐ μὴν τὴν σκιὰν αὐτοῦ. ὡς δὲ καὶ ὁ νεανίσκος ἀντέλεγε πάλιν, φάσκων τὴν ἡμέραν ὅλην αὐτοῦ τὸν ὄνον εἶναι, καὶ πολλὴν ἀντιλογίαν συνέβαινεν ἐκ τούτου γίνεσθαι, ἕως εἰς μάχην ὥρμησαν. ἐπεὶ δ' ὁ μὲν ταῦτα εἰπὼν κατέβαινεν ἀπὸ τοῦ βήματος, οἱ δὲ δικασταὶ κατεῖχον ἀξιοῦντες τὸ γενόμενον πέρας ἐξηγήσασθαι, ἐπιστραφείς· ἄνδρες, εἶπεν, ὑπὲρ μὲν ὄνου σκιᾶς βούλεσθε ἀκοῦσαι,

ὑπὲρ ἀνθρώπου δὲ κινδυνεύοντος τῷ βίῳ πωλύετε λέγειν; καὶ οὕτω τοὺς δικαστάς, συγχωρήσαντας ὀρθῶς ὑπὸ τοῦ ῥήτορος ἐπιπεπλῆχθαι, λέγειν ἐφεῖναι. ὅθεν τό τε τοῦ διηγήματος εὔστοχον καὶ τὸ τοῦ φρονήματος παρρησιαστικὸν διαμνημονευθὲν παροιμίας ἔλαβε τάξιν. R S.

C. καρπὸν ὧν ἔσπειρας θέριζε, ἐπὶ τῶν τοιαῦτα πασχόντων οἷα ἔδρασαν. παρῆκται δὲ ἀπὸ τοῦ στίχου·

εἰ δὲ κακὰ σπείραις, κακά κεν ἀμήσαιο,

καὶ πάλιν·

ὃς δὲ κακὰ σπείρει, θεριεῖ κακὰ κήδεα παισίν. R.

D. ἐκεῖνο] τὸ ἀληθὲς δηλαδή. R.

D. ἐμὲ] τὴν τοῦ πείθειν δύναμιν. R.

E. ἔτυμος τέχνη] ἄνευ τοῦ ἀγαθοῦ καὶ τῆς ἀληθείας, φησὶν ὁ Λάκων ῥήτωρ, τέχνην εἶναι ἀδύνατον. S.

261 A. ἱκανῶς φιλοσοφήσῃ] οἱ γὰρ ἄριστοι ῥήτορες καὶ φιλόσοφοι, ὡς Περικλῆς Ἀναξαγόρου, ὡς Δημοσθένης Πλάτωνος γεγονότες μαθηταί. R.

B. περὶ τὰς δίκας] ἔθος ἦν παλαιὸν ἐν τοῖς δικαστηρίοις δημοσίοις τε λόγοις τοὺς ῥήτορας διατρίβειν, οὐ μὴν ἐν ταῖς γινομέναις συνουσίαις ἰδίᾳ. R.

C. ἀπεικάζει τὸν Γοργίαν τῷ Νέστορι, ἐπειδὴ καὶ αἰδήμων καὶ πολυετὴς ἐγίνετο· ἑκατὸν γὰρ ὀκτὼ ἐλέγετο ζῆσαι ἔτη· τὸν δὲ Θρασύμαχον ὡς δεινὸν τῷ Ὀδυσσεῖ ἀπεικάζει (R), τὸν δὲ Ἐλεάτην Ζήνωνα τῷ Παλαμήδῃ, ἐπειδὴ καὶ ἀριθμῶν καὶ κύβων καὶ πολλῶν ἄλλων εὑρετὴς ἐγένετο Παλαμήδης· ὡς τεχνικὸν οὖν τὸν Ζήνωνα παρέβαλε τῷ Παλαμήδῃ. S.

D. Ἐλεατικὸν Παλαμήδην] Ζήνωνά φησι τὸν Παρμενίδου ἑταῖρον, ὅτι δὴ πανεπιστήμων σχεδὸν ἦν ὁ ἀνήρ, ὡς καὶ Παλαμήδης. R.

262 A. Ἢ] σύνδεσμος ἀπορηματικὸς ἀντὶ τοῦ ἆρα τὸ ἤ, ὡς τό· ἢ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων Ἀτρεΐδαι; R.

C. ψιλῶς τὸ μὴ ἐπὶ ὑποδείγματός φησι. R.

D. ὁ εἰδὼς] σημείωσαι ὅτι ὁ φιλόσοφος ὡς παιδιᾷ χρῆται τοῖς τῶν ῥητόρων λόγοις, καὶ ὅπερ ἐκεῖνοι μετὰ σπουδῆς ποιοῦσι, τὸ διὰ τῶν ὁμοιοτήτων παράγειν τοὺς ἀκούοντας, οὗτος ἐν παιδιᾶς μοίρᾳ ἔχει. R.

D. τοῦτο τὸ γέρας] τὸ δύνασθαι διακρίνειν τοὺς κατὰ τέχνην λέγοντας καὶ μή. R.

263 B. πηῆθος] γρ. καὶ τὸ εἶδος. R.

D. ἀμηχάνως] ἀντὶ τοῦ θαυμασίως πάνυ ὡρίσω. R.

264 A. ἢ πολλοῦ δεῖν] ὄντως λίαν ἐλλείπειν. R.

A. διανεῖν] διακολυμβᾶν, διαπερᾶν. R.

E. ἑτέρους λόγους] τοὺς μετ' ἀληθείας. R.

266 E. λογοδαίδαλον] λογοδαίδαλός ἐστι λόγων τεχνίτης καὶ διαλεκτικὸς καὶ δυνάμενος τὰ ἀκίνητα ἀποδεικνύειν κινούμενα, ὥσπερ ὁ Δαίδαλος ἀποδιδράσκοντα καὶ κινούμενα ἐποίησε τὰ ἀγάλματα. πρὸ αὐτοῦ γὰρ συμμεμυκότα ἦσαν καὶ οὐκ εἶχον τοὺς πόδας διεστηκότας· ἀλλ' αὐτὸς πρῶτος διέστησε. S.

267 A. ἐν μέτρῳ] ἐπειδὴ τὰ ἔπη τῶν καταλογάδην εὐμνημονευτότερα. R.

A. Τισίαν] ἐπὶ τούτου καὶ τοῦ μαθητοῦ αὐτοῦ Κόρακος φέρεται ἡ παροιμία ἡ ἀπὸ κακοῦ κόρακος κακὸν ᾠόν. οὗτος γὰρ σοφιστὴς ὢν ἐπηγγείλατο διδάσκειν τὸν μαθητὴν οὕτως, ὥστε τὴν πρώτην δίκην νικῆσαι, ἐὰν δῷς μοι, φησίν, εἰς μισθὸν τοσάσδε δραχμάς· ὁ μαθητὴς ὑπέσχετο· εἰσῆλθε τὴν πρώτην δίκην περὶ τοῦ μὴ ἀποδοῦναι τοὺς μισθούς, διὰ διλήμματος τὴν κρίσιν ποιούμενος, ἵνα καὶ νικήσας καὶ νικηθεὶς μηδὲν δῷ, καὶ ἐπὶ τούτῳ ἐλέχθη ἡ παροιμία. S.

A. Γοργίαν τε] περὶ Γοργίου λέγεται, ὅτι ἐρωτᾶν ἐκέλευεν ὅ τί τις βούλεται· καὶ μηδενὸς ἐρωτῶντός ποτε φύλλον λαβὼν εἶπεν εἰς τὸ φύλλον λόγον τινά, εἶτα εἰς τὴν Ἀθηνᾶν, καὶ παμμήκη λόγον ἀπετείνατο. S.

B. Πρόδικος] οὗτος τὴν τῶν ὀνομάτων εὗρεν ἀκρίβειαν· οἷον διαφορὰν τέρψεως, χαρᾶς, εὐφροσύνης· τέρψιν καλῶν τὴν δι' ὤτων ἡδονήν, χαρὰν τὴν τῆς ψυχῆς, εὐφροσύνην τὴν διὰ τῶν ὀμμάτων. S.

C. Πώλου] ἐκεῖνος ἐξεῦρε τὰ πάρισα· διὸ καὶ μουσεῖα λόγων ἐκάλεσεν, ἐπειδὴ ἐδόκει τῇ καλλιλεξίᾳ πάνυ κοσμεῖν τοὺς λόγους. S.

C. μουσεῖα λόγων] τὰ πάρισα, ὡς τό· καὶ φιλοκίνδυνον τὸν βίον κατέστησεν, τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν ἐποίησεν. R.

C. διπλασιολογίαν] τὸ τὰ αὐτὰ δὶς λέγειν, ὡς τὸ φεῦ φεῦ. R S.

C. γνωμολογίαν] ὡς Δημοσθένης· ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ κατασκευαζόμενος οὗτος ἐμοὶ πολεμεῖ· καὶ ἀλλαχοῦ· δεινὸν γὰρ ἡ πονηρία, καὶ τὰ ὅμοια. S.

C. εἰκονολογίαν] τὸ δι' εἰκόνος καὶ δι' ὑποδείγματός τι δηλοῦν (S), γνωμολογία δέ, ως τό· δεινὸν ἡ πονηρία. R.

C. Λικυμνείων] ὁ Λικύμνιος δὲ Πώλου διδάσκαλος, ὃς διῄρει τὰ ὀνόματα εἰς κύρια, σύνθετα, ἀδελφά, ἐπίθετα, καὶ εἰς ἄλλα τινά. R. οὗτος τὸν Πῶλον ἐδίδαξεν ὀνομάτων τινὰς διαιρέσεις, οἷον ποῖα κύρια, ποῖα σύνθετα, ποῖα ἀδελφά, ποῖα ἐπίθετα, καὶ ἄλλα πολλὰ πρὸς εὐέπειαν. S.

C. ὀρθοέπεια] τουτέστι κυριολεξία. διὰ γὰρ τῶν κυρίων ὀνομάτων μετήρχετο ὁ Πρωταγόρας τὸν λόγον καὶ οὐ διὰ παραβολῶν καὶ ἐπιθέτων. S.

C. τὸ τοῦ Χαλκηδονίου σθένος] ὁ Χαλκηδόνιός ἐστιν ὁ Θρασύμαχος, ὃς ἐδίδαξεν ὡς δεῖ οἴκτον ἐγείρειν τὸν δικαστὴν καὶ ἐπισπᾶσθαι ἔλεον, γῆρας, πενίαν, τέκνα ἀποδυρόμενον καὶ τὰ ὅμοια. S.

268 A. ἤτριον τὸ εὐυφὲς ἱμάτιον καὶ ἀραιόν. R.

272 C. λύκου ῥήματα, ἐπὶ τοῦ καὶ λόγοις καὶ ἔργοις ἀδικοῦντος. ἰδὼν γὰρ λύκος ποιμένα ἐσθίοντα προβάτεια εἶπεν· ἡλίκος ἂν ἤρθη θόρυβος, εἰ ἐγὼ ταῦτ' ἐποίουν; ἐμνήσθη ταύτης ἐνταῦθα Πλάτων. R.

276 B. Ἀδώνιδος κῆποι, ἐπὶ τῶν ἀώρων καὶ ὀλιγοχρονίων καὶ μὴ ἐρριζωμένων. ἐμνήσθη δὲ αὐτῆς καὶ Εὐριπίδης Μελανίππῃ καὶ ἐνταῦθα Πλάτων. R S.

279 C. κοινὰ τὰ τῶν φίλων, ἐπὶ τῶν εὐμεταδότων. φασὶ δὲ λεχθῆναι πρῶτον τὴν παροιμίαν περὶ τὴν μεγάλην Ἑλλάδα, καθ' οὓς χρόνους ὁ Πυθαγόρας ἔπειθε τοὺς αὐτὴν κατοικοῦντας ἀδιανέμητα πάντα κεκτῆσθαι. φησὶ γοῦν ὁ Τίμαιος ἐν τῇ ε' οὕτω· προσιόντων δ' οὖν αὐτῷ τῶν νεωτέρων καὶ βουλομένων συνδιατρίβειν οὐκ εὐθὺς συνεχώρησεν, ἀλλ' ἔφη δεῖν καὶ τὰς οὐσίας κοινὰς εἶναι τῶν ἐντυγχανόντων. εἶτα μετὰ πολλὰ φησι· καὶ δι' ἐκείνους πρῶτον ῥηθῆναι κατὰ τὴν Ἰταλίαν ὅτι κοινὰ τὰ τῶν φίλων. ἐμνήσθη δὲ ταύτης καὶ Ἀριστοτέλης ἐν τῷ Θ' τῶν Ἠθικῶν. Κλέαρχος δέ φησιν ὑπὸ Χαλκιδέων τῶν ἐν Εὐβοίᾳ

πεμφθῆναι δῶρα εἰς Δελφοὺς Ἀπόλλωνι καὶ Ἀρτέμιδι· τῶν δὲ Δελφῶν μαντευομένων εἰ ἐξ ἴσης τὴν ἀνάθεσιν ποιήσωνται, ἔφησεν ὁ θεός· κοινὰ τὰ τῶν φίλων. καὶ Μένανδρος ἐν Ἀδελφοῖς β'. R S.

ΕΙΣ ΤΟΝ ΑΛΚΙΒΙΑΔΗΝ.

P. 103 A. προσεῖπον] προσηγόρευσα. R.

A. δαιμόνιον ἐναντίωμα] τὸ ἀπαρουσιάστως ἐρᾶν θεοειδὲς καὶ νοερόν. ὅπερ δὲ νῦν δαιμόνιον καλεῖ Πλάτων, μετὰ μικρὸν θεὸν λέγει τὸν ἐναντιούμενον. τοῦτο δὲ καὶ Ὅμηρος ποιεῖ· κἀκεῖνος γὰρ ἐπὶ ταὐτοῦ τίθησι δαίμονα καὶ θεόν. R.

A. καὶ ὕστερον πεύσει] οὐχ ὡς καὶ πρότερον αὐτοῦ πεπυσμένου, ἀλλὰ παραπληρωματικός ἐστιν ὁ καί σύνδεσμος, ὡς καὶ παρ' Ὁμήρῳ·

– – ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν. R.

104 B. προσθήσω] προείπων τὰ ὑπάρχοντα Ἀλκιβιάδῃ μεγάλα εἶναι, ἀπὸ τοῦ σώματος ἀρχόμενα καὶ τελευτῶντα εἰς τὴν ψυχήν, νῦν λέγει καὶ προστίθησι τὰ ἐκτός. R.

105 A. παρέλθῃς] ἰστέον ὡς Σωκράτης Ἀλκιβιάδῃ ταῦτα διελέγετο πρὸ ἡμερῶν ὀλίγων τῆς ἀρχῆς τοῦ εἰκοστοῦ ἔτους τῆς αὐτοῦ ζωῆς, ὡς δηλοῖ τὸ ῥητόν. Ἀθήνησι γὰρ οἱ νέοι εἰς μὲν τοὺς ἐφήβους εἰσῄεσαν ὀκτωκαίδεκα ἔτη γενόμενοι, δύο δὲ εἰς περιπόλους ἠριθμοῦντο, περιιόντες τὴν χώραν νυκτὸς φυλακῆς ταύτης ἕνεκα καὶ γυμνασίας πολεμικῆς ἑαυτῶν· εἰκοστῷ δὲ ληξιαρχικῷ ἐνεγράφοντο γραμματείῳ, καθὸ δὴ ἐκκλησιάζοντες παρελάμβανον καὶ τὴν πατρῴαν οὐσίαν, ἥτις καὶ λῆξις ἐκαλεῖτο, ὡς Πολυδεύκης ἐν Ὀνομαστικοῖς. R S.

B. ἐνδειξάμενος] τὸ ἐνδειξάμενος ἐπὶ τοῦ διαλογικοῦ τάττει, τὸ δὲ ἐπιδειξάμενος ἐπὶ τοῦ ἀποτάδην. R.

106 A. ἀτοπώτερος] παραδοξότερος, θαυμασιώτερος. R.

C. φέρε δή] ἐντεῦθεν τὸ πρῶτον τοῦ διαλόγου κεφάλαιον, τὸ ἀπαλλάττον τῆς διπλῆς τὸν νεανίσκον ἀγνοίας. ἔστι δὲ ἐλεγκτικόν. R.

107 E. λελῃθότως ὁ Σωκράτης διορθούμενος Ἀλκιβιάδην παράδειγμα τὴν γυμναστικὴν φέρει ἔχουσαν διαφορὰν τό τε ἀκροχειρίζεσθαι καὶ παλαίειν. οὕτως οὖν καὶ τῆς δικαιοπραγίας ὁ πόλεμος καὶ ἡ εἰρήνη εἰσὶ διαφοραί. εἰκότως δὲ γυμναστικὴν καὶ μουσικὴν προφέρει Σωκράτης ἅπερ γνώριμα τῷ Ἀλκιβιάδῃ ὡς δι' αὐτῶν ἐκ παίδων ἀχθέντι, καὶ ὅμοια ὁ μὲν πόλεμος τῇ γυμναστικῇ, ἡ δὲ εἰρήνη τῇ μουσικῇ. O.

E. ἀκροχειρίζεσθαι] πυκτεύειν ἢ παγκρατιάζειν πρὸς ἕτερον ἄνευ συμπλοκῆς, ἢ ὅλως ἄκραις ταῖς χερσὶ μετ' ἄλλου γυμνάζεσθαι. R.

108 A. ὅρα τὴν ἀκρίβειαν τῶν ὀνομάτων. γυμναστικῶς φησὶ καὶ μουσικῶς, εὐλόγως ἀπὸ τῶν ἕξεων ὀνομάσας τὰς ἐνεργείας. τὰ γὰρ ὀνόματα ἢ ἀπὸ τῶν ἕξεων τίθεται τοῖς ἔχουσιν αὐτάς, ὡς ἀπὸ τῆς ἰατρικῆς ἕξεως ὁ ἰατρός, ἢ ἀπὸ τῆς ἐνεργείας, ὡς ἰατρικῶς λέγομεν ἐνεργῆσαι τὸν καλῶς ἰασάμενον· ἢ ἀπὸ τοῦ ὀργάνου, καθάπερ φλεβοτόμον φαμέν τινα· ἢ ἀπὸ τοῦ τέλους, ὡς λέγομεν ὑγιεινὸν σιτίον τὸ ὑγίειαν ποιοῦν, διὰ δὲ τούτων ὁ Πλάτων τοὺς ἀπὸ τῆς ὁμοιότητος καὶ τῶν συστοίχων τόπους ἡμῖν λελῃθότως μετὰ τῆς ὕλης παραδίδωσιν, οὓς ὁ Ἀριστοτέλης γυμνοὺς πραγμάτων ἐντεῦθεν ὠφελημένος ἁπλώσας παραδέδωκεν. ἔστι γὰρ ὁ ἀπὸ τῆς ὁμοιότητος τόπος οὗτος· ὡς ἔχει γυμναστικὴ πρὸς παλαιστρικὴν καὶ ἀκροχειρισμόν, οὕτως ἡ μουσικὴ πρὸς τὸ ᾄσαι καὶ κιθαρίσαι καὶ ῥυθμόν. ὁ δὲ ἀπὸ τῶν συστοίχων οὗτος· ὡς ἀπὸ τῆς γυμναστικῆς τὸ γυμναστικῶς εἴρηται, οὕτως ἀπὸ τῆς μουσικῆς τὸ μουσικῶς. ἀκριβῶς δὲ πάνυ πρῶτον τὸ ᾄδειν ὅ ἐστι τῆς γλώττης, εἶτα κιθαρίζειν ὅ ἐστι χειρῶν, εἶτα βαίνειν ὅ ἐστι ποδῶν. τρία δὲ μέρη μουσικῆς· ᾆσμα μέλος ῥυθμός. καὶ περὶ μὲν τὸ ᾆσμα τὸ μακρὸν καὶ βραχύ, περὶ δὲ τὸ μέλος τὸ ὀξὺ καὶ βαρύ, περὶ δὲ τὸν ῥυθμὸν τὸ βραδὺ καὶ ταχύ. O.

110 D. ἀρχὴ τοῦ δευτέρου συλλογισμοῦ. O.

111 A. τὸ ἑλληνίζειν τριττόν. ἢ τὸ τὴν Ἑλληνικὴν συνήθειαν διασώζειν τῶν ὀνομάτων ἐπὶ πάντων· οἱ πολλοί· ἢ τὸ ἀκριβοῦν τὴν Ἑλληνικὴν φωνὴν καὶ τὴν ὀρθότητα τὴν ἐν τῇ προφορᾷ· οἱ γραμματικοί. ἢ τὴν κυριότητα τῶν ὀνομάτων τὴν κατὰ φύσιν προσήκουσαν τοῖς πράγμασιν ἀπονέμειν· οἱ φιλόσοφοι. R.

112 E. ἐμὲ φῃς ταῦτα λέγειν] το τῆς Φαίδρας φησὶν ἐνταῦθα Σωκράτης. τῆς γὰρ τροφοῦ εἰπούσης ὅτι τὸν Ἱππόλυτον λέγεις, φησὶν ὅτι σοῦ τάδε κοὐκ ἐμοῦ κλύεις. οὕτως οὖν καὶ ὁ Σωκράτης· σὺ ταῦτα εἶπες, οὐκ ἐγώ. καὶ ἐνταῦθα πάροδος γίνεται τοῦ τρίτου συλλογισμοῦ, ἐν ᾧ δείκνυσιν ἅτι ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων, οὐχ ὁ ἐρωτῶν. R. ἰδοὺ ὁ ἀμαθὴς καὶ φιλότιμος νέος πῶς ἀποκρίνεται. O.

E. ἀρχὴ τοῦ γ̄ συλλογισμοῦ. O.

113 A. ἑνὶ λόγῳ εἰπὲ] ἀντὶ τοῦ καθόλου εἰπέ. R.

B. ἐκ τῶν ὡμολογημένων] ἐπειδὴ ὡμολόγησε μὴ εἰδέναι τὸ δίκαιον, κέχρηται καταδρομῇ ὁ Σωκράτης ἐλέγχων κατὰ τοῦ Ἀλκιβιάδου, οὐκ ἀπὸ ἀλλοτρίου προσώπου, ὡς Φοίνιξ εἰσάγων τὸν Πηλέα οὕτως ἐλέγχει τὸν Ἀχιλλέα, ἢ Δημοσθένης ἐλέγξαι θέλων τοὺς Ἀθηναίους τῇ καταδρομῇ χρῆται ὡς ἐκ τῶν Ἑλλήνων πάντων, ἀλλὰ τῷ ἐλεγχομένῳ χρῆται Σωκράτης πρὸς μείζονα καταδρομήν. R.

C. σοῦ τάδε κινδυνεύεις] σημείωσαι πῶς χρησιέον τοῖς ποιητικοῖς, ὅτι οὐ κατὰ τὴν τῆς λέξεως ἀκρίβειαν, ἀλλὰ μετὰ τοῦ παρῳδεῖν αὐτὰ ἐπὶ τὸ πεζοφανέστερον. R.

D. εἰ ὅ τι μάλιστα] ἄρχεται τοῦ ἐλέγχου, καὶ δείκνυσιν αὐτὸν μὴ εἰδότα τὰ συμφέροντα, ἐκ τῆς ἀντιπαραστάσεως. πολλῶν γὰρ δεῖται λόγων ἡ ἔνστασις, ὅτι ταὐτόν ἐστι δίκαιον καὶ συμφέρον, ὃ ἐφεξῆς δείξει. νῦν δέ φησιν ὅτι εἰ μὲν ταὐτόν ἐστι τὸ δίκαιον καὶ τὸ συμφέρον, ἐδείχθης δὲ μὴ εἰδὼς τὸ δίκαιον, οὐδὲ τὸ συμφέρον ἄρα· εἰ δὲ ἕτερον, δειχθείης δὲ μὴ εἰδὼς τὸ συμφέρον, διὰ τῶν αὐτῶν λόγων δύο ἀνθ' ἑνὸς δειχθήσῃ ἀγνοῶν. R.

E. σκευαρίων] οὐδὲ γὰρ δέος μὴ κατατριβήσονται οἱ λόγοι δίκην τῶν σκευαρίων, ἃ δὴ σημαίνει τρία, ἢ τὰ σκεύη κοινῶς, ἢ τὴν τρυφήν, ἢ ὡς νῦν, τὰς σκευὰς τῶν κωμικῶν καὶ τραγικῶν, ὅ ἐστι τὰ ἐνδύματα. R.

E. τὰς σὰς προδρομὰς] προδρομή ἐστιν, ὅταν ἐν πολέμῳ καταλάβῃ τις φρούριον, ἐξ οὗ δύναται ἀσφαλῶς πολεμεῖν. νῦν δὲ τὸ μὴ ἐρωτᾶσθαι διὰ τῶν αὐτῶν λόγων μετὰ τοῦ Σωκράτους. R S.

114 A. ἐπειδὴ δὲ τρυφᾷς] ἐπειδὴ τρυφηλὸς εἶ, ὡς ἐπὶ τῶν ἁδεστῶν, οὐκέτ' ἂν ἡδέως τοῦ αὐτοῦ γεύσαιο λόγου. R.

Β. *συμφέροντα*] *τὴν ἔνστασιν διὰ τούτων φησίν, ὡς ἔδει σε δεῖξαι ὅτι οὐ ταὐτὸν δίκαιον καὶ συμφέρον. εἰ γὰρ μὴ δείξεις, δειχθήσῃ δύο ἀνθ' ἑνὸς ἀγνοῶν.* R.

115 A. *ἀρχὴ τοῦ ε΄ συλλογισμοῦ.* O.

Β. *πολλοὶ ἐν πολέμῳ*] *ἰδοὺ τῇ μείζονι μάχεται, ὅτι οὐ πᾶν καλὸν ἀγαθὸν διὰ τὰ ἐν τῷ πολέμῳ τραύματα.* R.

Β. *οὐκοῦν τὴν τοιαύτην*] *ἡ πρώτη λύσις, ὅτι δύο δυσὶν ἠκολούθησεν, οὐ δύο ἑνί, οὐ γὰρ ταὐτὸν ἀνδρεία καὶ θάνατος.* R.

116 Β. *ἔτι τοίνυν*] *διὰ τῶν καθ' ἕκαστα δείξας, βούλεται καὶ διὰ τῶν καθ' ὅλου κατασκευάσαι τὸ αὐτό. διὸ καὶ τὸ ἔτι προσέθηκεν.* R.

Β. *εὖ πράττει*] *σημείωσαι ὅτι τὸ εὖ μέσον ἐστὶ τοῦ ἀγαθοῦ καὶ τοῦ καλοῦ.* R.

D. *Πεπαρηθίοις*] *Πεπάρηθος νῆσός ἐστι μία τῶν Κυκλάδων· αὗται δὲ διὰ τὸ τὴν Δῆλον κυκλοῦν οὕτω καλοῦνται.* R.

118 C. *Πυθοκλείδης*] *μουσικὸς ἦν, τῆς σεμνῆς μουσικῆς διδάσκαλος, καὶ Πυθαγόρειος, οὗ μαθητὴς Ἀγαθοκλῆς, οὗ Λαμπροκλῆς, οὗ Δάμων. Ἀναξαγόρας δὲ φυσικὸς φιλόσοφος, ὁ νοῦς ἐπικληθείς, ὅτι τοῦτον πρῶτος πάντων ἐπέστησε τῷ παντί.* R S.

Ε. *τὼ Περικλέους υἱέε*] *Ξάνθιππος καὶ Πάραλος οἱ Περικλέους υἱοί, οὓς καὶ βλιττομάμμας ἐκάλουν. βλίτται γὰρ καὶ βλίττωνες οἱ εὐήθεις, μάμματα δὲ τὰ βρώματα, καὶ τὸ ἐσθίειν Ἀργεῖοι μαμμᾶν ἔλεγον· ἐκ τούτων οὖν σύνθετον ὁ βλιττομάμμας, ὁ ἐσθίων εὐήθως, ὡς καὶ συκομάμμας ὁ συκοφάγος. ὁ δὲ Κλεινίας αὐθάδης οὕτως ὡς μηδενὶ τῶν συμβούλων προσέχειν.* R S.

119 A. *Ζήνων*] *ὁ Ἐλεάτης Παρμενίδου μαθητής, φυσικὸς φιλόσοφος καὶ πολιτικὸς ὡς ἀληθῶς· διὸ καὶ πρὸς Περικλέα παραβάλλεται φαινομένως ὄντα πολιτικόν. τούτου Πυθόδωρος ἀκροατής, ὃς καὶ ἐν Παρμενίδῃ μνήμης ἠξίωται ὡς Ἀντιφῶντι τῆς συνουσίας ἐκείνης μεταδούς, παρ' οὗ Κέφαλος ὁ Κλαζομένιος μαθὼν διδάσκαλος γέγονε. Καλλίας δὲ Ἀθηναίων στρατηγὸς ἔνδοξός τε πολιτικὸς καὶ αὐτός.* R S.

A. *τί οὖν διανοεῖ*] *ἐντεῦθεν τὸ δεύτερον τοῦ διαλόγου κεφάλαιον, τὸ πεῖθον μεταβαίνειν ἀπὸ τῆς φυσικῆς ἀρετῆς ἐπὶ τὴν πολιτικήν.* R.

A. *πότερον ἐᾷν*] *τὸ Ὁμηρικὸν νῦν παραφράζει ῥητόν·*

νήπιος εἶς, ὦ ξεῖνε, λίην τόσον ἠὲ χαλίφρων,
ἠὲ ἑκὼν μεθίεις καὶ τέρπεαι ἄλγεα πάσχων.

πᾶς γὰρ μὴ μανθάνων ἢ φύσεως ἀντιπραττούσης πάσχει τοῦτο, καὶ ἔστιν ὁ τοιοῦτος νήπιος καὶ ἠλίθιος· ἢ δύναται μέν, οἴεται δὲ ἀνωφελῆ εἶναι τὰ μανθανόμενα, καὶ διὰ τοῦτο οὐκ ἐπιτείνεται πρὸς αὐτά, καὶ ἔστιν ὁ τοιοῦτος χαλίφρων καὶ μαινόμενος· ἢ οἴεται μὲν ὠφέλιμα εἶναι, ῥᾳθυμεῖ δὲ καὶ βλακεύει, καὶ ἔστιν ὁ τοιοῦτος ἑκὼν μεθίων καὶ μὴ προσέχων τὸν νοῦν. R.

B. *πράγματα*] *ἀντὶ τοῦ φροντίδας.* R.

120 A. *ὀρτυγοτρόφον*] *εἰρωνικῶς. οὗτος ἐπὶ κύκλου τοὺς ὄρτυγας παριστὰς κόπτειν αὐτοὺς ἀλλήλους ἐδίδασκε.* R.

B. *ἀνδραποδώδη*] *παροιμίαν εἶναί φασιν οἱ μὲν ἀπὸ τῶν ἀρτιγενῶν πώλων, οἱ δὲ ἀπὸ εἴδους κουρᾶς προσηκούσης ἀνδραπόδοις, παρ' ὃ καὶ αἱ γυναῖκες τοὺς ἀπὸ δούλων ἐλευθέρους γεγονότας, οὔπω δὲ τὸ ἦθος μεταβαλόντας, ταύτην ἔτι ἔχειν τὴν τρίχα ἔλεγον σκώπτουσαι. οἱ δέ, ὅτι τὰς ἐν τῷ στήθει τρίχας ὁ Πλάτων μεταβαλὼν τὰς ἀνδραποδώδεις φρένας οὕτως ἐκάλεσεν.* R S.

B. *ὅσα μαθήσεως*] *διττὴ ἡ τελειότης ἡμῖν, ἡ μὲν τοῦ λογικοῦ διὰ μαθήσεως γιγνομένη, ἡ δὲ τοῦ ἀλόγου δι' ἀσκήσεως τῶν βελτιόνων ἐθῶν.* R.

E. *Ἡρακλέους τε*] *Ζεὺς-Δανάη, Περσεὺς-Ἀνδρομέδα Κηφέως, Ἀχαιμένης. Ζεὺς-ἄλλαι γυναῖκες· Ἀλκαῖος-Λαονόμη, Ἀμφιτρύων· Ἠλεκτρύων-Λυσιδίκη, Ἀλκμήνη· Ἀμφιτρύων-Ἀλκμήνη, Ἡρακλῆς.* R.

121 A. *εἰς Εὐρυσάκη*] *Ζεὺς-Αἴγινα· Αἰακὸς-Ἐνδηΐς· Τελαμὼν-Περίβοια· Αἴας-Τέκμησσα, Εὐρυσάκης· διὰ μέσου πολλοὶ-πολλαί· Κλεινίας-Δεινομάχη, Ἀλκιβιάδης.* R.

A. *εἰς Δαίδαλον*] *Ζεὺς-Ἥρα· Ἥφαιστος-Γῆ· Ἐρεχθεὺς-Προκρίς· Μητίων-γυνή τις· Εὐπάλαμος-Ἀλκίππη· Δαίδαλος, διὰ μέσου πολλοί, πολλαί. Σωφρονίσκος-Φαιναρέτη, Σωκράτης.* R.

B. *Σαλαμῖνα*] *νῆσον πρὸς τῇ Ἀττικῇ καὶ πόλιν.* R.

B. *Αἴγιναν*] *νῆσον μίαν τῶν Κυκλάδων.* R.

C. *γενέθλιά ἐστιν ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος ἑορτή, γενέσια δὲ ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεθνεῶτος μνήμη.* R.

D. τοῦ κωμῳδιοποιοῦ] ὃν Πλάτωνα καλεῖσθαί φασιν. R.

D. τροφοῦ] αὕτη Λάκαινα τὸ γένος ἦν, Λανικὴ καλουμένη. R.

E. ἑπτέτεις] ἢ διὰ τὸ τὸν λόγον τότε ἄρχεσθαι τελειοῦσθαι, ἢ διὰ τὸ τὸν Ζωροάστρην ζ' γενόμενον ἐτῶν σιωπῆσαι, εἶτα μετὰ λ' χρόνους ἐξηγήσασθαι τῷ βασιλεῖ τῆς ὅλης φιλοσοφίας, ἢ ὡς τῷ Μίθρᾳ οἰκεῖον τὸν ζ' ἀριθμόν, ὃν διαφερόντως οἱ Πέρσαι σέβουσιν. R S.

E. δὶς ἑπτὰ] τότε γὰρ ὁ τέλειος ἐν ἡμῖν ἀποφαίνεται λόγος, ὡς Ἀριστοτέλης καὶ Ζήνων καὶ Ἀλκμαίων ὁ Πυθαγόρειος φασίν. R S.

122 A. Ζωροάστρης ἀρχαιότερος ἑξακισχιλίοις ἔτεσιν εἶναι λέγεται Πλάτωνος· ὃν οἱ μὲν Ἕλληνα, οἱ δὲ τῶν ἐκ τῆς ὑπὲρ τὴν μεγάλην θάλασσαν ἠπείρου ὡρμημένων [παῖδά] φασι, πᾶσάν τε σοφίαν παρὰ τοῦ ἀγαθοῦ δαίμονος ἐκμαθεῖν, τουτέστιν ἐπιτυχοῦς νοήματος· οὗ δὴ εἰς Ἑλληνικὴν φωνὴν μεταφραζόμενον τοὔνομα τὸν ἀστροθύτην δη[illegible] τιμῆσαί τε αὐτὸν τὴν ἀνακεχωρηκυῖαν διαγωγὴν τῶν πολλῶν, καὶ δὴ τὴν τῶν ἐμψύχων ἀποχήν, συγγράμματά τε διάφορα καταλιπεῖν, ἐξ ὧν καὶ δείκνυσθαι τρία μέρη φιλοσοφίας εἶναι κατ' αὐτόν, φυσικόν, οἰκονομικόν, πολιτικόν. R S.

B. ἔλξεις] ὅτι καὶ τὴν ἱματίων ἕλξιν, ἧ φησὶ Πλούταρχος, διαφερόντως Ἀλκιβιάδης ἐπετήδευε. R.

C. σημείωσαι φιλονικίαν διὰ τοῦ ῑ, τὴν φιλίαν τῆς νίκης. R.

D. Μεσσήνης] ὡς Τυρταῖός φησι·

Μεσσήνην ἀγαθὸν μὲν ἀροῦν, ἀγαθὸν δὲ φυτεύειν.
χώρα δέ ἐστιν αὕτη. R.

D. Εἵλωτες παρὰ Λακεδαιμονίοις οἱ νόθοι καὶ ἐξ αἰχμαλώτων δοῦλοι γενόμενοι, ἀπὸ τοῦ Ἕλους, πόλεως ἐν Πελοποννήσῳ·

καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον

φησὶν Ὅμηρος. καὶ εἱλωτεία ἡ δουλεία. R.

123 A. τὸν Αἰσώπου μῦθον] ὁ μῦθος τοιοῦτος. λέων μὴ οἷός τε διὰ γῆρας θηρεύειν ὧν προσεποιεῖτο νοσεῖν, ἵνα δὴ τὰ θηρία πρὸς ἐπίσκεψιν ἰόντα παρ' αὐτὸν κατεσθίοι. δεινὴ δ' ἡ ἀλώπηξ οὖσα τὸν δόλον συνιδεῖν ἐφώρασε, καὶ τοῦ λέοντος αὐ-

χειρόνων ἐπὶ τὰ κρείττω ἐπιστρέφουσαν, καὶ ἄλλως, ὅτι ἀντιστρέφουσιν ἀλλήλαις αἱ πολιτικαὶ ἀρεταί. R.

C. εἰ ἄρα τις] ἐντεῦθεν κατασκευάζει ὑποθετικῶς ὅτι ὁ ἄνθρωπος ἡ ψυχή ἐστι. R.

132 A. τοῦ μεγαλήτορος] παρῳδεῖ τὸ ἔπος

δῆμος Ἐρεχθῆος μεγαλήτορος.

εὐπρόσωπος δὲ κατὰ τὴν ὁλότητα, ἐπεὶ κατὰ τὸν καθ' ἕνα ἕκαστον αὐτοῦ εὐτελής. R.

E. κάπηλα] τὰ φυσικά, οἷον ὕαλον ἢ κέρας. R.

133 C. ἆρ' οὖν μὴ γινώσκοντες] συλλογισμὸς δεικνύων ὅτι ὁ ἑαυτὸν ἀγνοῶν οὐκ ἔστι πολιτικός, πρότασις ἡ λέγουσα οὐδὲ τὰ ἑαυτοῦ οἶδεν. R.

E. ὅστις δὲ] ἐνταῦθα ἡ δευτέρα πρότασις τοῦ συλλογισμοῦ. R.

E. οὐκ ἄρα] τὸ συμπέρασμα, ὅτι ὁ ἑαυτὸν ἀγνοῶν οὐκ ἔστι πολιτικὸς οὐδ' οἰκονομικὸς οὐδ' ἠθικός. R.

134 B. εἰ δὴ μέλλεις] συλλογισμοῦ πρώτη πρότασις· ὁ τὰ τῆς πολιτείας μέλλων πράττειν ὀρθῶς ἀρετῆς τοῖς πολίταις μεταδίδωσιν. R.

C. δύναιτο δ' ἄν τις] δευτέρα πρότασις· οὐδεὶς ἀρετῆς τοῖς πολίταις μεταδιδοὺς δύναται μὴ ἔχειν ἀρετήν. R.

135 C. ἵνα μὴ ὀνομάζωμεν] τῇ ἀποσιωπήσει ἐξογκοῖ τὸ πρᾶγμα, οἷον τὸ δουλοπρεπές. R.

D. τὸ μὲν σὸν] ἐγὼ μὲν ἐραστής, σὺ δὲ ἐρώμενος. R.

E. πελαργοῦ] ἐπειδὴ τοὺς πελαργούς φασι γηράσαντας τοὺς γονεῖς ἀμοιβαίας κομιδῆς ἀξιοῦν, ἧς ἔτυχον ἐν τῇ νεοττείᾳ παρ' αὐτῶν. R.

ΕΙΣ ΤΟΝ ΔΕΥΤΕΡΟΝ ΑΛΚΙΒΙΑΔΗΝ.

P. 140 D. ἐνεοὺς] ἀφώνους, κωφούς, ἐξεστηκότας, νωθρούς, νωχελεῖς, μετεώρους. R.

147 A. ἐπουρίσῃ] ἀποπέμψῃ, ἢ ὡς νῦν, ἐφορμήσῃ. R.

C. φθονερὸς ὁ ἐπὶ τοῖς εὐπραγοῦσιν ἀχθόμενος καθ' ἑαυτόν. ἔστι δὲ καὶ ὁ ἐπίφθονος φθονερός. διαφέρει δὲ βασκά-

νου· ὁ γὰρ βάσκανος ὑπὸ φθόνου καὶ συκοφαντεῖ καὶ κακηγορεῖ, ἀπὸ τοῦ βαβάκτου ἴσως. ἔστι δὲ βαβάκτης ὁ κράκτης καὶ μανιώδης. R.

D. τὸ φαῦλον ἐπὶ τεσσάρων ἐννοιῶν τάσσεται, κατ' ἐναντιότητα παραλαμβανομένων. ἐπὶ ἁπλότητος καὶ εὐηθείας Δημοσθένης· οὐ γὰρ εἰ φαύλοις ὑμεῖς προστάταις χρῆσθε· ἐπὶ δὲ τοῦ ἐπαίνου Εὐριπίδης·

φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν·

ἐπὶ δὲ μεγέθους, φαῦλον στόμα ἀντὶ τοῦ μέγα· ἐπὶ δὲ μικρότητος εὐθέως ἐν ἀρχῇ τοῦ κατ' Ἀριστοκράτους. λέγουσι δὲ καὶ τὴν φαυλίαν ἐλαίαν μικρόκαρπον οὖσαν οὕτως ὀνομάζεσθαι. ἐκνενίκηκε μέντοι τὴν παλαιὰν χρῆσιν ἡ εἰς τὸ κακὸν μετάληψις· φαῦλον γὰρ οἱ πλεῖστοι τὸ κακὸν ἐξακούουσι. R S.

149 A. δωροδόκοι καὶ οἱ δῶρα λαμβάνοντες καὶ οἱ δῶρα διδόντες. Δημοσθένης ἐν Φιλιππικῷ ἐπὶ τοῦ Ζελείτου Ἀρθμίου ἔφη δωροδόκος, ὅπερ ἐν ἴσῳ κεῖται τῷ δῶρα διδούς. ἐπὶ δὲ τοῦ δῶρα λαμβάνειν πολλὴ ἡ παράθεσις, ὥσπερ καὶ ἐνταῦθα. R.

ΕΙΣ ΤΟΝ ΙΠΠΑΡΧΟΝ.

P. 226 C. συλλήβδην] λείπει τὸ εἰπεῖν ὃ προσυπακουστέον. O.

228 B. Φιλαΐδαι] δῆμος Αἰγηΐδος. R.

229 A. στεῖχε] ἴθι, πορεύου. R.

A. Στειριακῇ ὁδῷ] Στειριὰ δῆμος Πανδιονίδος, ἀφ' οὗ ἡ ὁδὸς οὕτω καλεῖται. R.

C. διὰ τὴν τῆς ἀδελφῆς ἀτιμίαν] Θουκυδίδης οὕτω φησίν. O.

D. τέως] δηλοῖ τὸ πρὸ τοῦ. Δημοσθένης· ὁ τέως προσκυνῶν τὴν θόλον. Ἀριστοφάνης Θεσμοφοριαζούσαις·

ἃ 'γὼ μόλις
στεφανηπλοκοῦσ' ἔβοσκον ἐν ταῖς μυρρίναις,
τέως μὲν οὐκ ἄν . . . . .

σκάλου φασίν, οὐκ εἰς διδάσκαλον. οὕτως οὖν κἀνταῦθα γενικὴ ἀντ' αἰτιατικῆς. O.

127 C. ἔμβραχυ] ὅπερ ἂν εἴποι τις εὐχερῶς εἰπεῖν ἐθέλων ἢ ἁπλῶς, τοῦτο ἔμβραχυ λέγεται. ἔμβραχυ οὖν συντόμως καὶ ἁπλῶς. Ὑπερείδης ἐν τῷ κατὰ Ἀριστοφῶντος· οἶδε γὰρ αὐτῷ δεδομένην ἄδειαν καὶ πράττειν καὶ γράφειν ὅ τι ἂν ἔμβραχυ βούληται. Ἀριστοφάνης Θεσμοφοριαζούσαις·

ποῦ δ' οὐχὶ διαβέβληκεν, ὅπου περ ἔμβραχυ
εἰσὶν θεαταὶ καὶ τραγῳδικοὶ χοροί;

Κρατῖνος Ὥραις·

ἔδει παρέχειν, ὅ τί τις εὔξαιτ' ἔμβραχυ. R S.

E. Ἀναγυροῦς δῆμος Αἰαντίδος, ἀφ' οὗ Ἀναγυράσιοι. R.

ΕΙΣ ΤΟΝ ΧΑΡΜΙΔΗΝ.

P. 153 A. Ποτίδαια] πόλις Θράκης ἐν Μακεδονίᾳ, κτίσμα Κορινθίων. O.

A. καταντικρὺ] ἀντικρὺ παρὰ μὲν Ὁμήρῳ ἐστὶ τὸ κατ' εὐθὺ καὶ ἐξ ἐναντίας·

ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα
ἔγχος·

καὶ παρὰ Θουκυδίδῃ ἐν τῇ δευτέρᾳ ὁμοίως· οἰόμενοι πύλας τὰς θύρας τοῦ οἰκήματος εἶναι, καὶ ἀντικρὺ διέξοδον εἰς τὸ ἔξω. παρὰ Δημοσθένει δὲ ἐν τῷ κατὰ Ἀριστοκράτους ἀντὶ τοῦ φανερῶς· γράψας, ὥσπερ νῦν ἐγὼ τοῖς ῥήμασιν, οὕτως ἀντικρύ. καὶ Θουκυδίδης ἐν τῇ ὀγδόῃ· σωφροσύνην λαβοῦσαι αἱ πόλεις καὶ ἄδειαν τῶν πραττομένων ἐχώρησαν ἐπὶ τὴν ἀντικρὺ ἐλευθερίαν, τὴν φανερὰν λέγων. σημαίνει δὲ καὶ τὸ ταχέως καὶ ὁλοσχερῶς. Ὅμηρος·

Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστὰς
πλῆξ' ἄορι μεγάλῳ, αἰχμὴν παρὰ καυλὸν ὄπισθεν,
ἀντικρὺ δ' ἀπάραξε.

καὶ τὸ ἐκ τοῦ ἐναντίου·

ἀντικρὺ δ' ἀπαλοῖο δι' αὐχένος ἦλυθ' ἀκωκή. R S.

C. ἐπιεικῶς] ἱκανῶς, ἐπίπαν, φιλικῶς, εὐγνωμόνως καὶ ἐπιμελῶς· ἔσθ' ὅτε καὶ ἀντὶ τοῦ συνεχῶς. καὶ ἐπιεικὴς ὁ μέτριος. R.

D. ἄδην] ἅλις, εἰς κόρον, ἱκανῶς, δαψιλῶς, ἀρκούντως. R.

154 B. λευκὴ στάθμη] παροιμία ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, κἂν τούτῳ μηδὲν συνιέντων. ἡ γὰρ ἐν τοῖς λευκοῖς λίθοις στάθμη λευκὴ οὐδὲν δύναται δεικνύναι, διὰ τὸ μὴ παραλλάττειν καθάπερ ἡ διὰ τῆς μίλτου γινομένη, ὡς Σοφοκλῆς Κηδαλίωνι·

τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι,
οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη.

ἔστι δὲ στάθμη σπάρτος τεκτονική. κατ' ἔλλειψιν δὲ εἴρηται ἡ παροιμία· διὸ καὶ ἀσαφὴς ἐγένετο. τὸ δὲ ὅλον ἐστὶ τοιοῦτον· ἐν λευκῷ λίθῳ λευκὴ στάθμη. R S.

155 A. ἔτι τυγχάνει] γρ. εἴ γ' ἐτύγχανε. R.

D. ἐπ' ἐμαυτοῦ ἦν] γρ. ἐν ἑαυτῷ ἦν. R. ἀπόλοιο δῆτ' ὦ Πλάτων οὕτως ἐπιβούλως ψυχαῖς ἀφελέσι τὸν λόγον προσενεγκών. O.

157 C. ὥμοσα] γρ. καὶ ὁμώμοκα. R.

D. ὅτι πλείστων δοκεῖ πολὺ σωφρονέστατος] γρ. καὶ ὅτι πάνυ πολὺ δοκεῖ σωφρονέστατος. R.

E. γενήσεται] γρ. καὶ γεννήσειαν. R.

158 B. δοκεῖς μοι οὐδένα τῶν πρὸ σοῦ ἐν οὐδενὶ ὑπερβεβληκέναι] γρ. καὶ δοκεῖς μοι οὐδένα τῶν προγόνων καταισχύνειν. R.

C. ὅτι ἄλογον] γρ. καὶ ὅτι οὐ ῥᾴδιον. R.

159 B. οὐ τῶν παλῶν] ἐπηρεάζεις τῷ λόγῳ, ὦ Σώκρατες, σοφιστικῶς τὸν καλὸν παρακρουόμενος Χαρμίδην. εἰ γὰρ καὶ μὴ ἱκανῶς τὸν περὶ σωφροσύνης ἀποδέδωκε λόγον, ἀλλ' οὖν οὐχὶ καὶ ὅλῳ καὶ παντὶ διαφέροντα. μέρος γοῦν καὶ τὸ ἡσυχῇ τι καὶ κοσμίως πράττειν σωφροσύνης. ἡσυχῇ δὲ ἀντὶ τοῦ ἀταράχως φημί· σὺ δὲ ὁμωνύμως τὸ ἡσυχῇ ἀντὶ τοῦ νωθρῶς ἐκδεχόμενος δῆλος εἶ σοφιστεύων τὴν ἐπιχείρησιν. O.

161 E. στλεγγίδα] στλεγγὶς ξύστρα· τὸ πάλαι δὲ ἡ τοῦ καλάμου κόμη παρὰ Λάκωσιν, ᾗ ἀπεμάσσοντο. στλεγγίσματα δὲ τὰ περιξύσματα. κυρίως δὲ καλάμιναι ξύστραι. ὁ δὲ Θυατειρη-

νὸς στλεγγίδα μὲν τὴν ξύστραν, στλαγγίδα δὲ τὸ χρυσοῦν στεφάνιον. R.

163 B. ἐπ' οἰκήματος] ἐπὶ τοῦ δεσμωτηρίου, ὡς Λυσίας, ἢ ἐπὶ πορνείου, ὡς Ἀττικοί. R.

165 A. παροιμία ἐγγύα, πάρα δ' ἄτα, ἐπὶ τῶν ῥᾳδίως ἐγγυωμένων καὶ κακῶς ἀπαλλαττόντων. λέγουσι δ' αὐτὸ ἐν Δελφοῖς ἀναγεγράφθαι. οἱ δὲ εἶπον αὐτὴν οὐχ οὕτως ἔχειν, ἀλλὰ μόνον ἐγγύη ἄτη· καὶ παρέχουσι μάρτυρα τούτου Κρατῖνον τὸν νεώτερον λέγοντα·

εἰς ἐγγύας τρεῖς εἰσπεσὼν ἀνηρέθην.
οὕπω τότ' ἐν Δελφοῖσιν ἦν τὰ γράμματα
τὴν ἐγγύην ἄτην *λέγοντ'; ἦν,* ἀλλ' ἐγὼ
φιλέταιρον εἶχον ἦθος.

ὅτι δέ ἐστιν ἐν Δελφοῖς ἐγγύα, πάρα δ' ἄτα, δῆλον ποιεῖ Πλάτων Χαρμίδῃ, λέγων· ὃ δή μοι δοκοῦσι παθεῖν καὶ οἱ τὰ ὕστερα γράμματα ἀναθέντες, τό τε μηδὲν ἄγαν καὶ τὸ ἐγγύα, πάρα δ' ἄτα. R S.

E. λογιστικὴ ἐστι θεωρία τῶν ἀριθμητῶν, οὐχὶ δὲ τῶν ἀριθμῶν μεταχειριστική, οὐ τὸν ὄντως ἀριθμὸν λαμβάνουσα, ἀλλ' ὑποτιθεμένη τὸ μὲν ἓν ὡς μονάδα, τὸ δὲ ἀριθμητὸν ὡς ἀριθμόν, οἷον τὰ τρία τριάδα εἶναι καὶ τὰ δέκα δεκάδα· ἐφ' ὧν ἐπάγει τὰ κατὰ ἀριθμητικὴν θεωρήματα. θεωρεῖ οὖν τοῦτο μὲν τὸ κληθὲν ὑπ' Ἀρχιμήδους βοεικὸν πρόβλημα, τοῦτο δὲ μηλίτας καὶ φιαλίτας ἀριθμούς, τοὺς μὲν ἐπὶ φιαλῶν, τοὺς δὲ ἐπὶ ποίμνης· καὶ ἐπ' ἄλλων δὲ γενῶν τὰ πλήθη τῶν αἰσθητῶν σωμάτων σκοποῦσα, ὡς περὶ τελείων ἀποφαίνεται. ὕλη δὲ αὐτῆς πάντα τὰ ἀριθμητά· μέρη δὲ αὐτῆς αἱ Ἑλληνικαὶ καὶ Αἰγυπτιακαὶ καλούμεναι μέθοδοι ἐν πολλαπλασιασμοῖς καὶ μερισμοῖς, καὶ αἱ τῶν μορίων συγκεφαλαιώσεις καὶ διαιρέσεις, αἷς ἰχνεύει τὰ κατὰ τὴν ὕλην ἐμφωλευόμενα τῶν προβλημάτων τῇ περὶ τοὺς τριγώνους καὶ πολυγώνους πραγματεία. τέλος δὲ αὐτῆς τὸ κοινωνικὸν ἐν βίῳ καὶ χρήσιμον ἐν συμβολαίοις, εἰ καὶ δοκεῖ περὶ τῶν αἰσθητῶν ὡς τελείων ἀποφαίνεσθαι. R.

E. γεωμετρικῆς] γεωμετρία ἐστὶν ἐπιστήμη θεωρητικὴ μεγεθῶν καὶ σχημάτων, καὶ τῶν περιοριζουσῶν καὶ περατουσῶν ταῦτα ἐπιφανειῶν καὶ γραμμῶν, τῶν τε ἐν τούτοις παθῶν καὶ σχέσεων, καὶ ἐνεργειῶν ἐν μορφαῖς, καὶ κινήσεων ἐν ποιότησι.

πάθη μὲν οὖν λέγεται τὰ περὶ τὰς διαιρέσεις, σχέσεις δὲ οἱ τῶν μεγεθῶν πρὸς ἄλληλα λόγοι καὶ θέσεις καὶ καθ' αὐτὰ ἐπιβάλλουσιν ἡμῖν αὐτοῖς καὶ πρὸς ἄλληλα συγκρίνουσιν. R.

166 B. πλείω τῶν ἐπιστημῶν] γρ. καὶ πασῶν τῶν ἐπιστημῶν. R.

C. πολλοῦ δεῖ] ἀντὶ τοῦ οὐδαμῶς. O.

167 A. τὸ τρίτον τῷ σωτῆρι, ἐπὶ τῶν τελείως τι πραττόντων. τὰς γὰρ τρίτας σπονδὰς καὶ τὸν τρίτον κρατῆρα ἐκίρνων τῷ Διὶ τῷ σωτῆρι. τέλειος γὰρ ὁ τρία ἀριθμός, ἐπειδὴ καὶ ἀρχὴν καὶ μέσον καὶ τέλος ἔχει, καὶ πρῶτος οὗτος τῶν ἀριθμῶν ἀρτιοπέριττος. τέλειος δὲ καὶ ὁ Ζεύς, ὥστε κατὰ λόγον τρίτον τῷ Διὶ σπένδεταί τε καὶ ὁ κρατὴρ τρίτος τίθεται. Σοφοκλῆς Ναυπλίῳ· καὶ Διὸς σωτηρίου σπονδὴ τρίτου κρατῆρος, καὶ Πλάτων Πολιτείαις καὶ ἐνταῦθα. R S.

172 C. ἀλλ' ἴδωμεν] γρ. καὶ ἀλλὰ δῶμεν. R.

175 C. ἀμωσγέπως] τοῦτο ἐν ἴσῳ τῷ καθ' ὁντινοῦν τρόπον. ἔνιοι τὸ μετρίως. παρὰ Πλάτωνι τὸ ἐκ παντὸς τρόπου. R.

E. ἐπῳδῆς] γρ. καὶ ἐπῳδίας. R.

176 B. ὁσημέραι] διὰ παντός, πάντοτε, καθ' ἡμέραν. R.

ΕΙΣ ΤΟΝ ΛΑΧΗΤΑ.

P. 180 B. παρακαλεῖς] ἀντὶ τοῦ καλεῖς εὐχρήστως ἄγαν. O.

183 E. στύρακος] στύραξ κέντρον, κέρας, ἐπιδορατίς. R.

187 B. ἐν τῷ Καρὶ ὑμῖν ὁ κίνδυνος] ἐπὶ τῶν ἐπισφαλέστερον καὶ ἐν ἀλλοτρίοις κινδυνευόντων· Κᾶρες γὰρ δοκοῦσι πρῶτοι μισθοφορῆσαι, ὅθεν καὶ εἰς πόλεμον αὐτοὺς προέτατον. ἐντεῦθεν γὰρ καὶ τοὺς μικροὺς στρατιώτας τινὲς Καρίωνας προσηγόρευον· καὶ τὸ παρ' Ὁμήρῳ δὲ ἐν Καρὸς αἴσῃ ἐν τῷ τυχόντι τινὲς ἀκούουσι. μέμνηται δ' αὐτῆς Ἀρχίλοχος λέγων·

καὶ δὴ 'πίκουρος ὥστε Κὰρ κεκλήσομαι,

καὶ Ἔφορος ἐν α' ἱστοριῶν, καὶ Φιλήμων ἐν Γάμῳ·

ἐν Καρὶ τὸν κίνδυνον οἶδα, δέσποτα,

καὶ Εὐριπίδης Κύκλωπι·

δράσω τάδ'· ἐν *τῷ* Καρὶ κινδυνευτέον.
καὶ Κρατῖνος Βουκόλοις·
ἐν Καρὶ τὸν κίνδυνον· ἐν ἐμοὶ δὴ δοκεῖ
πρώτῳ πειρᾶσθαι.
καὶ Πλάτων ἐνταῦθα. R S. ἐν τῷ Καρὶ ἀντὶ τοῦ ἐν τῷ δούλῳ· καὶ γὰρ οἱ παλαιοὶ τῶν Ἑλλήνων ἀπὸ Καρῶν καὶ Θρᾳκῶν τοὺς δούλους ἐποιοῦντο, ἔνθεν τοὺς δούλους Κᾶρας ὠνόμαζον καὶ Θρᾷκας, καὶ τὰς δούλας Θρᾴττας καὶ Καείρας. O.

B. ἐν πίθῳ τὴν κεραμείαν] παροιμία ἐπὶ τῶν τὰς πρώτας μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων καὶ ἤδη τῶν τελειοτέρων. κέχρηται δὲ αὐτῇ Ἀριστοφάνης ἐν Προαγῶνι καὶ Πλάτων ἐν Γοργίᾳ, λέγων· τὸ λεγόμενον δὴ τοῦτο, ἐν πίθῳ τὴν κεραμείαν ἐπιχειρεῖν μανθάνειν, καὶ ἐνταῦθα. R S.

191 C. γερροφόροις] τὰ σκεπάσματα πάντα οἱ Ἀττικοὶ γέρρα ἔλεγον. τινὲς δὲ δερμάτινα σκεπάσματά τινα καὶ Περσικά, οἷς αντὶ ἀσπίδων ἐχρῶντο. οἱ δὲ γέρρα τὰς σκηνάς φασι, καὶ γερροφόρους τοὺς τὰ εἰρημένα φέροντας. R.

192 C. ἡμῖν αὐτοῖς ἀντὶ τοῦ ἀλλήλοις. O.

196 D. οὐκ ἂν πᾶσα ὑς γνοίη] κἂν κύων κἂν ὗς γνοίη, ἐπὶ τοῦ ῥᾳδίου καὶ εὐγνώστου, ὥστε καὶ τὰ ἀμαθέστατα ζῶα καταμαθεῖν. R.

197 A. μῶρον] Ἀττικοὶ οὕτως τὸν μῶρον προπερισπωμένως. O.

C. Αἰξωνὴ δῆμος Κεκροπίδος, καὶ Αἰξωνεῖς οἱ ἐκεῖθεν, οἳ καὶ βλάσφημοι ἐκωμῳδοῦντο εἶναι· παρ' ὃ καὶ αἰξωνεύεσθαί φασι τὸ βλασφημεῖν· ὃ καὶ ἡ Πλατωνικὴ ῥῆσις δηλοῖ. R. ἀντὶ τοῦ ὑπερήφανον· οἱ γὰρ Αἰξωνεῖς εἰς ὑπερηφανίαν ἐσκώπτοντο. O.

201 B. Ὅμηρον] Ἡσιόδου τὸ ῥητόν· πῶς δὲ ὁ σοφὸς Ὁμήρου εἴρηκεν ἀγνοῶ. O.

ΕΙΣ ΤΟΝ ΛΥΣΙΝ.

P. 203 A. Ἀκαδημίας] Ἀθήνησι προάστειον γυμνάσιον ἀλσῶδες, ἀπό τινος Ἀκαδήμου ἥρωος ὀνομασθέν. R.

205 C. κέλησι] ἄξυξιν ἵπποις. R.

C. κρονικώτερα] ἢ τὰ ἀρχαιότερα καὶ παλαιά, ἢ τὰ εὐήθη. R.

D. πρὸ τῆς νίκης ᾄδεις τὸ ἐγκώμιον, ἐπὶ τῶν τὰ πράγματα προλαμβανόντων. R.

206 D. Ἑρμαῖα] Ἓν τῶν Ἑρμοῦ ἐπιτηδευμάτων καὶ ἡ παλαιστρική. ἐπεὶ οὖν παλαίστρα ἡ διατριβή, εἰκὸς τοὺς αὐτόθι φοιτῶντας νέους Ἑρμῇ ἀπαρχομένους τῆς τιμῆς, καθότι ἔφορος τῆς παλαιστρικῆς, Ἑρμαῖα τὴν τελετὴν ὀνομάζειν. λέγεται δὲ καὶ παίδων οὕτως ἀγὼν παρὰ Συρακοσίοις, ὥς φησι Διογενιανός. O.

E. ἀστραγαλίζειν τὸ ἀστραγάλοις παίζειν, ὅπερ καὶ ἀστρίζειν ἔλεγον, ἐπεὶ καὶ τοὺς ἀστραγάλους ἄστριας ἐκάλουν. Καλλίμαχος·

ζορκός τοι, φίλε κοῦρε, Λιβυστίδος αὐτίκα δώσω
. . . . νεοσμήκτους ἄστριας.

ἔνιοι δὲ ἀστρίχους φασίν. παίζεται δὲ ἀστραγάλοις τέσσαρσιν, καὶ εἷς ἕκαστος ἀστράγαλος πτώσεις ἔχει τέσσαρας ἐξ ἑβδομάδος κατὰ ἀντίθετον συγκειμένας ὥσπερ ο κύβος· ἔχει δὲ ἀντικείμενα μονάδα καὶ ἑξάδα, εἶτα τριάδα καὶ τετράδα· ἡ γὰρ δυὰς καὶ πεντὰς ἐπὶ τῶν κύβων μόνων παραλαμβάνεται διὰ τὸ ἐκείνους ἐπιφανείας ἔχειν ἕξ. εἰσὶ δὲ αἱ σύμπασαι τῶν ἀστραγάλων πτώσεις ὁμοῦ τεσσάρων παραλαμβανομένων πέντε καὶ τριάκοντα. τούτων δὲ αἱ μὲν θεῶν εἰσὶν ἐπώνυμοι, αἱ δὲ ἡρώων, αἱ δὲ βασιλέων, αἱ δὲ ἐνδόξων ἀνδρῶν, αἱ δὲ ἑταιρίδων· αἱ δὲ ἀπό τινων συμβεβηκότων ἤτοι τιμῆς ἕνεκα ἢ χλεύης προσηγόρευνται. λέγεται δέ τις ἐν αὐταῖς Στησίχορος καὶ ἑτέρα Εὐριπίδης, Στησίχορος μὲν ὁ σημαίνων τὴν ὀκτάδα, ἐπεὶ ὁ ἐν Ἰέρα τοῦ μελοποιοῦ τάφος ἐξ ὀκτὼ γωνιῶν συνέκειτο, Εὐριπίδης δὲ ὁ τὸν τεσσαράκοντα· εἷς γὰρ Εὐριπίδης τῶν τεσσαράκοντα Ἀθήνησι προστατῶν τῶν μετὰ τὴν τῶν λ΄ τυράννων καταστάντων κατάλυσιν. τῶν δὲ βόλων ὁ μὲν τὰ ἓξ δυνάμενος Κῶος καὶ ἑξίτης ἐλέγετο, Χῖος δὲ ὁ τὸ ἓν καὶ κύων. λέγεται δέ τις καὶ παροιμία ἀπὸ τούτου, οἷον Χῖος παραστὰς Κῶον οὐκ ἐάσω· ἀφ᾽ οὗ καὶ Στράττις Λιμνοπέδαις·

Χῖος παραστὰς Κῶον οὐκ ἐᾷ λέγειν.

ἔπαιζον δὲ ἀστραγάλοις καὶ πολλοῖς καθάπερ παρ[illegible]

γοις, τοῦ δὲ εἴδους τῶν πολλῶν τὸ μὲν ἀρτιασμὸν ἔλεγον, τὸ δὲ τρόπα, τὸ δὲ ὥμιλλαν. Ο. ἀρτιασμὸς μὲν οὖν ἐστὶ τὸ δραξάμενον ἀστραγάλων ἢ τινων ἄλλων ἐξετάζειν τὸν συμπαίζοντα, πότερον ἀρτίους ἢ περισσοὺς κατέχει, ὡς καὶ Ἀριστοφάνης Πλούτῳ·

στατῆρσι δ' οἱ Θεράποντες ἀρτιάζομεν. R O S.

τρόπα δ' ἐστὶν ἡ εἰς βόθυνον ἐκ διαστήματος βολή. Κρατῖνος Πυλαίᾳ·

ἢ Διονυσίοις ἀκόλοις παίζουσ' ἀνέμενοι τρόπα.

ἡ δὲ ὥμιλλά ἐστιν ὅταν περιγράψαντες κύκλον ἐπιρρίπτωσιν ἀστραγάλους ἢ τι ἄλλο, ὡς τῇ μὲν ἐντὸς βολῇ νικώντων τῇ δὲ ἐκτὸς ἡττωμένων. Εὔπολις Χρυσῷ γένει μεταφέρων ἐπὶ τὴν ἐκ κυκλώπων κατάκλισιν τοὔνομα οὕτως φησίν· ἔπειτ' εἶσειμι ἐνθάδε μείνας εἰς ὥμιλλαν κἂν μὴ μετίῃ. Ο.

Ε. παιδιά τις τὸ ἀρτιάζειν, ἐν ᾗ τοὺς ἀρτίους καὶ περισσοὺς ἀριθμοὺς καταστοχάζονται. σημαίνει δὲ καὶ τὸ πληροῦν καὶ συντελεῖν. Ο.

Ε. φορμίσκων] καλαθίσκων. R. πλεκτῶν ἀγγείων ἤτοι σπυρίδων. φορμίον δὲ πλέγμα τι ψιαθῶδες παρ' Ἱππώνακτι. Ο.

207 B. ἐπηλυγισάμενος] ἐπισκιασάμενος, ἐπικρυψάμενος· λύγη γὰρ ἡ σκιά. R.

D. παιδοτρίβην] ἀλείπτην, γυμναστήν. R.

208 A. ὀρικοῦ] τοῦ ἡμιονικοῦ· ὀρεὺς γὰρ ὁ ἡμίονος. R.

209 B. ψῆλαι] τὸ ἄνευ πλήκτρου τῷ δακτύλῳ τὰς χορδὰς ἁπαφᾶσθαι. Ο. γρ. καὶ τίλλαι. R.

216 A. ὥς γε οὑτωσὶ ἀκοῦσαι] ἀντὶ τοῦ κατ' αὐτὴν τὴν ἀκοήν, κατ' αὐτὴν τὴν πρώτην ἔντευξιν. Ο.

A. ἀλλόκοτον, ἐξηλλαγμένον καὶ ἰδιότροπον. R.

C. τὸ καλὸν φίλον] ἐπὶ τῶν τὸ συμφέρον αἱρουμένων. R.

219 D. μὴ μάλιστα ἄλλα] γρ. καὶ μὴ ἡμᾶς τἄλλα. R.

222 B. ἀπολεῖν] γρ. καὶ ἀπολιπεῖν καὶ ἀποβαλεῖν. R.

ΕΙΣ ΤΟΝ ΕΥΘΥΔΗΜΟΝ.

P. 271 B. σκληφρὸς] ὁ τῷ μὲν χρόνῳ πρεσβύτερος, τῇ δὲ ὄψει νεώτερος δοκῶν· προφερὴς δὲ ὁ τῷ μὲν χρόνῳ νεώτερος, τῇ δὲ ὄψει πρεσβύτερος. R. οὕτως λέγεται καὶ παρὰ Ἀριστοτέλει ὁ ἰσχνὸς καὶ λεπτὸς τὸ σῶμα. O.

278 B. σκολύθρια] ταπεινὰ διφρία. ἔνιοι δὲ ὑποπόδια. R.

281 D. γέγονεν] γρ. πέφυκεν. R.

285 C. τῇ Μηδείᾳ] αὕτη γὰρ συνεβούλευσεν, ἀπὸ Κόλχων μετὰ Ἰάσονος εἰς Ἰωλκὸν ἐλθοῦσα, ταῖς Πελίου θυγατράσιν ἵνα, εἰ τοῦτον βούλοιντο νέον γενέσθαι, ἐψηθῇ. R.

291 B. κόρυδοι ὄρνιθες ὄρτυξιν ὅμοιοι, οὓς ἔνιοι μὲν κορυδάλλους φασί, Γῆς καὶ Ἀθηνᾶς ἱεροί. R.

292 E. Διὸς Κόρινθος ἐπὶ τῶν ἄγαν μὲν ὑπερσεμνυνομένων, κακῶς δὲ καὶ πονηρῶς ἀπαλλαττόντων. τῶν γὰρ Κορινθίων βαρέα τοῖς Μεγαρεῦσιν ἀποίκοις οὖσιν ἐπιταττόντων τὸ μὲν πρῶτον ὑπήκουον· ὡς δὲ ὕβρεως οὐδὲν ἀπελίμπανον οἱ Κορίνθιοι, ἐλπίσαντες οἱ Μεγαρεῖς οὐδὲν ἂν παθεῖν ἀποστάντες, παραχρῆμα τῶν Κορινθίων ἀφίστανται. πέμπουσιν οὖν πρέσβεις οἱ Κορίνθιοι κατηγορήσοντας τῶν Μεγαρέων, οἳ παρελθόντες εἰς τὴν ἐκκλησίαν ἄλλα τε πολλὰ διεξῆσαν, καὶ τέλος ὅτι δικαίως ἂν στενάξειεν ὁ Διὸς Κόρινθος ἐπὶ τοῖς γιγνομένοις, εἰ μὴ λήψονται δίκην παρ' αὐτῶν. ἐφ' οἷς παροξυνθέντες οἱ Μεγαρεῖς τούς τε πρέσβεις παραχρῆμα λίθοις ἔβαλον, καὶ μετὰ μικρὸν ἐπιβοηθησάντων τινῶν τοῖς Κορινθίοις καὶ μάχης γενομένης νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποχωρούντων, ἐφεπόμενοι καὶ κτείνοντες ἅμα παίειν ἀλλήλοις τὸν Διὸς Κόρινθον ἐκέλευον. μέμνηται δὲ ταύτης Ἀριστοφάνης ἐν τοῖς Βατράχοις λέγων·

ἀλλ' ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασιν;

καὶ ἐν Ταγηνισταῖς, καὶ Ἔφορος ἐν πρώτῃ ἱστοριῶν, καὶ Πλάτων Εὐθυδήμῳ. ἄλλοι δὲ ἐπὶ τῶν ἐπ' οὐδενὶ τέλει ἀπειλούντων φασὶν εἰρῆσθαι τὴν παροιμίαν· Μεγαρεῦσι γὰρ ὡρμημένοις ἀφίστασθαι ἐπιλέγειν τὸν Κορίνθιον· οὐκ ἀνέξεται ταῦτα ὁ Διὸς Κόρινθος. μέμνηται ταύτης καὶ Πίνδαρος. R S.

293 D. καλὰ δὴ πάντ' ἄγεις] ἀντὶ τοῦ ἀγγέλλεις, ἐπὶ τῶν

αἴσια ἀγγελλόντων. πολλάκις δὲ λέγεται καὶ κατ' εἰρωνείαν. Ἀριστοφάνης Γεωργοῖς καὶ Πλάτων Εὐθυδήμῳ. R S.

297 C. τοῦ λόγου] γρ. τοῦ ὅλου. R.

298 C. λίνον λίνῳ συνάπτεις, παροιμία ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν ἢ λεγόντων ἢ δρώντων, ἢ τὰ ὅμοια εἰς φιλίαν συναπτόντων. μέμνηται δὲ αὐτῆς Ἀριστοτέλης ἐν τῷ γ' τῆς φυσικῆς ἀκροάσεως· οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἐστί, καὶ Στράττις Ποταμίοις καὶ Πλάτων Εὐθυδήμῳ. R S.

D. τῶν ᾠδίων] τῶν κοβίων. R.

301 A. ἔγρυξα] ἔκραξα, ἢ ἐφθεγξάμην, ὡς νῦν. R.

302 C. Ἀπόλλων πατρῷος] φασί τινες Ἀθηναίους αὐτόχθονας φῦναι, καὶ τούτῳ γονέας ἔχειν Γῆν καὶ Ἥλιον, ὃς ὁ αὐτός ἐστιν Ἀπόλλωνι. οἱ δέ, ὅτι Κρεούσῃ τῇ Ἐρεχθέως μιγεὶς Ἀπόλλων Ἴωνα ἐγέννησεν, ἀφ' οὗ καὶ τοὺς Ἀθηναίους ποτὲ Ἴωνας κληθῆναι, καὶ διὰ ταῦτα πατρῷον αὐτοὺς Ἀπόλλωνα ἔχειν. R.

D. ἕρκιος] ἕρκη τοὺς οἴκους Ἀθηναῖοί φασιν· ἐκ τούτου δὲ καὶ Ζεὺς ἕρκιος παρ' αὐτοῖς, ὃν ἵδρυον ἐν τούτοις φυλακῆς χάριν. φρατρία δέ ἐστι τὸ τρίτον μέρος ἑκάστης φυλῆς, καὶ Ἀθηνᾶ φρατρία ἡ τούτου ἔφορος. R S.

303 A. τὸ νῦν βόμβαξ λεγόμενον πύπαξ ἔλεγον, ὡς καὶ Λυκόφρων ᾠήθη. οὐκ ἔστι δέ· τὸ μὲν γὰρ πύπαξ τίθεται καὶ ἐπὶ σχετλιασμοῦ καὶ ἐγκωμίου, τὸ δὲ βόμβαξ οὐκέτι. R S.

305 D. κολούεσθαι] ἐλαττοῦσθαι, ἐμποδίζεσθαι. R.

ΕΙΣ ΤΟΝ ΠΡΩΤΑΓΟΡΑΝ.

P. 309 A. πώγωνος ἤδη ὑποπιμπλάμενος] τῆς αὐτῆς φράσεως καὶ τὸ ἄρτι χνοάζων τὰς παρειάς, καὶ τὸ ἀρτίχνοος, καὶ τὸ ἰούλοις ὑποσκιαζόμενος ἤδη, καὶ τὸ πρῶτος ὑπηνήτης. O.

D. ὦ] θαυμαστικόν. O.

310 A. τῆς παρελθούσης] Ἀττικὸν τοῦτο· τὸ γὰρ κοινὸν τὴν παρελθοῦσαν νύκτα ταύτην ὑπὸ βαθὺν ὄρθρον. O.

315 E. λιπαρῶς] ἐπιμελῶς, προσεδρευτικῶς. R.

330 B. μορίων ἀλλοίων ἐπιστήμη] γρ. οἷον ἐπιστήμη· ἐν ἄλλῳ δὲ μορίων ἀλλοίων. R.

331 D. ἀμῃγέπῃ] ἀντὶ τοῦ ὁπωσοῦν. O.

335 E. δολιχοδρόμοι εἰσὶν οἱ τὸν δόλιχον τρέχοντες, οὗ αἰτίᾳ ἥδε· δρομοκήρυκες ἐξ Ἀρκαδίας ἐφοίτων εἰς τὴν Ἑλλάδα τῶν πολεμικῶν ἄγγελοι, καὶ ἀπείρητο αὐτοῖς ἱππεύειν ἀλλ' αὐτουργοῖς εἶναι τοῦ δρόμου. τὸ ἀεὶ οὖν ἐν βραχεῖ τῆς ἡμέρας διαδραμεῖν στάδια ὁπόσα ὁ δόλιχος, δρομοκήρυκας εἰργάζετο καὶ ἐγύμναζεν ἐν τῷ πολέμῳ. ἡμεροδρόμοι δὲ οἱ ταῖς βασιλικαῖς διατάξεσι ταχύτατα διακονούμενοι. R S.

337 D. πρυτανεῖον] Θεσμοθέσιον, Θόλος. λέγεται δὲ καὶ ἡ ἐπιμήνιος μισθοφορά. R.

338 A. ῥαβδοῦχοι ἄνδρες τῆς τῶν θεάτρων εὐκοσμίας ἐπιμελούμενοι. R.

340 E. εἰς καιρὸν] εὐκαίρως. R.

341 D. πολλοῦ γε δεῖ] τοῦτο καθ' ὑπόκρισιν λέγεται ἀποφατικῶς ἀπὸ τοῦ πολὺ ἐνδεῖ. R.

344 B. χαριέντως] ἀστείως, συνετῶς. σημαίνει δὲ καὶ τὸ μετὰ παιγνιᾶς. R.

348 C. διόρισαι] ἤγουν ἔξω τῶν ὅρων ποίησον. R.

349 E. ἴτας] Θαρραλέους, ἐπὶ πάντα ὁρμῶντας. R.

ΕΙΣ ΤΟΝ ΓΟΡΓΙΑΝ.

P. 447 A. πολέμου] παροιμία, πολέμου καὶ μάχης μεταλαγχάνεις, πρὸς τὸν ἀπολειπόμενον τῆς θυσίας καὶ ὑστερήσαντα. παρεγγυᾷ δὲ ὅτι χρὴ πολέμου καὶ μάχης ἀπολιμπάνεσθαι, λόγων δὲ οὔ. R. παροιμία ἐπὶ τῶν ἔν τινι ὑστεριζόντων λεγομένη. O.

A. μεταλαγχάνειν] ἐλλειπτικῶς εἴρηται τῷ Πλάτωνι. λείπει γὰρ τῇ διανοίᾳ τὸ ἀλλ' οὐχὶ τῆς ἐν λόγοις ἡδονῆς, οἵαν δὴ νῦν παρέσχετο Γοργίας. R.

A. οὕτω] κατὰ τὰ τελευταῖα ἀλλ' οὐκ ἐν ἀρχῇ. O.

A. ἀλλ' ἦ] ἀλλ' ἆρα. O.

A. τὸ λεγόμενον] οὐ πάνυ τὸ λεχθὲν ἀποδέχεται Σωκρά-

Ε. ἐνδέχεται γὰρ ἐν πλήθει διαλεγόμενον ῥήτορα πιθανὸν φαίνεσθαι, ἀλλ' ἐν ἀμαθεῖ καὶ πλημμελῶς κινουμένῳ. Ο.

460 Α. ἔχε δή, ἀντὶ τοῦ μέμνησο. Ο.

Α. ἤτοι πρότερον] ὁ τρίτος δὲ ἐντεῦθεν ἐκ τῶν πραγμάτων ἀποδεικτικὸς ἔλεγχος. R.

Β. * οὐ δεῖ * θαυμάζειν ἐὰν ὁ κατ' ἐπιστήμην ἰατρικὰ εἰδὼς ἔσθ' ὅτε καὶ παρὰ τὸν σκοπὸν τῆς οἰκείας ἐπιστήμης ποιεῖ, δηλητήρια διδοὺς καὶ κατ' ἐκεῖνο ἀνίατρος ὤν, ὁ δὲ κατ' ἐπιστήμην τὰ δίκαια εἰδὼς ἐξ ἀνάγκης δίκαιος. εἰ γὰρ καὶ οἱ δύο ἐπιστήμονες, ἀλλὰ τῷ τρόπῳ διαφέρουσιν, ὁ μὲν περὶ σῶμα, ὁ δὲ περὶ ψυχὴν ἀσχολούμενος, καὶ ἑαυτὸν γινώσκων καὶ ταὐτὸν ἔχων γινῶσκον καὶ γνωστόν· ὁ δὲ ἰατρὸς ἄλλο ἔχει τὸ γινῶσκον καὶ ἄλλο τὸ γινωσκόμενον. Ο.

D. ὡσαύτως δὲ οὕτως] ἡ ἐκ παραλλήλου χρῆσις τῶν ἐπιρρημάτων Ἀττική, ὡς τὸ ἐγὼ εἰμί, καὶ ὡς τὸ ὃς καὶ αὐτὸς τῶν σπουδαίων καὶ φίλων. Ο.

461 Β. πεπλήρωται ἕως τούτων τὰ περὶ Γοργίου. Ο.

Β. ῥητορικὸν] ὁ πολιτικὸς φιλόσοφος κρειττόνως ἐπίσταται τα εἴδωλα τῆς ἐν αὐτῷ νοερᾶς ἕξεως. Ο.

Β. τὰ δίκαια ὁ μὲν Γοργίας καὶ ἀγαθὰ ἐδόξαζεν, ὁ δὲ Πῶλος καλὰ μέν, οὐκ ἀγαθὰ δέ, ὁ δὲ Καλλικλῆς οὔτε καλὰ οὔτε ἀγαθά. διὰ τοῦτο οὖν ὁ Γοργίας συγχωρεῖ τὸν τὰ δίκαια εἰδότα δίκαιον, ὡς ἀγαθῶν ὄντων καὶ διὰ τοῦτο ἐφετῶν. Ο.

D. ἀναθέσθαι] τὸ θέσθαι τὸ ἀντικείμενον τῷ ἤδη κειμένῳ. R.

462 Β. ἀσαφὴς ἡ τοῦ Πώλου ἐρώτησις, πότερον τὸν ὁρισμὸν τῆς ῥητορικῆς ἐπιζητεῖ ἢ τὸ γένος· κατὰ γὰρ τῶν δύο σημαινομένων φέρεται τὸ τίνα φῂς εἶναι. ὅθεν ὁ ἐπιστήμων ἐπανορθοῖ αὐτόν. Ο.

Β. ἡ ῥητορικὴ ἐστιν ἐμπειρία κολακευτικὴ περὶ ... ν πολιτικῆς μορίου εἴδωλον τοῦ δικαστικοῦ ... τό τινα ἐνταυ ... κατηγορήματα ἀλ ... προσδιορισμός. Ο.

Β. συγγράμματι] ἐκ τούτου δῆλον ὅτι οὐχ ὁ ἐξ ἀρχῆς τοῦ Πώλου λόγος αὐτοσχέδιος ἦν, ἀλλὰ σύγγραμμα. R.

C. ἐμπειρία μὲν γὰρ ποιεῖ ἡμῶν τὸν βίον πολιτικὸν κατὰ τέχνην. τοῦτο αἰνίττεται ὡς τοῦ Πώλου τοιοῦτο σύγγραμμα συγγράψαντος. Ο.

C. ἡ ῥητορικὴ, φησὶν, ἀπεργασίας ἐστὶν ἐμπειρία τῆς ἀπεργαζομένης ἡδονὴν καὶ χάριν. O.

D. ὁ ἀμαθὴς σοφιστὴς πλημμελεῖ καὶ περὶ τὰς ἐρωτήσεις καὶ περὶ τὰς ἀποκρίσεις καὶ τὰ ἑπόμενα ταύταις. O.

D. οὔπω, φησί, τὰς συστατικὰς διαφορὰς τοῦ ὅρου ἀποδέδωκά σοι. O.

E. οὐδαμῶς γε] ἐκ δύο καταφατικῶν ἐν δευτέρῳ σχήματι οὐδὲν συμπεραίνεται εἰ μὴ δι' ἀντιστροφῆς. O.

E. ὡς ὅρους ἐξισάζοντας ἔλαβεν ὁ Πῶλος τοῖς λόγοις. O.

E. ἐπιτηδεύσεως] ἰστέον ὅτι διαφέρει ἐπιτήδευμα καὶ ἐπιτήδευσις· αὕτη μὲν γὰρ ἐνέργειαν δηλοῖ, ἐκεῖνο δὲ οἷον οὐσίαν, ὡς φησι Πλούταρχος. οὕτως οὖν καὶ ἀκοὴ καὶ ἄκουσις, καὶ ψόφος καὶ ψόφησις, τὰ μὲν οἷον οὐσίαν τὰ πρῶτα, τὰ δὲ οἷον ἐνέργειαν. R.

463 A. ὅρος κολακείας, ἥ ἐστιν ἐπιτήδευμα ἄτεχνον ψυχῆς στοχαστικῆς καὶ ἀνδρείας καὶ φύσει ὁμιλεῖν τοῖς ἀνθρώποις ... ἡδονῆς ἀπεργαστικόν. O.

O. πᾶσα κολακεία ἐκ τριῶν τινῶν ὀφείλει συνίστασθαι, εἴ γε μέλλοι εἶναι κολακεία, στοχασμοῦ καὶ ἀνδρίας καὶ δεινότητος, ἵνα καὶ τῆς τοῦ κολακευομένου προαιρέσεως στοχάζηται καὶ ἀνδρείως ὑπομένῃ καὶ λανθάνειν βούλοιτο. O.

A. ἐκ τῶν προκειμένων λέξεων, οἷον τοῦ καλῶ καὶ ἐγὼ καλῶ καὶ φημὶ εἶναι καὶ τῶν τοιούτων, δεῖ νοεῖν ὅτι ταῦτα τῆς Σωκράτους συνέσεώς ἐστιν εὑρήματα· καὶ γὰρ ὁ Ἀριστοτέλης τοιαῦτα φαίνεται ποιῶν, οἷον ὅρον δὲ καλῶ καὶ σχῆμα καλῶ πρῶτον καὶ τὰ τοιαῦτα. ἔτι δὲ κἀκεῖνο ἐπίστησον ἐνταῦθα, ὅτι ὁ Σωκράτης οὐκ ἔστιν ἐφεκτικός. O.

E. πολιτικῆς μόριον] ἐν Πολιτικῷ ὁ Σωκράτης τὴν δικαστικὴν ὄργανόν φησιν εἶναι τῆς πολιτικῆς, ἐνταῦθα δὲ μόριον καὶ ῥητ .... ὅπου μὲν γὰρ συμπληρωτικός ἐστι τοῦ πολιτικοῦ συνυπάρχων τῷ νομοθέτῃ. O.

464 B. πολιτικὴν] ἡ πολιτικὴ διαιρεῖται ὡς ὅλον εἰς μέρη τὴν νομοθετικὴν καὶ δικαστικήν· αὗται γὰρ ἀλλήλων προσδέονται, τὰ δ' ἀντιδιαιρούμενα οὔ. καὶ ἐπὶ τῶν λοιπῶν ὁ αὐτὸς τῆς διαιρέσεως τρόπος. R.

B. δικαιοσύνην ἀλλ' οὐ δικαστικὴν προσεῖπεν, ἵνα μὴ τὸ δικαστικὸν μόνον ἀλλὰ καὶ τὸ διανεμητικόν, μᾶλλον δὲ καὶ αὐτὴν τὴν τῆς ψυχῆς εἰς ἑαυτὴν ἐνέργειαν περιλάβῃ τὸ ὄνομα. R.

της· διὸ καὶ ἐπάγει ἀλλ' ἦ τὸ λεγόμενον ἀντὶ τοῦ ἀλλ' ὄντως τὸ λεγόμενον. λείπει δὲ τὸ πεπόνθαμεν, ἵν' ᾖ τοιοῦτο· ἀλλ' ὄντως τὸ λεγόμενον πεπόνθαμεν, ὅπερ οἱ κατόπιν ἑορτῆς παραγινόμενοι καὶ τῆς ἐν τῇ ἑορτῇ θυμηδίας ὑστεροῦντες. O.

A. κατόπιν ἑορτῆς] ἐπὶ τῶν ἐπί τινι καλῷ πράγματι ἀπολιμπανομένων. R.

A. ἀναγκάσας] ἡ ἀνάγκη διττή, ἡ μὲν πρὸς βίαν, ἡ δὲ κατὰ φύσιν. κατὰ ταύτην οὖν ἠναγκάσθη Σωκράτης ἐν ἀγορᾷ διατρίβειν, ὅπως πολλοὺς ὠφελοῖ. τοῦτο γὰρ σπουδαίων ἀνδρῶν ἴδιον, καὶ πρὸ τούτων θεοῦ. R.

B. οὐδὲν πρᾶγμα] οὐδὲν ἐργώδες ἢ δυσχερές. R.

B. καὶ ἰάσομαι] παροιμιακὸν τοῦτο, ἀπὸ Τηλέφου καὶ τοῦ τρώσαντος Ἀχιλλέως καὶ τοῦ χρηστηρίου ἀνελόντος ὅτι ὁ τρώσας καὶ ἰάσεται. R.

B. ἀλλ' ἆρα] ἀρχή τις αὕτη τῶν ἐν τῷ διαλόγῳ προκειμένων τοῦ πρώτου μέρους, ὅ ἐστι τὸ περὶ τῆς ποιητικῆς αἰτίας τῶν ἠθικῶν ἀρχῶν. R.

C. ἢ καλῶς λέγεις] ταῦτα διελέγοντο εἰς τὸν τοῦ Καλλικλέους εἰσιόντες οἶκον· εἶτα ἔσωθεν αὐτοῦ Γοργίᾳ ἐντυγχάνουσι. R.

448 A. πολλῶν ἐτῶν] Ἀττικὸν τὸ σχῆμα· δηλοῖ δὲ τὸ ἐπὶ πολὺν χρόνον. τὸ δὲ οὐδείς πω ἀντὶ τοῦ οὐ πώποτε. καὶ Θουκυδίδης· οὐδείς πω καταγνούς. R.

B. Ἡρόδικος] οὗτος οὐχ ὁ Σηλυμβριανός ἐστιν Ἡρόδικος, ἀλλ' ὁ Λεοντῖνος, Γοργίου ἀδελφός. R. ἄλλος Ἡρόδικος Σηλυμβριανὸς ἐν Πολιτείᾳ. O.

B. ὁ ἀδελφὸς αὐτοῦ] οὗτος Πολύγνωτος ἐκαλεῖτο, οὗ ἐν Δελφοῖς ἡ θαυμαστὴ γραφή, ἧ ἐπιγέγραπται·

γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱός, περθομένην Ἰλίου ἀκρόπολιν. R.

C. ὦ Χαιρεφῶν] φασὶ μὴ ἐξ αὐτοσχεδίου τὸν Πῶλον ταῦτα εἰπεῖν, προσυγγραψάμενον δέ. R.

C. ἐμπειρία] σκόπει τὰ πάρισα τοῦ Πώλου, ἐμπειρία-ἀπειρία, τέχνη-τύχη, ἄλλοι-ἄλλων-ἄλλως. R.

C. τὸν αἰῶνα ἀντὶ τοῦ τὸν βίον, τὴν ζωήν. O.

D. οὐ πάνυ] οὐ γὰρ τί ἐστιν ἡ ῥητορικὴ εἶπεν, ἀλλ' ὁποῖόν τί ἐστιν. R.

D. καλουμένην] αὕτη γὰρ ἡ παρὰ τοῖς πολλοῖς, ἄλλη δὲ ἡ κατ' ἀλήθειαν. R.

449 A. ἀγαθόν γε] Ἀριστοτέλης μὲν καὶ οἱ σοφισταὶ μίαν φασὶν εἶναι ῥητορικὴν ἐπ' ἀμφότερα δυναμένην ἀγωνίζεσθαι· Πλάτων δέ φησι δύο εἶναι, τὴν μὲν τέχνην, τὴν δὲ κολακείαν, ἥτις καὶ εἴδωλον λέγεται πολιτικῆς μορίου. ὁ γοῦν Γοργίας ἀξιῶν ἀγαθὸς εἶναι ῥήτωρ, τῆς τεχνικῆς φησὶν εἶναι οὐ τῆς εἰδωλικῆς ῥητορικῆς ἔμπειρος. δεῖ δὲ γινώσκειν ὅτι περὶ μὲν τῆς ἐντέχνου ῥητορικῆς ἐν Φαίδρῳ διαλαμβάνει, περὶ δὲ τῆς δημώδους καὶ κολακικῆς ἐνταῦθα. O.

A. ὡς ἔφη Ὅμηρος] τὸ τοίης τοι γενεῆς καὶ αἵματος εὔχομαι εἶναι. O.

D. περὶ τί τῶν ὄντων] ἡ ἐρώτησις, περὶ τίνα τῶν ὄντων ἡ ῥητορικὴ καταγίνεται ἢ ἔχει τὴν ἐνέργειαν. R.

D. πάνυ] δύο ἐπιτάσεις ἀντὶ ὑπερθετικοῦ. O.

E. περὶ λόγους] ὁ μὲν Σωκράτης τὸ τέλος ἠρώτησε τῆς ῥητορικῆς, ὁ δὲ Γοργίας τὸ ὄργανον ἀπεκρίνατο· ὁ γὰρ λόγος ὄργανον τοῦ ῥήτορος, ὥσπερ καὶ ἡ ἀποσιώπησις ὀργανόν ἐστιν ἕνεκα τοῦ πεῖθειν παραλαμβανομένη ὑπὸ τῶν ῥητόρων. ἐνταῦθα δὲ καὶ διαλεκτικὸν θεώρημα παραλαμβάνομεν, τὸ τὰς ἀπροσδιορίστους προτάσεις ἐκκλίνειν καὶ ἀποστρέφεσθαι. O.

E. λέγειν γε ποιεῖ δυνατοὺς] ἀντὶ τοῦ διδάσκειν δύναται ἄλλους λέγειν. R.

E. οὐκοῦν περὶ ὧνπερ λέγειν] ἰστέον ὅτι τῷ λόγῳ ὁ ῥήτωρ κέχρηται ὡς ὀργάνῳ· ὁ δὲ Γοργίας ἀγνοῶν περιπίπτει· τὸ δὲ ἑξῆς πρόκειται τὸ φρονεῖν, ἵνα τὴν ἔντεχνον ῥητορικὴν παραλάβῃ καὶ οὐ τὴν εἰδωλικήν. ὑποκατιὼν δὲ ὁ σοφιστὴς συμφύρει πάντα, καὶ διὰ τοῦτο ἀνατέτραπται ὑπὸ τοῦ ἐπιστήμονος. O.

450 A. ἰατρική ἐστιν ἀπούσης ὑγιείας οἰστική, γυμναστικὴ παρούσης ὑγιείας φυλακτική. R.

B. χειρούργημα καὶ πύρωσις οὐκ εἴρηται, αἱ δὲ λέξεις Γοργίου ἐγχώριοι· Λεοντῖνος γὰρ ἦν. R.

B. διὰ λόγων] ψεύδεται· οὐ γὰρ περὶ λόγους μόνους, ἀλλὰ καὶ περὶ σιωπὴν καὶ περὶ ὑπόρισιν. R.

C. εἰσὶν ἡμῖν τέχναι] ἐπίστησον ἐνταῦθα ὅτι διαλεκτικὸν θεώρημα παραδίδοται· δεῖ γὰρ πρὸ τῶν ὁρικῶν λόγων τοὺς διαιρετικοὺς προηγεῖσθαι. O.

C. βραχέος, ὡς ἡ ἰατρική, οὐδενός, ὡς ἡ γραφική, ἡ ὀρχηστική. O.

D. οὐδενός, ὡς ἡ διαλεκτική, βραχέος, ὡς ἡ ῥητορικὴ διὰ τὸ ὑποκρίνεσθαι πολλάκις. O.

D. δεῖ γινώσκειν ὅτι τὰς τέχνας ἐνταῦθα διαιρεῖ καὶ ἐν Σοφιστῇ καὶ ἐν Πολιτικῷ, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον. ἀλλ' ἐνταῦθα μὲν κατὰ τὸ δι' οὗ· καλῶς· τὰς μὲν διὰ λόγου, τὰς δὲ ἄνευ λόγου, τὰς δὲ μεταξύ· ἐν δὲ Σοφιστῇ κατὰ τὸν τρόπον τῆς ἐνεργείας· καλῶς· τὰς μὲν ποιητικὰς τὰς τὸ μὴ ὂν εἰς τὸ ὂν ἀγούσας, τὰς δὲ κτητικὰς τὰς τὸ ὂν οἰκειουμένας· ἐν δὲ τῷ Πολιτικῷ κατὰ τὸ εἶδος τῆς ἕξεως· καλῶς· τὰς μὲν γνωστικάς, τὰς δὲ πρακτικάς. O.

D. ἴσους] ὡς ἡ πεττευτικὴ καὶ κιθαρῳδία. O.

E. κῦρος] σκόπει ὡς κῦρος εἶπε Πλάτων, οὐ κύρωσιν, καθὰ Γοργίας. R.

E. εὐλαβῶς ἐπιρραπίζει τὸν τοῦ σοφιστοῦ λόγον ὁ Σωκράτης. O.

E. ὑπολάβοι] ἀποκριθήσεται. O.

E. τις] ἐριστικὸς ἄνθρωπος καὶ ἐλέγξαι μόνον σκοπὸν ἔχων, ἀλλ' οὐ διορθώσασθαι τὸν διαλεγόμενον. O.

E. τὴν ἀριθμητικὴν ἄρα] οἱ γὰρ ὅροι ἀντιστρέφειν βούλονται, εἴπερ ὑγιῶς ἔχουσιν. O.

451 A. ἴθι νῦν] τὸ μὲν ὀργανικὸν αἴτιον ὁ λόγος ἐστίν· ζητεῖ δὲ νῦν τὸ γένος περὶ τί τῶν ὄντων καταγίνεται. O.

A. εἴποιμ' ἄν] ἐπίστησον ὅτι ἡ ἀριθμητικὴ κατὰ τὴν ἑαυτῆς φύσιν τὰ εἴδη τοῦ ἀριθμοῦ σκοπεῖ, τὰ δὲ σχήματα τὰ ἐπ' αὐτοῖς καὶ τοὺς λόγους ὡς ἀρχὴν γεωμετρίας καὶ μουσικῆς. πάντα γάρ ἐστι πρώτως ἐν τοῖς ἀριθμοῖς· οὐκ ἔστι δὲ ταὐτὸν τοὺς ἀριθμοὺς ἐφ' ἑαυτῶν ὁρᾶν καὶ ὡς ἀρχὰς ἄλλων δι' ἁπλότητα τῆς ὑποστάσεως. O.

A. τῶν τεχνῶν αἱ μὲν περὶ ἔργα μόνον καταγίνονται ὡς ζωγραφική, αἱ δὲ περὶ λόγους μόνους ὡς ἡ διαλεκτική, αἱ δὲ περί τε ἔργα καὶ λόγους· καὶ αὗται τριχῶς· ἢ μᾶλλον μὲν ἔργων χρῶνται ἢ λόγων ὡς ἰατρική, ἢ μᾶλλον μὲν λόγων ὡς ἡ ἀριθμητική, ἢ ἐπίσης καὶ ἔργων καὶ λόγων ὡς ἡ πεττευτική. O.

B. οἱ ἐν τῷ δήμῳ συγγραφόμενοι] ἐν ταῖς ἐκκλησίαις ἐπὶ τῇ ψηφισμάτων ἢ νόμων εἰσηγήσει ὁ κῆρυξ ἐπὶ μὲν τοῦ πρώτου

ψηφίσματος ἢ νόμου τό τε ὄνομα τοῦ ψηφιζομένου καὶ τιθέντος τὸν νόμον, καὶ δὴ τοῦ πατρὸς αὐτοῦ καὶ τοῦ δήμου ἔλεγεν, οἷον Δημοσθένης Δημοσθένους Παιανιεὺς ψηφίζεται τάδε· εἰ δὲ ἔμελλε πάλιν ὁ αὐτὸς ψηφίζεσθαι, ἔλεγεν ὁ κῆρυξ, ἵνα μὴ περιττολογῇ· τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά, ψηφίζεται δὲ καὶ τάδε. οὕτως οὖν καὶ ἐπὶ τοῦδε, τὰ μὲν ἄλλα, καθάπερ ἡ ἀριθμητική, ἡ λογιστικὴ ἔχει. R.

C. πρὸς αὑτά, ὡς ὅταν ἄρτιος πρὸς ἄρτιον ἢ περιττὸς πρὸς περιττὸν πολλαπλασιασθῇ· πρὸς ἄλληλα δέ, ὅταν περιττὸς πρὸς ἄρτιον ἢ ἀνάπαλιν. R. τοὺς γὰρ πολλαπλασιασμοὺς καὶ τοὺς μερισμοὺς ἡ λογιστικὴ θεωρεῖ τοὺς τῶν ἀριθμῶν, ᾧ καὶ δῆλον ὅτι τὸ ποσὸν τὸ ἐν αὐτοῖς καὶ τὴν ὕλην περιεργάζεται. πολλαπλασιάζεται γὰρ ἀριθμὸς ἐπὶ ἀριθμὸν οὐ κατὰ τὸ εἶδος ἀλλὰ κατὰ τὰς ὑλικὰς μονάδας, καὶ μερίζεται κατὰ τὸ ποσὸν ἀλλ' οὐ κατὰ τὸν λόγον ᾧ διαφέρουσιν ἀλλήλων οἱ ἀριθμοί. τὸ τοίνυν πῶς ἔχει πρὸς ἄλληλα κατὰ τὸ πλῆθος τοῦτο ἐνδείκνυται, πῶς πολλαπλασιάζονται καὶ μερίζονται παρ' ἀλλήλους κατὰ τὸ ἐν αὐτοῖς ποσόν. O.

D. τὰ μέγιστα] ὥσπερ ὁ Πῶλος οὐ τίς ἐστιν ἡ ῥητορικὴ εἶπεν, ἀλλ' ὁποία τις, ὅτι καλλίστη τῶν τεχνῶν, οὕτω καὶ Γοργίας οὐ τίνα ἐστὶ περὶ ὧν οἱ λόγοι αὐτῆς λέγει, ἀλλ' ὁποῖά ἐστιν, ὅτι τὰ μέγιστα τῶν ἀνθρωπίνων πραγμάτων καὶ ἄριστα. R.

D. ἀμφισβητήσιμον] δει τὸν ὅρον ἀναμφισβήτητον εἶναι καὶ σαφῆ καὶ διδασκαλικὸν τῆς τοῦ ὁριστοῦ οὐσίας. τὰ οὖν προκείμενα ἀμφισβητήσιμα μὲν διὰ τὸν ἰατρόν τε καὶ παιδοτρίβην καὶ χρηματιστήν, ἀσαφῆ δὲ διὰ τὸ μήπω γνωρίμου ὄντος τοῦ ὑποκειμένου τῇ ῥητορικῇ ἄριστον αὐτὸ καλεῖσθαι. ὁ δὲ προκείμενος λόγος ὅμοιός ἐστι τῷ τοῦ Πώλου ἐξ ἀρχῆς εἰρημένῳ, ὅτι καλλίστη εἴη ἡ ῥητορική. O.

E. τὸ σκόλιον τοῦτο οἱ μὲν Σιμωνίδου φασίν, οἱ δὲ Ἐπιχάρμου. ἔστι δὲ τοιοῦτον·

ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τὸ δὲ τρίτον πλουτεῖν ἀδόλως,
τέταρτον δὲ ἡβᾶν μετὰ τῶν φίλων.

τοῦτο δὲ τὸ τελευταῖον παραλέλειπται ὡς μὴ πρὸς ὃ βούλεται Πλάτων χρήσιμον ὄν. Ἄλλως. σκόλιον λέγεται ἡ παροινιως

φδή, ὡς μὲν Δικαίαρχος ἐν τῷ περὶ μουσικῶν ἀγώνων, ὅτι τρία γένη ἦν φδῶν, τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον ..... καθ' ἕνα ἕξῆς, τὸ δὲ ὑπὸ τῶν συνετωτάτων, ὡς ἔτυχε τῇ τάξει· ὃ δὴ καλεῖσθαι σκόλιον. ὡς δὲ Ἀριστόξενος καὶ Φύλλις ὁ μουσικός, ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες, παρὰ μέρος ἑξῆς μυρρίνας ἔχοντες ἢ δάφνας, ᾖδον γνώμας καὶ ἐρωτικὰ σύντονα. ἡ δὲ περίοδος σκολιὰ ἐγίνετο διὰ τὴν σύνθεσιν τῶν κλινῶν ἐπὶ οἰκημάτων πολυγωνίων οὐσῶν, καὶ τούτῳ καὶ τὰς ἐπ' αὐτὰς κατακλίσεις παραβύστους γίνεσθαι. οὐ διὰ τὴν μελοποιίαν οὖν, διὰ δὲ τὴν τῆς μυρρίνης σκολιὰν διάδοσιν, ταύτῃ καὶ τὰς φδὰς σκολιὰς καλεῖσθαι. R S. Ἀθήνησιν ἐν τῷ πρυτανείῳ παρὰ πότον σκόλια ᾖδετο εἷς τινας, ὥσπερ εἰς Ἁρμόδιον, Ἄδμητον, Τελαμῶνα· εἰρῆσθαι δὲ αὐτὸ σκολιὸν κατ' ἀντίφρασιν, ὅτι ῥᾴδια καὶ ὀλιγόστιχα ὡς ἐπιγράμματα. ᾖδετο ἃ ἐκαλεῖτο σκόλια, ἀντιπροτεινόντων ἀλλήλοις τῶν συμποτῶν, καὶ ἠλέγχοντο οἱ μὴ ᾄδοντες ὡς ἄμουσοι. σκόλιον μὲν οὖν ἤτοι σχόλιον τοῦτο. O.

E. πλουτεῖν ἀδόλως ὁ ποιητής φησιν· ὁ γὰρ χρηματιστὴς ὅπως ἂν τύχῃ, καὶ εἰ μετὰ τυραννίδος, πλουτεῖν βούλεται. R.

452 A. πρῶτόν φησι τὸν ἰατρόν· οὗτος γὰρ περὶ τὰ στοιχεῖα αὐτὰ καθ' αὑτὰ καταγίνεται, ὁ δὲ παιδοτρίβης περὶ τὴν σύνθεσιν αὐτῶν καὶ τὴν τοιάνδε τῶν μορίων συνθήκην καὶ τὸ κάλλος αὐτῶν. R.

C. πλούτου] ἰδού, τὸ ἀδόλως οὐ προσέθηκεν, ἐπειδὴ αὐτὸς ὁ χρηματιστὴς λέγει, ὃς πάντων καταφρονεῖ. R.

D. μέγιστον ἀγαθὸν εἶναι] διὰ τούτων ὁ Πλάτων ἐναργῶς ἡμῖν ἀπεκάλυψεν, ὅτι περὶ τῆς ποιητικῆς αἰτίας ἀνθρωπίνων ἀγαθῶν καὶ τῆς εὐδαιμονίας ποιεῖται τὸν λόγον ἐν τῇ πρὸς Γοργίαν συνουσίᾳ. O.

D. ἐλευθερίας] πῶς ἐλευθερίας αἴτιον τὸ ὑποβάλλον δουλείᾳ παντοίων παθῶν; R.

D. τὸ πείθειν ἔγωγ'] ἰστέον ὅτι τῆς εἰδωλικῆς ῥητορικῆς ἐστὶν ὁ ἀποδοθεὶς ὅρος· δημοκοπικὴν γάρ τινα λέγει ταύτην, πείθειν ἐπιχειροῦσαν τὸν πλημμελῶς κινούμενον ὄχλον. O.

E. δύναμιν τὴν ῥητορικὴν νῦν καλεῖ· προϊὼν δὲ οὐδὲ δύναμιν οὖσαν φείξει αὐτήν, ἐπεὶ οὐχ ὁρᾷ πρὸς ἀγαθόν, δυνάμεως δὲ πάσης τὸ πρὸς τοῦτο ὁρᾶν. R.

453 A. πειθοῦς δημιουργὸς] ἡ ἐνέργεια καὶ τὸ τῆς ἐνεργείας τέλος· οὐ γὰρ ἐξ ἀνάγκης πείθει ὁ ῥήτωρ. O.

A. ἐμαυτὸν πείθω] ἐπίστησον ὅτι ὁ μὲν σπουδαῖος ἑαυτὸν πείθειν βουλόμενος, καὶ τὰ ἐν αὐτῷ πάθη τῆς ἀλόγου ὁρμῆς πείθει ὑπείκειν τῷ λόγῳ· ὁ δὲ σοφιστὴς τὸν ἔξω ὄχλον κολακεύων πείθειν δοκεῖ, κακουργῶν καὶ ἑαυτῷ ἐπιβλαβῶς καὶ τοῖς πειθομένοις. O.

B. καὶ ἐμὲ εἶναι] κατὰ κοινοῦ τὸ εὖ ἴσθι. O.

C. .... οὕτω καὶ τὸ γένος πολλῶν .... ὡς ἔχει οὖν ζῶον τὸ γραφόμενον πρὸς τὰ ἄτομα τὰ ὑπ' αὐτό, οὕτως ἔχει καὶ ἡ πειθὼ γένος οὖσα πρὸς τὰ ἑαυτῆς εἴδη, τό τε διδασκαλικὸν καὶ πιστευτικόν. O.

C. ποῦ] ἐν τῇ ποικίλῃ στοᾷ. O.

C. ὅτι καὶ τῶν ἄλλων τεχνῶν ἐστὶν ἡ πειθώ. O.

D. ἴθι δὴ] ἄρχεται ἐντεῦθεν τὴν πειθὼ διαιρεῖν εἴς τε τὴν πιστευτικὴν καὶ εἰς τὴν διδασκαλικήν. ἔστι δὲ προσθεῖναι καὶ εἰς τὴν ἀπὸ τῶν κοινῶν ἐννοιῶν, οἷον τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα. R.

454 B. ταύτης τοίνυν τῆς πειθοῦς] πάλιν τὴν εἰδωλικὴν βούλεται λέγειν ὁ Γοργίας ῥητορικήν. καὶ γὰρ ἀπὸ τοῦ χείρονος ἤρξατο, τοῦ δικανικοῦ· κρεῖττον δὲ δῆλον ὅτι τὸ συμβουλευτικόν (ἐκ τἀγαθοῦ γὰρ τὴν ὑπόστασιν ἔχει), μέσον δὲ τὸ πανηγυρικὸν ἀπὸ τοῦ νοῦ προελθόν, καὶ χεῖρον τὸ δικανικὸν ὡς ἀπὸ ψυχῆς προϊόν. τἀγαθὸν συμβουλευτικὸν συμφέρον κρεῖττον· νοῦς πανηγυρικὸν μέσον· ψυχὴ δικανικὸν δίκαιον χεῖρον. O.

455 B. οὐδ' αὐτός πω] ἑαυτὸν ὁ Σωκράτης ποιεῖ τῷ Γοργίᾳ συμφυρόμενον, ἵνα εἰς διαλεκτικὴν αὐτὸν συνουσίαν προκαλέσηται. R.

B. ὅταν περὶ ἰατρῶν] ἡ αἵρεσις τριττή, ἢ προσώπων ἢ πραγμάτων ἢ συναμφοτέρων· ἐν πᾶσι δὲ τούτοις οἱ τεχνικώτατοι ἂν ἄριστα συμβουλεύσαιντο ἔν γε πόλει εὐνομουμένῃ, καὶ ὁ μὲν πολιτικὸς προνοήσει λόγου χάριν ὅτι δεῖ ναυτικὸν στρατὸν ἔχειν τὴν πόλιν, ὁ δὲ ῥητορικὸς παρὰ τοῦ πολιτικοῦ μαθὼν πείσει τὸ πλῆθος περὶ τούτου, ὁ δὲ ναυπηγὸς εἰσηγήσεται τήν τε ὕλην καὶ τὰ ὄργανα. ἐν δὲ μὴ τοιαύτῃ πόλει ὁ ῥητορικὸς πάντα ὑποδύσεται· καὶ γὰρ ὡς πολιτικὸς καὶ ὡς ἀρχιτέκτων συγκεχυμένως ὑποκριθήσεται πάντα εἶναι καὶ πάντα γινώσκειν. ὀρθὴ πολιτεία· πο-

λιτικὸς ἄλλος, ῥήτωρ ἄλλος, ἐπιστήμων ἄλλος, ἀσυγχύτως· διάστροφος πολιτεία· δημαγωγὸς ὁ αὐτός, ῥήτωρ ὁ αὐτός, ἐπιστήμων ο αὐτός, συγκεχυμένως. O.

D. πάλιν ὁ Γοργίας τὴν εἰδωλικὴν ῥητορικὴν βούλεται παρεισάγειν. O.

E. διὰ μέσου τείχος λέγει, ὃ καὶ ἄχρι νῦν ἐστὶν ἐν Ἑλλάδι. ἐν τῇ Μουνυχίᾳ γὰρ ἐποίησε καὶ τὸ μέσον τεῖχος, τὸ μὲν βάλλον ἐπὶ τὸν Πειραιᾶ, τὸ δὲ ἐπὶ Φάληρα, ἵν' εἰ τὸ ἓν καταβληθῇ, τὸ ἄλλο ὑπηρετοίη ἄχρι πολλοῦ. Σωκράτης δὲ νεώτερος μὲν Θεμιστοκλέους, σύγχρονος δὲ Περικλέους, ὡς διὰ τούτων δηλοῦται. R. ἀρχαιότερος Θεμιστοκλῆς Περικλέους ἔτεσι πλείοσι τῶν πεντήκοντα. O.

456 A. δαιμονία] τὸ ἁπλοῦν καὶ ἀμετάβλητον καὶ ὡρισμένον τῆς θείας φύσεως οἱ δαίμονες διὰ ποικιλίας καὶ κινήσεως καὶ τῆς ἐπὶ πᾶν προόδου μεμίμηνται, εἰδωλικῶς τὰς ἀληθείας ὑποκρινόμενοι. διὰ τοῦτο οὖν τὸ ποικίλον τῆς κολακείας τῆς εἰδωλικῆς ῥητορικῆς δαιμόνιον καλεῖ ὁ Σωκράτης. O.

B. παραδειγματικὴ ἀπόδειξις. O.

B. ἐνθυμηματικὴ ἀπόδειξις. O.

C. ἡ μὲν οὖν δύναμις] μέχρι τῶν ἐνταῦθα τὴν δύναμιν τῆς ῥητορικῆς ἀνύμνησεν ὁ Γοργίας, ἐντεῦθεν δὲ τὴν βούλησιν τῶν χρωμένων τῇ δυνάμει ταύτῃ· πᾶσα γὰρ δύναμις ἄλλου ἐστὶ δύνασις τοῦ χρωμένου. ὅπερ καὶ κρεῖττόν ἐστι πάντως τῆς δυνάμεως. O.

E. ὅτι τῆς αὐτῆς γνώμης ἐστὶν Ἀριστοτέλης καὶ Γοργίας περὶ τῆς ῥητορικῆς. καὶ γὰρ ἐκεῖνος γνῶσιν μὲν τὴν αὐτὴν τοῦ τε σπουδαίου καὶ μοχθηροῦ ῥήτορος ἔλεγεν εἶναι, προαίρεσιν δὲ διάφορον. O.

457 A. ἔμβραχυ] ἐπιρρηματικῶς ἀκουστέον ἀντὶ τοῦ συντόμως ἢ ἁπλῶς ἢ καθάπαξ ἢ καθόλου· σύντομον ἢ εὐχερῶς εἰπεῖν, ἢ ἁπλῶς. O.

C. ἐνταῦθα Σωκράτης τίς τε ἡ ὀρθὴ συνουσία παραδίδωσι καὶ τίς ἡ διάστροφος, καὶ τί τὸ τέλος ἀμφοτέρων. ὅτι συνουσίας τρόπος διττός· πρὸς ἀλήθειαν πρὸς τὸ πρᾶγμα σωκρατικός· πρὸς νίκην πρὸς τὸν προσδιαλεγόμενον ῥητορικός. O.

C. ὅτι ἡ ἄγνοια τριττή, ἁπλῆ, διπλῆ, μεγίστη· καὶ τῆς μὲν ἁπλῆς δίδαξίς ἐστιν ἡ κάθαρσις ἀπαλλάττουσα τῆς κατεχούσης

ἀγνοίας· τῆς δὲ διπλῆς, ἥτις καὶ οἴησις καλεῖται, κάθαρσις ὁ ἔλεγχος ... ἀπαλλαγῆναι τοῦ κακοῦ· τῆς δὲ μεγίστης κάθαρσις ἡ κόλασις τὸ τῷ λόγῳ μαχόμενον πάθος σωφρονίζουσα. O.

D. ὀρθῶς περὶ τὴν διάνοιαν, σαφῶς περὶ τὴν φράσιν. R.

458 B. ἴσως μέντοι] δέδοικεν ὁ Γοργίας καὶ φεύγει τὴν διάλεξιν, αἰτιᾶται δὲ τοὺς παρόντας πανούργως ὡς οὐκ ἀνεξομένους. R.

C. προὐργιαίτερον] προτιμότερον. R.

D. νὴ τοὺς θεούς] ὁ μὲν Χαιρεφῶν ἐφίεται τῶν Σωκρατικῶν λόγων ὡς ἀγαθῶν προηγουμένως, κατὰ δεύτερον δὲ λόγον ἡδέων, φιλόσοφος γάρ ἐστιν· ὁ δὲ Καλλικλῆς ἐφίεται αὐτῶν προηγουμένως ὡς ἡδέων, κατὰ δεύτερον δὲ λόγον ὡς ἀγαθῶν, φιληδονος γάρ ἐστιν. O.

E. ἄκουε δή] εἰ ὑπετίθεσο, φησί, τὴν τῇ πολιτικῇ συνέριθον ῥητορικὴν διδάσκειν, τοὺς δὲ μανθάνοντας κακῶς αὐτῇ χρωμένους εἰς τὴν εἰδωλικὴν καταφέρεσθαι καὶ δημοκοπικήν, οὐκ ἂν εὐθύνας ἐδίδως τῷ λόγῳ, ἀλλ' οἱ μανθάνοντες εἰς κόλασιν ἦσαν ὑπεύθυνοι. τὸ γὰρ ἴσως προσκείμενον ἐνταῦθα ταύτην τὴν ἔννοιαν βούλεται λανθανόντως εἰσάγειν. O.

E. ῥητορικὸν] ἐντεῦθεν ὁ πρῶτος ἐκ τοῦ τρόπου τῆς ἀποκρίσεως Γοργίου ἐντρεπτικὸς ἔλεγχος. R.

E. ἐνδέχεται γὰρ ἐν πλήθει διαλεγόμενον ῥήτορα πιθανον φαίνεσθαι, ἀλλ' ἐν ἀμαθεῖ καὶ πλημμελῶς κινουμένῳ. O.

459 B. ὁ δὲ μὴ ἰατρός γε δήπου] τόπος ὁ κατὰ μετάληψιν· μεταλαμβάνει γὰρ ἀντὶ τοῦ οὐκ ἰατρὸς τὸ ἀνεπιστήμων. O.

C. ἡ ἀληθινὴ ῥαστώνη ἐν τοῖς κατὰ νοῦν ζῶσιν ἔξω τῆς ὕλης ἐγγίνεται· ἡ δὲ φαινομένη ῥαστώνη, οἵαν καὶ ὁ σοφιστὴς νῦν ὑποβάλλει, εἰδωλική τίς ἐστι καὶ κατάλληλος τῷ τοῦ Γοργίου βίῳ·

τὴν γὰρ κακότητα καὶ ἱλαδὸν ἔστιν ἑλέσθαι
ῥηϊδίως. O.

C. αὐτίκα] εὐθέως καὶ παραχρῆμα· νῦν δὲ μικρὸν ὕστερον. R.

D. ἆρα τυγχάνει] ὁ δεύτερος ἐκ τοῦ τρόπου τῆς ἀποκρίσεως Γοργίου ἀποδεικτικὸς ἔλεγχος. R.

E. ἀνάγκη τὸν ῥήτορα ἢ μηδ' ὅλως ἐπίστασθαι τὸ δίκαιον καὶ τὰ λοιπά, ἢ ἐπίστασθαι ἢ προμαθόντα ἢ ἐπιμαθόντα. O.

Ε. ἐνδέχεται γὰρ ἐν πλήθει διαλεγόμενον ῥήτορα πιθανὸν φαίνεσθαι, ἀλλ' ἐν ἀμαθεῖ καὶ πλημμελῶς κινουμένῳ. Ο.

460 Α. ἔχε δή, ἀντὶ τοῦ μέμνησο. Ο.

Α. ἤτοι πρότερον] ὁ τρίτος δὲ ἐντεῦθεν ἐκ τῶν πραγμάτων ἀποδεικτικὸς ἔλεγχος. R.

Β. * οὐ δεῖ * θαυμάζειν ἐὰν ὁ κατ' ἐπιστήμην ἰατρικὰ εἰδὼς ἔσθ' ὅτε καὶ παρὰ τὸν σκοπὸν τῆς οἰκείας ἐπιστήμης ποιεῖ, δηλητήρια διδοὺς καὶ κατ' ἐκεῖνο ἀνίατρος ὤν, ὁ δὲ κατ' ἐπιστήμην τὰ δίκαια εἰδὼς ἐξ ἀνάγκης δίκαιος. εἰ γὰρ καὶ οἱ δύο ἐπιστήμονες, ἀλλὰ τῷ τρόπῳ διαφέρουσιν, ὁ μὲν περὶ σῶμα, ὁ δὲ περὶ ψυχὴν ἀσχολούμενος, καὶ ἑαυτὸν γινώσκων καὶ ταὐτὸν ἔχων γινῶσκον καὶ γνωστόν· ὁ δὲ ἰατρὸς ἄλλο ἔχει τὸ γινῶσκον καὶ ἄλλο τὸ γινωσκόμενον. Ο.

D. ὡσαύτως δὲ οὕτως] ἡ ἐκ παραλλήλου χρῆσις τῶν ἐπιρρημάτων Ἀττική, ὡς τὸ ἐγὼ εἰμί, καὶ ὡς τὸ ὃς καὶ αὐτὸς τῶν σπουδαίων καὶ φίλων. Ο.

461 Β. πεπλήρωται ἕως τούτων τὰ περὶ Γοργίου. Ο.

Β. ῥητορικὸν] ὁ πολιτικὸς φιλόσοφος κρειττόνως ἐπίσταται τα εἴδωλα τῆς ἐν αὐτῷ νοερᾶς ἕξεως. Ο.

Β. τὰ δίκαια ὁ μὲν Γοργίας καὶ ἀγαθὰ ἐδόξαζεν, ὁ δὲ Πῶλος καλὰ μέν, οὐκ ἀγαθὰ δέ, ὁ δὲ Καλλικλῆς οὔτε καλὰ οὔτε ἀγαθά. διὰ τοῦτο οὖν ὁ Γοργίας συγχωρεῖ τὸν τὰ δίκαια εἰδότα δίκαιον, ὡς ἀγαθῶν ὄντων καὶ διὰ τοῦτο ἐφετῶν. Ο.

D. ἀναθέσθαι] τὸ θέσθαι τὸ ἀντικείμενον τῷ ἤδη κειμένῳ. R.

462 Β. ἀσαφὴς ἡ τοῦ Πώλου ἐρώτησις, πότερον τὸν ὁρισμὸν τῆς ῥητορικῆς ἐπιζητεῖ ἢ τὸ γένος· κατὰ γὰρ τῶν δύο σημαινομένων φέρεται τὸ τίνα φῂς εἶναι. ὅθεν ὁ ἐπιστήμων ἐπανορθοῖ αὐτόν. Ο.

Β. ἡ ῥητορική ἐστιν ἐμπειρία κολακευτικὴ περὶ ... ν πολιτικῆς μορίου εἴδωλον τοῦ δικαστικοῦ ... τό τινα ἐνταυ ... κατηγορήματα ἀλ ... προσδιορισμός. Ο.

Β. συγγράμματι] ἐκ τούτου δῆλον ὅτι οὐχ ὁ ἐξ ἀρχῆς τοῦ Πώλου λόγος αὐτοσχέδιος ἦν, ἀλλὰ σύγγραμμα. R.

C. ἐμπειρία μὲν γὰρ ποιεῖ ἡμῶν τὸν βίον πολιτικὸν κατὰ τέχνην. τοῦτο αἰνίττεται ὡς τοῦ Πώλου τοιοῦτο σύγγραμμα συγγράψαντος. Ο.

C. ἡ ῥητορική, φησίν, ἀπεργασίας ἐστὶν ἐμπειρία τῆς ἀπεργαζομένης ἡδονὴν καὶ χάριν. O.

D. ὁ ἀμαθὴς σοφιστὴς πλημμελεῖ καὶ περὶ τὰς ἐρωτήσεις καὶ περὶ τὰς ἀποκρίσεις καὶ τὰ ἑπόμενα ταύταις. O.

D. οὔπω, φησί, τὰς συστατικὰς διαφορὰς τοῦ ὅρου ἀποδέδωκά σοι. O.

E. οὐδαμῶς γε] ἐκ δύο καταφατικῶν ἐν δευτέρῳ σχήματι οὐδὲν συμπεραίνεται εἰ μὴ δι' ἀντιστροφῆς. O.

E. ὡς ὅρους ἐξισάζοντας ἔλαβεν ὁ Πῶλος τοῖς λόγοις. O.

E. ἐπιτηδεύσεως] ἰστέον ὅτι διαφέρει ἐπιτήδευμα καὶ ἐπιτήδευσις· αὕτη μὲν γὰρ ἐνέργειαν δηλοῖ, ἐκεῖνο δὲ οἷον οὐσίαν, ὡς φησι Πλούταρχος. οὕτως οὖν καὶ ἀκοὴ καὶ ἄκουσις, καὶ ψόφος καὶ ψόφησις, τὰ μὲν οἷον οὐσίαν τὰ πρῶτα, τὰ δὲ οἷον ἐνέργειαν. R.

463 A. ὅρος κολακείας, ἣ ἐστιν ἐπιτήδευμα ἄτεχνον ψυχῆς στοχαστικῆς καὶ ἀνδρείας καὶ φύσει ὁμιλεῖν τοῖς ἀνθρώποις ... ἡδονῆς ἀπεργαστικόν. O.

O. πᾶσα κολακεία ἐκ τριῶν τινῶν ὀφείλει συνίστασθαι, εἴ γε μέλλοι εἶναι κολακεία, στοχασμοῦ καὶ ἀνδρίας καὶ δεινότητος, ἵνα καὶ τῆς τοῦ κολακευομένου προαιρέσεως στοχάζηται καὶ ἀνδρείως ὑπομένῃ καὶ λανθάνειν βούλοιτο. O.

A. ἐκ τῶν προκειμένων λέξεων, οἷον τοῦ καλῶ καὶ ἐγὼ καλῶ καὶ φημὶ εἶναι καὶ τῶν τοιούτων, δεῖ νοεῖν ὅτι ταῦτα τῆς Σωκράτους συνέσεώς ἐστιν εὑρήματα· καὶ γὰρ ὁ Ἀριστοτέλης τοιαῦτα φαίνεται ποιῶν, οἷον ὅρον δὲ καλῶ καὶ σχῆμα καλῶ πρῶτον καὶ τὰ τοιαῦτα. ἔτι δὲ κἀκεῖνο ἐπίστησον ἐνταῦθα, ὅτι ὁ Σωκράτης οὐκ ἔστιν ἐφεκτικός. O.

E. πολιτικῆς μόριον] ἐν Πολιτικῷ ὁ Σωκράτης τὴν δικαστικὴν ὄργανόν φησιν εἶναι τῆς πολιτικῆς, ἐνταῦθα δὲ μόριον καὶ ῥητ .... ὅπου μὲν γὰρ συμπληρωτικός ἐστι τοῦ πολιτικοῦ συνυπάρχων τῷ νομοθέτῃ. O.

464 B. πολιτικὴν] ἡ πολιτικὴ διαιρεῖται ὡς ὅλον εἰς μέρη τήν νομοθετικὴν καὶ δικαστικήν· αὗται γὰρ ἀλλήλων προσδέονται, τὰ δ' ἀντιδιαιρούμενα οὔ. καὶ ἐπὶ τῶν λοιπῶν ὁ αὐτὸς τῆς διαιρέσεως τρόπος. R.

B. δικαιοσύνην ἀλλ' οὐ δικαστικὴν προσεῖπεν, ἵνα μὴ τὸ δικαστικὸν μόνον ἀλλὰ καὶ τὸ διανεμητικόν, μᾶλλον δὲ καὶ αὐτὴν τὴν τῆς ψυχῆς εἰς ἑαυτὴν ἐνέργειαν περιλάβῃ τὸ ὄνομα. R.

D. ἀποθανεῖν] ἢ ὡς τῶν ἀνοήτων τοῦτο αὐτοῦ καταψηφισαμένων, ἢ ὡς ἀπελαθέντα ὑπ' αὐτῶν καὶ τοῦ ἐκ τῆς ἰατρείας μισθοῦ στερούμενον σπάνει τῆς τροφῆς ἀποθανεῖν. R.

465 A. ταῦτα πρὸς τὰ ὑπὸ Πώλου ἐν ἀρχῇ τεθέντα· ἐμπειρία μὲν γὰρ ἡμῶν ποιεῖ τὸν βίον. O.

C. τα γὰρ παραδείγματα ἀσυγχύτως δύναται σώζειν τὰς ἀπ' ἀλλήλων διακρίσεις διὰ τὴν ἄχραντον αὐτῶν ὕπαρξιν, τὰ δὲ εἴδωλα συγκέχυται ἀναλογοῦντα τῇ ὕλῃ. διὰ τοῦτο ἄρα συγκέχυται ῥητορικῆς καὶ σοφιστικῆς ἡ διάκρισις, ὀψοποιικῆς δὲ καὶ κομματικῆς φανεραί εἰσιν αἱ διακρίσεις. O.

C. ἅτε δ' ἐγγὺς] ἐπὶ γὰρ τῶν περὶ σῶμα ἡ διαφορὰ τούτων γνωσθῆναι εὐχερής· ψυχὴ γὰρ τὸ κρῖνον, σωματικὸν δὲ τὸ κρινόμενον· ἐπὶ δὲ τῶν περὶ ψυχήν, ψυχῶν οὐσῶν τῶν συμπεφυρμένων, σοφιστῶν λέγω καὶ ῥητόρων, καὶ ψυχῶν τῶν ταύτας κρινουσῶν διαστρόφων, συμπεφυρμένη καὶ ἡ διάκρισις, οὐ τῶν ἐπιτηδευμάτων (δῆλα γάρ) ἀλλ' αὐτοί τε οἱ μετιόντες, καὶ ἡ τῶν ἀνδρῶν ἐκείνων μετάληψις διὰ τὴν ἀπάτην, καὶ οἱ κρίνοντες ὑπὸ τῶν κρινομένων ἠπάτηνται. R.

D. σὺ γὰρ τούτων ἔμπειρος] τοῦτο εἶπεν ἢ διὰ τὸ ἐκ τῆς Ἀναξαγόρου δόξης εἰς παροιμίαν ἐλθεῖν (ἤδει δὲ τοῦτο ἐκ Γοργίου, ὁ δὲ ἐξ Ἐμπεδοκλέους τοῦ διδασκάλου αὐτοῦ· οὗτος δὲ φιλόσοφος ὢν τὰς τῶν φιλοσόφων δόξας καὶ ἠπίστατο καὶ ἐδίδασκεν), ἢ διὰ τὴν τῶν ὀνομάτων παρίσωσιν τοῦ ὦ φίλε Πῶλε. R. Ἀναξαγόρειος γὰρ ἦν τῇ προαιρέσει ὁ Πῶλος, καθάπερ ὁ Γοργίας Ἐμπεδόκλειος. O.

D. ὃ μὲν οὖν ἐγὼ] ὁ Πλάτων ἐνταῦθα κατακέχρηται τῷ Ἀττικῷ σχήματι κατακόρως, τῷ καλουμένῳ ἀμερίστῳ. τοῦτο δέ ἐστι τὸ ἔχον τοὺς μέν πολλοὺς λεγομένους συνδέσμους, μηδαμῶς δὲ τὸν δέ. ὅρα γὰρ πῶς ὃ μὲν οὖν ἐγώ, ἴσως μὲν οὖν, ἄξιον μέν, ἐὰν μὲν οὖν καὶ ἐγώ. R.

D. ἀντίστροφον] τὸ λεῖπον τοῦ τῆς ῥητορικῆς ὅρου. ἔστι γὰρ ὅλος· ῥητορική ἐστι κολακεία, πολιτικῆς μορίου εἴδωλον, ἀντίστροφον ὀψοποιίας ἐν ψυχῇ ὡς ἐκείνη ἐν σώματι. R.

466 A. τηλικοῦτος ὤν] ἤγουν νέος ὤν. R.

A. ἆρ' οὖν] ἐντεῦθεν ὁ περὶ τῆς εἰδικῆς αἰτίας τῶν ἠθικῶν ἀρχῶν λόγος, ὅτι ἀρετή τέ ἐστι καὶ ἐπιστήμη τῶν ὄντων. R.

A. πρὸς τὰς εὐνομουμένας καὶ εὐδαίμονας πόλεις ὁ Σω-

κράτης ἀφορῶν ταῦτα λέγει· οὐδὲ γὰρ οἱ ῥήτορες ἐκεῖ χώραν ἔχουσι διὰ τὴν εὐνομίαν. Ο.

Β. ἔοικεν ὁ Πῶλος ἀγνοεῖν τὴν διαφορὰν βουλήσεως καὶ δοκήσεως, ὅτι ἡ μὲν ἀναλογεῖ τῇ ἐπιστήμῃ, ἡ δὲ ..... καὶ τῇ παρωνύμῳ δόξῃ. ἀβουλήτως οὖν οἱ ῥήτορες καὶ οἱ τύραννοι ζῶσι καὶ ἀνεπιστημόνως· ἐκπεπτώκασι γὰρ τοῦ νοῦ τῆς ἐπιστημονικῆς ἕξεως· δόξῃ δὲ καὶ δοκήσει πλημμελῶς ζῶσιν. Ο.

C. τὸ ἀμφιγνοεῖν τοῦ ἀγνοεῖν ταύτῃ διαφέρει, ᾗ τὸ μὲν ἀναίρεσιν ἔχει παντελῆ τοῦ γινώσκειν, τὸ δὲ ἀμφιγνοεῖν ἀμφιβολίαν καὶ ἄγνοιαν τοῦ ἀληθοῦς. Δωριεῖς δὲ αὐτὸ καὶ ἀμφίγνωμόν φασιν. Ο.

C. δύο ἅμα] τό τε βούλεσθαι καὶ τὸ δοκεῖν. τοῦτο μὲν γὰρ κατὰ φαντασίαν ἐστὶ τὴν τυχοῦσαν· τὸ δὲ βούλεσθαι πάντως πρὸς τὸ ἀγαθὸν ἀποτείνεται. R.

Ε. μὰ τὸν] ἐλλιπῶς ὄμνυσι πρός τε εὐλαβείας καὶ πραότητος ἔνδειξιν. R.

Ε. τρία ταῦτά ἐστι περὶ τὰ ὄντα, ἃ ἄνωθεν ἀρχόμενα μέχρι τῶν ἡμετέρων ἀφικνοῦνται ψυχῶν, βούλησις, δύναμις, νοῦς. ταῦτα καὶ ἐν τῷ δημιουργῷ θεωρεῖται καὶ ἐν τοῖς ἐξῆς πᾶσι, καὶ πάντα τελειοῦνται διὰ τῶν τριῶν τούτων ἐπιστρέφοντα πρὸς τἀγαθόν· ἀλλ' ἐν μὲν τῇ προόδῳ ἡ βούλησις πρότερα, δευτέρα δὲ ἡ δύναμις, τρίτη δὲ ἡ τοῦ νοῦ ἔλλαμψις· ἐν δὲ τῇ ἐπιστροφῇ διὰ τοῦ νοῦ πρώτως τελειοῦται τὰ ὄντα, καὶ δεύτερον διὰ δυνάμεως, καὶ τρίτον διὰ βουλῆς· ἀνάπαλιν γὰρ ἔχει τῇ προόδῳ ἡ ἐπιστροφή. διὸ καὶ ἐνταῦθα ὁ ῥήτωρ, ἐπειδὴ νοῦ ἀμοιρεῖ ἐμπειρικὸς ὢν δηλονότι καὶ ἀδυναμίᾳ συνέχεται, διὰ τοῦτο βουλῆς ἀμέτοχός ἐστιν. εἰ γὰρ κατὰ βουλὴν ὑποθώμεθα αὐτὸν πράττειν, πολὺ μᾶλλον καὶ δυνάμεως μεθέξει καὶ διὰ τοῦτο καὶ νοῦ, ὥστε καὶ ἐπιστήμων ἔσται· ὅπερ ἄτοπον. Ο.

467 Β. οὗτος ἀνὴρ] ὁ Πῶλος, ὡς παρὰ πόδας τοῦ Σωκράτους ἐναντία λέγοντος πρὸς ἑαυτόν, καὶ ποιεῖν ἃ δοκεῖ αὐτῷ τὸν ῥήτορα, καὶ μὴ ποιεῖν ἃ βούλεται, ὥσπερ ἐκπεπληγμένος ταύτην ἀφίησι τὴν φωνὴν οὗτος ἀνήρ, ὡσανεὶ ἔλεγεν ὁ ἄνθρωπος οὗτος τί πάσχει; οὕτω τῶν ἑαυτοῦ λόγων ἐπιλέλησται; ἐφ' οἷς ὁ Σωκράτης, ὑποτεμὼν τὸν τοῦ Πώλου λόγον μεταξύ, φησὶν ἐπιμένων τῷ παραδόξῳ τῶν λόγων· οὔ φημι ποιεῖν αὐτοὺς ἃ βούλονται· ἀλλά μ' ἔλεγχε, ὡσανεὶ ἔλεγεν· ἐμοὶ μὲν ταῦτα δοκεῖ, καὶ ἐγὼ

ταῦτα φησί, τὸ τοὺς ποιοῦντας ἃ δοκεῖ αὐτοῖς δίκα νοῦ μὴ ποιεῖν ἃ βούλονται· εἰ δὲ σοὶ οὕτω μὴ δοκεῖ, μὴ ἀγανάκτει, ἀλλὰ τὸν λόγον ἔλεγχε. R.

B. κατὰ σέ] καὶ γὰρ Γοργίᾳ καὶ τοῖς κατ' αὐτὸν αἱ παρισώσεις ἐπετηδεύοντο. R.

D. χρηματισμὸν] τὸν τῶν χρημάτων πόρον. R.

E. πάντα τὰ ὄντα ἢ ἕνεκά του, ὡς τὰ χείρω, ἢ οὗ ἕνεκα, ὡς τὰ κρείττω· καὶ ἔστιν ἡ διαίρεσις ἄμεσος· οὕτως οὖν ὁ Σωκράτης τὴν χ κατασκευάσας πρότασιν τὴν μείζονα πάλιν ἐκ διαιρέσεως ἄλλης εἰσάγει, λέγων πᾶν τὸ ὂν ἤτοι ἀγαθὸν ἢ κακὸν ἢ μεταξὺ τούτων. εἰ οὖν τοῦτο, δῆλον ὅτι τὸ τούτου ἕνεκα ἤτοι ἀγαθὸν ἢ κακόν· ἀλλὰ μὴν οὐ κακόν, ἀγαθὸν ἄρα· τὰ γὰρ μεταξὺ τῶν ἀγαθῶν ἕνεκα πράττομεν δηλονότι. O.

468 A. ἃ ἐνίοτε] ταῦτα μετέχειν δύναται τῶν ἄκρων, ταῦτα δὲ οὔ. R.

B. ἐκ τούτων ἂν λάβοις * ὅτι οἱ * ἀνεπιστήμονες ζῶντες ἀβουλήτως ἐνεργοῦσιν· ᾧ ἕπεται τὸ τὰ ἁμαρτήματα πάντα ἀκούσια εἶναι, ὡς καὶ ἐν τοῖς Νόμοις λέγει. O.

D. τί οὐκ ἀποκρίνει] ὁ μὲν Γοργίας ἐπιεικέστερος ὢν καὶ ἑτοίμως ἀπελογεῖτο καὶ ἐτίθει τὰ ἐρωτώμενα· ὁ δὲ Πῶλος σιωπᾷ αὐθαδέστερος ὤν· ὁ δὲ Καλλικλῆς παντελῶς ἀνευθριάστως οὐδὲ ἀνέχεται τῶν συλλογισμῶν, ἀλλ' ἰταμῶς διακείμενος τῷ Σωκράτει παραχωρεῖ καθ' αὑτὸν συνάγειν ἃ βούλεται. μέσος οὖν ἄρα ὁ Πῶλος ἀμφοῖν, τοῦ μὲν τῇ ἐπιεικείᾳ τοῦ δὲ τῇ αὐθαδείᾳ ἀπολειπόμενος. O.

E. ὡς δὴ σὺ ὦ Σώκρατες] ὁ πλημμελῶς κατὰ δόξαν ζῶν σοφιστής, ἐπειδὴ τοῦ λόγου ἐξέπεσε καὶ τῆς τοῦ συλλογισμοῦ ἀνάγκης, εἰς τὴν αἴσθησιν φεύγει καὶ ταύτην προτείνει, τὸν ἐπιστήμονα ἐκ τούτου εἰς ἀντίφασιν, ὡς δοκεῖ, περιάγων. O.

469 A. εὐφήμει] σιώπα, μὴ ἀκαιρολόγει. R.

A. ἀξηλώτους] ἀζήλωτος γάρ ἐστιν, ὅστις ἔχει τι ὃ μὴ εὐχόμεθα γενέσθαι ἡμῖν, ἄθλιος δὲ ὁ πάθεσιν ἀνηκέστοις ἐνισχόμενος. R.

B. τὸ ἧττον ἐπὶ τοῦ ἄκοντος ἀποθνήσκοντος ἀδίκως, οὐκ ἐπὶ τοῦ ἐλπίδας ἔχοντος ἐπιδώσειν εἰς ἀρετήν· ἐπὶ δὲ τοῦ σπουδαίου ἀντὶ τοῦ οὐδαμῶς ἀποδεκτέον. R.

Β. ἢ γὰρ] ἀντὶ τοῦ εἴ συναπτικοῦ ὡς παρ' Ὁμήρῳ· οὐδ' ἀφαμαρτοεπής, ἢ καὶ γένει ὕστερος ἦεν. Ο.

Β. οἶδεν ὁ Σωκράτης καὶ καλὴν τυραννίδα * ἐν τοῖς * Νόμοις, καὶ διὰ τοῦτο νῦν ἐρωτᾷ· ποῖον, φησί, τυραννεῖν. Ο.

D. ὑπὸ μάλης πάντες οἱ παλαιοὶ προφέρονται ἐνικῶς, τάττονται δὲ αὐτὸ ἐπὶ τοῦ κρυφίως τι πράττειν, καὶ ἀεὶ μετὰ τῆς προθέσεως, ὡς Δημοσθένης ἐν τῷ πρὸς Ἄφοβον· ἀλλὰ μὴν οὐχ εἷς οὐδὲ δύο ταῦτ' ἴσασιν, οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ. πληθυντικῶς δὲ οὐ μάλας λέγουσιν ἀλλὰ μασχάλας, καὶ ἄνευ τῆς προθέσεως. Λυσίας ἐν τῇ πρὸς Μετάνειραν ἐπιστολῇ· καὶ τὴν μὲν κόμην ψιλὴν ἔχεις, τὰς δὲ μασχάλας δασείας. τὸ μέντοι ὑπὸ κόλπους, ταὐτὸν καὶ αὐτὸ κατὰ τὸ σημαινόμενον ὑπάρχον, ἀμφοτέρως ἐχρήσαντο, ἑνικῶς φημὶ καὶ πληθυντικῶς, καὶ ἀεὶ μετὰ τῆς προθέσεως, οἷον ὑπὸ κόλπον καὶ ὑπὸ κόλπους. Ο.

D. τεθνήξει] ἐνεργητικὸν ἀντὶ παθητικοῦ τοῦ τεθνήξεται καινοπρεπῶς παρελήφθη. R. ἐνέργεια ἀντὶ πάθους, Ἀττικῶς. Ο.

D. τῆς κεφαλῆς — κατεαγῆναι] καὶ τοῦτο Ἀττικόν· τὸ γὰρ κοινὸν τὴν κεφαλὴν κατεαγῆναι· τὸ γὰρ ἐπὶ μέρους λέγειν Ἀττικόν, οἷον ἔφαγον τοῦ ἄρτου. οὕτως οὖν καὶ κατεάγην τῆς κεφαλῆς. Ο.

470 Β. σκεψώμεθα] ἐντεῦθεν ὁ περὶ δικαιοσύνης καὶ ἀδικίας ἐπεισέρχεται λόγος. R. μέχρι τούτου δέδεικται ἡ ῥητορικὴ εἴδωλον τοῦ τῆς πολιτικῆς μορίου· καὶ ὅτι ἡ ποιητικὴ τῆς εὐδαιμονίας ἐπιστήμη ἐστίν· καὶ ὅτι ἡ δύναμις τέλος ἔχει τὸ ἀγαθόν· καὶ ὅτι ἡ βούλησις ἀεὶ τῶν ἀγαθῶν ἐστιν· καὶ ὅτι οὐδεὶς κακὸς ἢ μέγα δύναται ἢ ποιεῖ ἃ βούλεται· ἀλλὰ μόνος ὁ ἐπιστήμων καὶ δύναται ὅσα βούλεται καὶ ζῇ κατὰ νοῦν ἐνεργῶν. Ο.

Β. ὅρον] οὐχ ὁρισμὸν λέγει ἀλλα τίνα τρόπον καὶ διορισμόν. R.

C. χαλεπὸν] κατ' εἰρωνείαν τοῦτό φησιν, ὡς δηλοῖ τὸ ἐπαγόμενον. R.

C. φλυαρία παρὰ Πλάτωνι πανταχοῦ πᾶν τὸ περιττόν, εἴτ' ἐν λόγοις εἴτ' ἐν πράγμασι. R.

Ε. μέγαν βασιλέα] τὸν τῶν Περσῶν βασιλέα. R.

Ε. παιδεία ἡ ἐξ ἀρχῆς τροφή, δικαιοσύνη ἡ τελεία ἀρετή. R.

471 B. *τὸν δεσπότην καὶ θεῖον*] *τὸ μὲν δεσπότην ἀνελεῖν παράνομον, τὸ δὲ θεῖον ἀνοσιουργὸν παρίστησι τὸν Ἀρχέλαον, εἴπερ ἐν τάξει πατέρων οἱ θεῖοι.* R.

B. *ἀνεψιὸν*] *τὸν παρ' ἡμῖν ἐξάδελφον.* R.

B. *ἠφάνισεν*] *τῆς ταφῆς ἀφείλετο.* R.

B. *εἰς τὸ ἀδελφόν στικτέον, ἵνα τὸ γνήσιον πρὸς τὸ Περδίκκου υἱὸν ἐξακούηται.* R.

C. *ἀπὸ σοῦ*] *κατ' εἰρωνείαν καὶ τοῦτο φησί.* R.

D. *ἄλλο τι*] *ὁ λόγος οὗτος οὐκ ἔλεγχός ἐστιν, ᾧ με ἔφης πρὶν καὶ παῖς ἂν ἐλέγξειεν, ἀλλὰ πρὸς ἄλλο τι εἰρημένος.* R.

E. *ῥητορικῶς*] *οὐ πρὸς ἀλήθειαν, ἀλλὰ πρὸς τὰς τῶν πολλῶν ἡμαρτημένας δόξας.* R.

472 A. *τρίποδες*] *τῶν λαμπρῶν ἀναθημάτων καὶ τῶν πλουσίων καὶ ἐν δυνάμει μνημονεῦει, ὅτι τούτοις μάλιστα οἱ δικασταὶ πιστεύουσι. Διονύσιον δὲ τὸ τοῦ Διονύσου φησὶν ἱερόν.* R.

B. *ἀναγκάζεις*] *ταῖς ἀποδεικτικαῖς πίστεσι πείθεις.* R.

B. *οὐσίας*] *οἱ ἐν τοῖς δικαστηρίοις τὰ χρήματα οὐσίαν φασί· διὰ τοῦτο οὖν ὡς πρὸς ῥήτορα διαλεγόμενος οὕτως εἶπεν. ὅμως προσέθηκε καὶ τὴν προσήκουσαν αὐτῷ οὐσίαν, φημὶ δὲ ταλη-θές.* R.

B. *ὁμολογοῦντα*] *οὐ μόνον πρὸς τὸν ἐλέγχοντα, ἀλλὰ πολὺ πρότερον αὐτὸν πρὸς ἑαυτόν.* R.

E. *ὑπὸ θεῶν*] *εἰ ὑπὸ θεῶν, ἀγαθὴ ἡ δίκη· τὰ γὰρ ἐκ τούτων τοιαῦτα.* R.

473 A. *φίλον*] *οὐχ ὡς ὁμόφρονα, ἀλλ' ὡς εὐνοϊκῶς πρὸς πάντα ἄνθρωπον ἔχων.* R.

B. *χαλεπώτερον*] *καὶ τοῦτο κατ' εἰρωνείαν φησὶν ἢ κατ' ἀντίφρασιν.* R.

B. *ἀδύνατον*] *ὁ Σωκράτης τῷ παρ' ὑπόνοιαν λεγομένῳ χρῆται, εἰπὼν οὐ χαλεπὸν ἀλλ' ἀδύνατον.* R.

D. *μορμολύττει*] *φοβεῖς. παρῆκται δὲ τὸ ῥῆμα ἀπὸ τῶν προσωπείων τῶν ἐν ταῖς τραγῳδίαις ὑποκριτῶν, ἃ ἐκάλουν μορμολυκεῖα, Δωριεῖς δὲ γόργια. τοιούτοις δὲ καὶ αἱ γυναῖκες τὰ παιδία φοβοῦσιν.* R.

D. *ἐμαρτύρου*] *ἀντὶ τοῦ μάρτυρας προσεκάλου.* O.

E. *ἄλλο αὖ τοῦτο εἶδος ἐλέγχου*] *τοῦτο παράγγελμα Γορ-*

γίου, τὸ τὰς σπουδὰς τῶν ἀντιδίκων γέλωτι ἐκλύειν, τὰ δὲ γελοῖα ταῖς σπουδαῖς ἐκπρούειν. R.

E. βουλεύειν λαχὼν] κληρωτοὶ γὰρ ἦσαν οἱ βουλευταί, ἀφ' ἑκάστης τῶν δέκα φυλῶν εἷς πρὸς ἕνα ἐνιαυτόν, καθ' ὃ καὶ ἐλέγετο πρυτανεύειν ἡ φυλή. R.

E. ἐπιψηφίζειν ἐστὶ τὸ τινὸς πρυτανευούσης φυλῆς ἕνα κληρούμενον ἀπ' αὐτῆς τὰς ψήφους ἑκάστων ἀπαριθμεῖσθαι τῶν τε τιθεμένων δεῖν γενέσθαι περὶ οὗ ἡ σκέψις καὶ τῶν ἀπαγορευόντων, καὶ ἔτι τὰς τῶν ἀμφιβάλλειν λεγόντων, ἀποφαίνειν τε εἰς τὸ κοινὸν τίνες τούτων αἱ ψῆφοι, πλείους ἢ ἐλάττους ἢ μεταξύ, ἐξ ὧν τὸ πρακτέον ἢ μὴ διεκρίνετο. καὶ ὁ τοῦτο ποιῶν, οὗτος ἦν ὁ ἐπιψηφίζειν λεγόμενος. R.

E. ἐπιψηφίζειν τοὺς παρόντας] ἀντὶ τοῦ ταῖς ψήφοις τῶν παρόντων κρίνειν τὴν ἀλήθειαν. R. ἐπιψηφίζειν ἀντὶ τοῦ ἐπιμαρτυρεῖν καὶ ἐπικυροῦν τὸν λόγον ὃν σὺ λέγεις. ἡ δὲ σύνταξις πρὸς αἰτιατικήν. O.

474 B. καὶ ἐμὲ καὶ σὲ] κατὰ τὰς κοινὰς καὶ ἀληθεῖς ἐννοίας δηλονότι. R.

C. λέγε δή μοι] τῶν δύο προβλημάτων τοῦ πρώτου ἐντεῦθεν ἡ κατασκευή, ὅτι χεῖρον τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν. R.

E. ἐπιτηδεύματά ἐστι τὰ διὰ μόνων τῶν ἐθῶν μελετώμενα. R.

E. μαθήματά ἐστι τὰ κατὰ τὰς τέχνας καὶ ἐπιστήμας διὰ διδασκαλίας τοῖς ἀνθρώποις παραχιγνόμενα. R.

476 A. μετὰ τοῦτο δὲ] τοῦ δευτέρου προβλήματος κατασκευή, ὅτι τῶν ἀδικούντων κρείττων ὁ δίκην διδοὺς ἢ ὁ μή. R.

B. εἴ τίς τι ποιεῖ] ἐκ τούτου δῆλον ὅτι τὸ νοεῖν καὶ βαδίζειν οὐ ποιεῖν ἐστὶν ἀλλ' ἐνεργεῖν μόνον· οὐ γὰρ πρός τι πάσχον γίνονται. R.

477 A. κολάζεσθαί ἐστι κυρίως τὸ τῆς πονηρίας κολούεσθαι, ὅ ἐστιν ἐλαττοῦσθαι ἢ ἐμποδίζεσθαι. R.

A. ἆρ' οὖν τοῦ μεγίστου] ἐντεῦθεν ἀποδείκνυται οἷον μεγίστου κακοῦ ἀπαλλάττεται ὁ δίκας διδούς. R.

478 E. δεύτερος οὐ πρὸς εὐδαιμονίαν, ἀλλὰ κατὰ τὸ τετάχθαι μέσος τῶν τριῶν. R.

479 C. συλλογισώμεθα] σημείωσαι ὅτι Ἀριστοτέλης τοῦ συλλογισμοῦ τὸν ὅρον ἐντεῦθεν εἴληφε σχεδὸν αὐταῖς λέξεσιν. R.

480 A. ἕξοντα] προσυπακουστέον τὸ πρὸς κακοδαιμονίαν. R.

A. τάχιστα δώσει δίκην παρὰ τὸν δικαστὴν δηλαδὴ τὸν οἰκεῖον λογισμόν, βασανίζοντα αὐτοῦ τὰς φαντασίας καὶ πολάζοντα τὰς παραλόγους ἐννοίας. οὐκ εἰσάγειν οὖν εἰς δικαστήριον, ἀλλὰ νουθεσίαν καὶ ἐπιπληξιν ἐφ' ἑαυτὸν καὶ τοὺς οἰκείους ἄγειν παρακελεύεται. R.

E. εἰ ἄρα δεῖ] φησὶν ὅτι, εἰ δέ ἐστί τις ἐχθρός σου, μὴ ἀδικεῖ δὲ σὲ ἀλλὰ ἄλλον τινά, μὴ θελήσῃς αὐτὸν δοῦναι δίκην, ἀλλὰ καὶ βοήθησον αὐτῷ, εἰ δύνασαι, ἵνα ἔτι πλέον τιμωρηθῇ. R.

481 B. οἷον] ἀντὶ τοῦ θαυμαστὸν ἐνταῦθα. R.

482 A. ἔμπληκτος] γρ. καὶ ἔκβλητος. R.

C. νεανιεύεσθαι] μέγα φρονεῖν, κομπάζειν. R.

E. φορτικά ἐστι τὰ βάρος ἐμποιοῦντα, δημηγορικὰ τὰ πρὸς τὴν τῶν πολλῶν βλέποντα δόξαν. R.

483 A. τὸ σοφὸν] ἀντὶ τοῦ σόφισμα. R.

A. ἐδιώκαθες] ἐδίωκες. O.

B. προπηλακιζόμενος] ὑβριζόμενος, ἐξουθενουμενος. O.

484 C. μείζω φησὶν ὁ Καλλικλῆς τὴν κατ' αὐτὸν ῥητορικήν, ἴσως δὲ καὶ τὴν τυραννίδα, ὡς ὕστερον δηλώσει. R.

D. ἀπαρίθμησις ὧν οἴεται ψευδῶς Καλλικλῆς ἄπειρον εἶναι τὸν φιλόσοφον. R.

D. συμβόλαια παρὰ τοῖς Ἀττικοῖς αἱ ἀσφάλειαι καὶ συγγραφαὶ καὶ συνθῆκαι πόλεων, καθ' ἃς τὸ δίκαιον ἀλλήλαις ἔνεμον. R.

D. ἤθη τὰ ἐν ἔθει κείμενα φησί. R.

E. τὰ ἰαμβεῖα ταῦτ' ἐστὶν ἐξ Ἀντιόπης τοῦ δράματος Εὐριπίδου, ἐκ τῆς Ζήθου ῥήσεως πρὸς τὸν ἀδελφὸν Ἀμφίονα. οὗτοι δ' Ἀντιόπης υἱοί. R S.

485 A. παιδείαν φησὶ τὴν περὶ τὰ μαθήματα ἐν παισὶ τροφήν τε καὶ ἀγωγήν. R.

B. τὸ διαλέγεσθαι παιδάριον πικρόν τι δοκεῖ, ὡς παρὰ φύσιν καὶ βίαιον ὄν· καταγέλαστον δέ, ὅταν ψελλίζηται ἀνήρ, καὶ πληγῶν ἄξιον, ὅταν παίζῃ. ἄνανδρα δ' ἄμφω οὐχ ὡς γυναιξὶν ἀλλ' ὡς παιδίοις πρέποντα. R.

E. ὅτι ἀμελεῖς] καὶ ταῦτα τὰ ἰαμβεῖα τοῦ Εὐριπίδου ἐκ τοῦ αὐτοῦ Ἀντιόπης δράματος εἴληφε. σκόπει δὲ ὅπως δεῖ χρῆσθαι ταῖς μακροτέραις ῥήσεσι τῶν ποιητῶν, μὴ αὐτοὺς διόλου τιθέναι

τοὺς στίχους, ἀλλά τι καὶ λέξεως πεζοτέρας οὔ πως αὐτοῖς ἀναμῖξαι. ὁ τῶν στίχων δὲ νοῦς οὗτος· ὁ Ζῆθός φησι τῷ Ἀμφίονι μουσικῷ ὄντι· ῥᾴψον τὴν λύραν, πέχρησο δὲ ὅπλοις. οὕτω καὶ Καλλικλῆς λέγει Σωκράτει· ἄφες φιλοσοφίαν, ἐλθὲ δὲ ἐπὶ τὴν πόλιν καὶ δίκαζε. R S.

486 C. ἀγροικότερον] ἀντὶ τοῦ σκληρότερον. R.

C. παῦσαι δὲ ἐλέγχων] ἐν ἄλλῳ πρόσκειται, παῦσαι ματαΐζων. R.

C. καὶ ἄσκει] γρ. καὶ δόκει. R.

D. βίος ὁ πλοῦτος, δόξα δὲ ἡ παρὰ τοῖς πολλοῖς εὐδοκίμησις. R.

D. ἰστέον ὅτι τὴν λίθον δι' ἧς δοκιμάζουσι τὸν χρυσόν, οἱ μὲν ἰδίως βάσανον, οἱ δὲ Λυδίαν καλοῦσιν. R.

E. ἕρμαιον ἀπροσδόκητον κέρδος ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν. O.

487 A. τρία] ὅτι τρία ἐστὶν οἷς κρίνεται ψυχή, ἐπιστήμη, δόξα ὡς φρονίμου τε καὶ εὔνου, παρρησία. R.

A. πάντα ἔχεις] προσυπακουστέον, ὡς σύ τε οἶει καὶ ὁ πολὺς τῶν ἀνοήτων συρφετός. R.

C. Ἀφίδνα δῆμος Αἰαντίδος φυλῆς, ἐξ οὗ οὗτος. R.

C. Χόλαργος δῆμος Ἀκαμαντίδος φυλῆς, ἐξ οὗ οὗτος. R.

E. τὸ μὲν ποῖον τὴν εἰδικὴν σημαίνει ἀρχήν, τουτέστι δίκαιον ἢ ἄδικον, τὸ δὲ τί ἐπιτηδεύειν τὴν ποιητικήν, ἀντὶ τοῦ δημαγωγίαν τε καὶ ῥητορικὴν ἢ φιλοσοφίαν· τὸ δὲ καὶ μέχρι τοῦ, οἷον παιδείας χάριν ἢ περαιτέρω μέχρι τοῦ ἀκριβοῦς. R.

488 A. οὐχ ἑκών] ἰδού, ἀκούσια τὰ ἁμαρτήματά φησιν. ἀκούσιον γὰρ τὸ ψεῦδος· παραλογιζόμεθα δὲ αὐτοὺς κατὰ τὴν καθόλου πρότασιν. R.

A. ἱκανῶς ἐνταῦθα τὸ μετ' ἀποδείξεως λέγεται. R.

A. βλὰξ ὁ χαῦνος τῇ προαιρέσει. εἴρηται δὲ ἢ ἀπὸ τοῦ βεβλάφθαι τὰς φρένας, ἢ ἀπὸ τοῦ μαλακοῦ, οἷον μάλαξ τις ὤν· ἐπειδὴ δὲ τὸ μ τῷ λ ἀσυμπλοκον, ἀντὶ τοῦ μλὰξ γέγονε βλάξ. R S.

C. ὡς τὸ κρεῖττον] σημείωσαι κατ' ἀρετὴν μᾶλλον. βέλτιον δὲ ἄμεινον. κατὰ δὲ τὴν τοῦ σώματος ῥώμην μᾶλλον ἰσχυρότερον κρεῖττον. R.

489 A. ἔστι ταῦτα ἢ οὔ;] σκόπει ἐκ τούτων τὸν πρὸς τὰς

ἀποκρίσεις τοῦ Καλλικλέους ὄκνον, τοῦ ἔστι ταῦτα ἢ οὔ; καὶ τοῦ νομίζουσιν ἢ οὔ; καὶ τοῦ μὴ φθόνει μοι ἀποκρίνασθαι. R.

B. κινδυνεύεις] τουτέστι φαίνῃ, ὅπερ ἀμφιβάλλων ὥσπερ εἴρηκε, τὸ βαρὺ τῶν ἐλέγχων παραμυθούμενος. R.

B. οὐτοσὶ ἀνὴρ] ὅρα τὴν πρὸς ἕτερους τοῦ λόγου ἀποστροφήν, ὅσην τοῦ Καλλικλέους καὶ κατὰ τὸ σχῆμα θρασύτητα δείκνυσι. R.

C. συρφετὸς] ἀγυρτώδης ὄχλος, ὡς νῦν, ἢ λόγος, ἢ ἐξ ἀνέμου συλλεγομένη κόπρος καὶ φρυγανώδης. R.

D. τοπάζω] ὑπονοῶ, εἰκάζω. R.

D. προδίδασκε] περιττεύει ἡ πρόθεσις Ἀττικῶς. R.

E. εἰρωνεία ἐστὶ προσποίησις ἀδυναμίας ὧν τις δύναται ποιεῖν· ἐξ ἧς καὶ τὸ εἰρωνεύω ῥῆμα. ταύτῃ δὲ τὴν ἀλαζονείαν ἐναντίαν εἶναι· ἔστι γὰρ ἀλαζονεία προσποίησις δυνάμεως ὧν τις οὐ δύναται ποιεῖν. R.

E. ὄμνυσι κατὰ τοῦ Ζήθου ὡς τινος τῶν ἡρώων ὄντος, ἢ ὡς χαριζόμενος Καλλικλεῖ, ἐπειδὴ τῇ τούτου ῥήσει πρὸ μικροῦ εἰς παραίνεσιν ἐχρήσατο. R.

490 A. δοκεῖς βούλεσθαι λέγειν] ὡς οὐδὲ φράσαι δυναμένου τοῦ Καλλικλέους, ἅπερ ἐθέλει, ὁ Σωκράτης καθάπτεται. R.

B. ἔχε δὴ αὐτοῦ] ἀντὶ τοῦ μέμνησο τῶν ῥηθέντων. O.

B. ἀθρόοι] ἀντὶ τοῦ ὁμοῦ. οὐ γὰρ εἴ τι πολύ, τοῦτο καὶ ὁμοῦ. διὰ τοῦτο οὖν πολλοὶ ἀθρόοι φησίν. R.

E. ἀεὶ ταὐτὰ] οἰκειότερον γὰρ ἐπιστήμης τὸ ἀεὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγειν ἢ τὸ ἕτερα. R.

491 D. τί ἢ τί] ὁ Καλλικλῆς συνεὶς τούτων οὐδέν, ὑπολαβὼν δὲ διαίρεσίν τινα περιέχειν τὴν ἐρώτησιν τοῦ Σωκράτους, ἀξιοῖ σαφῶς αὐτὸ εἰπεῖν, τί ποτέ ἐστιν ἑκάτερον ὧν ἀντιδιαιρεῖν βούλεται. διόπερ φησὶ τί ἢ τί. R.

E. ἡδὺς εἶ] κατ' εἰρωνείαν τοῦτό φησι Καλλικλῆς. R.

E. οὐδεὶς ὅστις οὐκ ἂν γνοίη] ἀντὶ τοῦ οὐδείς ἐστιν ὃς οὐκ ἄν μοι μαρτυρήσειεν ὅτι λέγων τοὺς σώφρονας οὐ λέγω τοὺς ἠλιθίους· τουτέστιν οὐδείς ἐστιν ἀνθρώπων ὃς τοὺς σώφρονας ἠλιθίους λέγει. πρὸς ὃν ὁ Καλλικλῆς τοὐναντίον φησίν, ὅτι πάνυ πολλοὶ οἱ τοὺς σώφρονας λέγοντες ἠλιθίους. R.

E. ἐπεὶ πῶς ἄν] ἐντεῦθεν ὁ περὶ τῆς τελικῆς αἰτίας τῶν

νικῶν λόγος. ἔστι δὲ ἀρχὴ κατὰ Σωκράτην ταγαθά, κατὰ δὲ καλλικλέα αἰσχρὰ ἡδονή. R.

492 C. ἐπικουρίαν] ἢ τὴν ἐκ πλούτου καὶ περιουσίας, ἢ ν ἐκ τῆς παρὰ τῷ Καλλικλεῖ καλουμένης φρονήσεώς τε καὶ ὁρίας. R.

D. οὐκ ἀγεννῶς] ἀντὶ τοῦ ἀτενῶς καὶ ἀκάμπτως. R.

D. παρρησιαζόμενος] ἀντὶ τοῦ μετὰ παρρησίας ἀπαρακαπτως ὁμολογῶν. R.

E. οὐκ ἄρα] ἀπόδειξις δι' ἐπιχειρημάτων ἓξ, τριῶν μὲν δόξων, τριῶν δὲ πραγματειωδεστέρων· ὧν τῶν ἐνδόξων τὸ κῶτον ἐκ τῆς τῶν πολλῶν δόξης εἴληπται. R.

E. ὥς γε σὺ λέγεις] ἐκ τῆς τῶν ποιητῶν ἢ τῶν Πυθαγορίων. R.

E. τὰ ἰαμβεῖα ἐκ τοῦ Φρίξου τοῦ δράματος Εὐριπίδου·

τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται; R.

493 A. τῷ ὄντι ἴσως] τὸ ἴσως περὶ τοῦ ἀληθῆ εἶναι τὸν ἐν ῥ μύθῳ λόγον ἢ μή· τὸ δὲ τῷ ὄντι, ὅτι ὅ γε μῦθος αὐτὸ τοῦτο ῥ ὄντι καὶ διατεταμένως διισχυρίζεται, τὸ θάνατον εἶναι τῆς ψυχῆς τὴν μετὰ τοῦ σώματος ζωήν. R.

A. κομψὸς] οὐ τὸν πιθανὸν ἀλλὰ τὸν τεχνικὸν ἢ σπουδῖόν φησι. Σικελικὸς δ' ἢ Ἰταλικός, οἷον Ἐμπεδοκλῆς. Πυθαγόρειος δ' οὗτος ἦν, ὑπῆρχε δὲ Ἀκραγαντῖνος· Ἀκράγας δὲ πόλις κελίας, ἀπὸ τοῦ πλησίον ποταμοῦ κεκλημένη, ἀφ' ἧς οὗτός καὶ Ὀλύμπιος ὁ μελοποιός. Σικελὸν δὲ ἢ Ἰταλικόν φησιν, ειδὴ πλησίον Σικελίας ὅ τε Κρότων καὶ τὸ Μεταπόντιον, αἷ λεις οὗ οἱ Πυθαγόρειοι διέτριβον, αἳ τῆς Ἰταλίας εἰσίν. R S.

A. ἀμύητοι ἡμεῖς οἱ τεθνεῶτες, οἱ ἐν σώματι ζῶντες. R.

B. ὕδωρ] τὸ ῥευστὸν καὶ ἄστατον τῶν ἡδονῶν. R.

D. ἐκ τοῦ γυμνασίου φησὶ τοῦ αὐτοῦ, ὅτι τὸ μὲν πρὸ αὐτοῦ ἐπιχείρημα ἐν μύθου προῆκται σχήματι, τοῦτο δὲ ἐν παραδείγματος. ἦν δὲ ἐκεῖνο μὲν τῶν Πυθαγορείων οἰκεῖον, τοῦτο Σωκράτους, ὡς σαφέστερόν τε καὶ πληκτικώτερον. R.

D. σκόπει γὰρ] ἐντεῦθεν αἱ πραγματειωδέστεραι, ὧν τὸ κῶτον ἐπιχείρημα ἀπό τινος εἰκόνος ἄρχεται. R.

E. οἶνον μὲν ὡς τροφιμώτατον, γάλα δὲ ὡς πρώτην τροφήν, μέλι δὲ ὡς τὴν ἐν τῇ τροφῇ γλυκυθυμίαν παρείληφεν. R.

ἀποκρίσεις τοῦ Καλλικλέους ὄκνον, τοῦ ἔστι ταῦτα ἢ οὔ
τοῦ νομίζουσιν ἢ οὔ; καὶ τοῦ μὴ φθόνει μοι ἀποκρίνασθ

B. κινδυνεύεις] τουτέστι φαίνῃ, ὅπερ ἀμφιβάλλων
εἴρηκε, τὸ βαρὺ τῶν ἐλέγχων παραμυθούμενος. R.

B. οὑτοσὶ ἀνὴρ] ὅρα τὴν πρὸς ἑτέρους τοῦ λόγου ἀπ
φήν, ὅσην τοῦ Καλλικλέους καὶ κατὰ τὸ σχῆμα θρασύτη
κνυσι. R.

C. συρφετὸς] ἀγυρτώδης ὄχλος, ὡς νῦν, ἢ λόγος, ἢ
μου συλλεγομένη κόπρος καὶ φρυγανώδης. R.

D. τοπάζω] ὑπονοῶ, εἰκάζω. R.

D. προδίδασκε] περιττεύει ἡ πρόθεσις Ἀττικῶς. R

E. εἰρωνεία ἐστὶ προσποίησις ἀδυναμίας ὧν τις
ποιεῖν· ἐξ ἧς καὶ τὸ εἰρωνεύω ῥῆμα. ταύτῃ δὲ τὴν ἀλα
ἐναντίαν εἶναι· ἔστι γὰρ ἀλαζονεία προσποίησις δυνάμ
τις οὐ δύναται ποιεῖν. R.

E. ὄμνυσι κατὰ τοῦ Ζήθου ὥς τινος τῶν ἡρώων ὅ
ὡς χαριζόμενος Καλλικλεῖ, ἐπειδὴ τῇ τούτου ῥήσει πρὸ
εἰς παραίνεσιν ἐχρήσατο. R.

490 A. δοκεῖς βούλεσθαι λέγειν] ὡς οὐδὲ φράσα
μένου τοῦ Καλλικλέους, ἅπερ ἐθέλει, ὁ Σωκράτης κ
ται. R.

B. ἔχε δὴ αὐτοῦ] ἀντὶ τοῦ μέμνησο τῶν ῥηθέντω

B. ἀθρόοι] ἀντὶ τοῦ ὁμοῦ. οὐ γὰρ εἴ τι πολύ, τ
ὁμοῦ. διὰ τοῦτο οὖν πολλοὶ ἀθρόοι φησίν. R.

E. ἀεὶ ταὐτὰ] οἰκειότερον γὰρ ἐπιστήμης τὸ ἀ
περὶ τῶν αὐτῶν λέγειν ἢ τὸ ἕτερα. R.

491 D. τί ἢ τί] ὁ Καλλικλῆς συνεὶς τοῦτο
βὼν δὲ διαίρεσίν τινα περιέχειν τὴν ἐρώτη
ἀξιοῖ σαφῶς αὐτὸ εἰπεῖν, τί
βούλεται. διόπερ φησὶ τί ἢ τί.

E. ἡδὺς εἶ] κατ'

E. οὐδεὶς ὅστις
ἄν μοι μαρτ
ἠλιθίους
ἠλιθίους
πόνον

C. αὐτοσχεδιάζειν] αὐτομάτως, ἀσκέπτως εἰπεῖν. R.

E. Ἀσπασίαν] αὕτη Ἀξιόχου, Μιλησία, γυνὴ Περικλέους, παρὰ Σωκράτει πεφιλοσοφηκυῖα, ὡς Διόδωρος ἐν τῷ περὶ Μιλήτου συγγράμματι φησίν. ἐπεγήματο δὲ μετὰ τὸν Περικλέους θάνατον Λυσικλεῖ τῷ προβατοκαπήλῳ, καὶ ἐξ αὐτοῦ ἔσχεν υἱὸν ὀνόματι Ποριστήν, καὶ τὸν Λυσικλέα ῥήτορα δεινότατον κατεσκευάσατο, καθάπερ καὶ Περικλέα δημηγορεῖν παρεσκεύασεν, ὡς Αἰσχίνης ὁ Σωκρατικὸς ἐν διαλόγῳ Καλλίᾳ καὶ Πλάτων ὁμοίως Πεδήταις. Κρατῖνος δὲ τύραννον αὐτὴν καλεῖ Χείρωσιν, Ὀμφάλην Εὔπολις Φίλοις· ἐν δὲ Προσπαλτίοις Ἑλένην αὐτὴν καλεῖ· ὁ δὲ Κρατῖνος καὶ Ἥραν, ἴσως ὅτι καὶ Περικλῆς Ὀλύμπιος προσηγορεύετο. ἔσχε δὲ ἐξ αὐτῆς ὁ Περικλῆς νόθον υἱόν, ἐφ' ᾧ καὶ ἐτελεύτα τῶν γνησίων προαποθανόντων, ὡς Εὔπολις Δήμοις. R S.

236 A. Ῥαμνουσίου] Ῥαμνοῦς δῆμος Αἰαντίδος, ἐξ οὗ οὗτος. R.

237 D. βοτὰ] τὰ βοσκήματα. κατὰ πάντων δὲ χερσαίων καὶ πτηνῶν καὶ ἐνύδρων λέγεται ζώων, ὅσα βόσκεται. R.

239 E. ὁ δὲ υἱὸς] τὸν Καμβύσην φησίν. R.

240 A. Σάρδεις] πόλις Λυδίας. R.

B. Ἐρέτρια] πόλις Εὐβοίας. R.

C. Μαραθὼν] τόπος τῆς Ἀττικῆς, ἀπέχων τῶν Ἀθηνῶν σταδίους τριακοσίους, τῇ φύσει τραχύς, δυσίππαστος, ἔχων ἐν ἑαυτῷ πηλούς, τενάγη, λίμνας. R.

C. τῇ ὑστεραίᾳ] νόμος γὰρ ἦν αὐτοῖς μὴ ἄλλως ἐξάγειν εἰς πόλεμον, εἰ μὴ πανσέληνος ἦ. R.

241 A. Σαλαμὶς] πρὸς τῇ Ἀττικῇ νῆσός τε καὶ πόλις. Ἀρτεμίσιον δὲ ἄκρα τῆς Εὐβοίας, ἡ τείνουσα ἐπὶ θάλασσαν. ἕτερος δὲ αὐλὼν παράκειται τῇ θαλάσσῃ, ἐν ᾧ ἡ ναυμαχία ἐγένετο. R.

C. Πλαταιαὶ] πόλις Βοιωτίας. R.

D. Εὐρυμέδων] ποταμὸς Παμφυλίας. R.

242 A. Τάναγρα] πόλις Βοιωτίας. R.

E. τρίτος δὲ πόλεμος] περὶ τῶν ἐν Σικελίᾳ καὶ Ἑλλησπόντῳ καὶ Μιτυλήνῃ ναυμαχησάντων. S. ἱστέον δὲ ὅτι Ἄλεξις ὁ κωμικός φησι

τῶν ἑπτὰ νήσων, ἃς δέδειχεν ἡ φύσις
θνητοῖς μεγίστας, Σικελία μέν, ὡς λόγος,

Ε. πληρωσάμενος] οὐκ ἐμπλησθεὶς ἀλλὰ προσδεὴς ὤν. R.

494 Β. χαραδριὸς ὄρνις τις, ὃς ἅμα τῷ ἐσθίειν ἐκκρίνει. εἰς ὃν ἀποβλέψαντες, ὡς λόγος, οἱ ἰκτεριῶντες ῥᾷον ἀπαλλάττονται· ὅθεν καὶ ἐγκύπτουσιν αὐτὸν οἱ πιπράσκοντες, ἵνα μὴ προῖκα ὠφελῶνται οἱ κάμνοντες.

καί μιν καλύπτει· μῶν χαραδριὸν περνάς;
ὥς φησιν Ἱππῶναξ. R S.

Β. λέγεις οἷον] τοῦτο ἐκ τοῦ ἀπεμφαίνοντος πρόεισιν. R.

C. μὴ ἀπαισχυνῇ] ἀντὶ τοῦ μὴ αἰσχυνθείης. R.

C. κνησιῶντα] ἐπιθυμητικῶς ἔχοντα τοῦ κνᾶσθαι, ὅ ἐστι κνήθεσθαι. R.

D. ἀνδρεῖος] ἀντὶ τοῦ ἀναιδής, κατ' εὐφημίαν. R.

Ε. κιναίδων] ἀσελγῶν, μαλακῶν. καὶ κιναιδία ἡ πορνικὴ ἀσχημοσύνη, ἀπὸ τοῦ ὀρνέου τῆς ἴυγγος, ὃ καὶ κιναίδιον καλεῖται. R.

495 Α. ἵνα δή μοι] τοῦτο φησίν· ἐγὼ μὲν ἕτερον εἶναι τὸ ἀγαθὸν τοῦ ἡδέος διανοοῦμαι· ἀλλ' ἵνα μὴ ἀσύμφωνος ὦ ἑαυτῷ, ταῦτα εἶναί φημι τὰ αὐτά. R.

Α. τοὺς πρώτους λόγους] τοὺς ἑαυτοῦ δηλονότι, ἐν οἷς ἐμέμφετο Γοργίαν καὶ Πῶλον ὡς παρὰ τὰ δοκοῦντα αὐτοῖς δι' αἰσχύνην ἀποκριναμένους, αὐτὸς δὲ ἐπηγγέλλετο παρρησιαζόμενος πᾶσαν ἐρεῖν τὴν ἀλήθειαν. R.

Β. αἰνιχθέντα] τῷ γὰρ τοῦ κιναίδων βίου ὀνόματι κακὰ πολλὰ συνεσημαίνετο. R.

D. ὦ σοφώτατε σὺ] κατ' εἰρωνείαν ὑπὸ Καλλικλέους εἴρηται, ὡς φησὶ Πλούταρχος. R.

D. Ἀχάρναι δῆμος Οἰνηΐδος, ἐξ οὗ οὗτος. R.

D. Σωκράτης] τοῦτό φησι Καλλικλῆς καθ' ὁμοιότητα Σωκράτους. R.

D. Ἀλωπεκὴ δῆμος Ἀντιοχίδος, ἐξ οὗ οὗτος. R.

Ε. τοὺς εὖ πράττοντας] τὸ ἀγαθὸν καὶ κακὸν εἰπεῖν βουληθεὶς τὰ μετέχοντα λέγει. R.

Ε. τοῦ τρίτου ἐπιχειρήματος, ὅτι ἐπ' εὐθείας, ἐκ τοῦ τὰ ἐναντία μήτε ἅμα συνεῖναι μήτε ἅμα ἀπαλλάττεσθαι. O.

Ε. εὐδαιμόνως βιοῦσιν, ἥδονται κνῶντες οἱ ψωριῶντες. O.

[redacted].C. ἡδὺ] ἀντὶ τοῦ ἡδόμενον λεπτέον. R.

Ε. αἰσθάνῃ οὖν τὸ συμβαῖνον] εἰ προηγεῖται μὲν ἐν τῷ διψῇν λύπη, ἐν δὲ τῷ πίνειν ἐπιγίγνεται ἡδονὴ καὶ συννπάρχει αὐτῇ, ἅμα μὲν οὐ παραγίγνεται τἀναντία, καθὼς ἐν τῷ Φαίδωνι τῇ λύπῃ φησὶ τὴν ἡδονήν, ἅμα δὲ σύνεστι, καθὼς ἐνταῦθα λέγει. καὶ οὐ μάχεται ἑαυτῷ, εἴπερ ἄλλο μὲν τὸ ἅμα παραγίγνεσθαι, ὅπερ οὐκ ἔστιν ἐπὶ τῶν ἐναντίων εὑρεῖν, ἄλλο δὲ τὸ συνεῖναι, ὅ ἐστιν ἐπ' αὐτῷ ἐγγωροῦν. R.

497 A. τὸ ἀκκίζεσθαι ἐκ γυναικὸς εἰρῆσθαί φασιν Ἀκκοῦς καλουμένης, ἣν οὕτως εὐήθη λέγουσιν, ὡς ἀπὸ τοῦ ἱστοῦ θοιμάτιον καθελομένην ἡμίεργον ἀμφιέσασθαι, εἷς τε τὸ κάτοπτρον βλέπουσαν πρὸς τὴν παρ' αὐτῆς ἔμφασιν εἰς αὐτὸ γιγνομένην ὡς ἑτέρᾳ προσλαλεῖν γυναικί. μέμνηται ταύτης Ἕρμιππος ἐν Ἀθηνᾶς γοναῖς καὶ Ἄμφις ἐν τῷ ὁμωνύμῳ αὐτῆς δράματι. ἀκκίζῃ οὖν φησὶν ἀντὶ τοῦ ἀνοηταίνεις οἷα γυνή, μὴ εἰδέναι προσποιούμενος. R S. ἀκκίζειν τὸ προσποιεῖσθαι, τὸ θρύπτεσθαι, τὸ μωραίνειν· πέπλασται δὲ ἡ λέξις ἀπὸ Ἀκκοῦς τινὸς μωροτάτης, ἣ τόν τε ἱστὸν διελοῦσα τοὺς στήμονας, ἐπεὶ ὑφ' ἑτέρας ἐκαλεῖτο, ἱστουργοῦσα προῆλθεν καὶ ἡμιτέλεστον ἄλλο ἱμάτιον πεποίηται, μέρος τοῦ ἱματίου γυμνοὺς τοὺς στήμονας ἀφορίσασα. O.

A. ἔχων ληρεῖς] ἀντὶ τοῦ ὑποκρίνῃ ἄνοιαν. R.

A. σοφὸς] ἀνόητος, κατ' εὐφημίαν. R.

C. τὰ σμικρά τε καὶ στενὰ] οὕτως ἀπέσκωπτον οἱ σοφιστικοὶ ῥήτορες τοὺς διαλεκτικοὺς λόγους· καὶ Ἱππίας γοῦν περιτμήματα αὐτοὺς ἐκάλεσεν. R.

C. τὰ μεγάλα γε μεμύησαι, πρὶν τὰ σμικρὰ] δηλονότι μυστήρια. διττὰ ἦν τὰ μυστήρια παρ' Ἀθηναίοις, καὶ τὰ μὲν μικρὰ ἐκαλεῖτο, ἅπερ ἐν ἄστει ἐτέλουν, τὰ δὲ μεγάλα, ἅπερ Ἐλευσῖνι ἤγετο. καὶ πρότερον ἔδει τὰ μικρὰ μυηθῆναι, εἶτα τὰ μεγάλα· ἄλλως δὲ τῶν μεγάλων μετασχεῖν οὐκ ἦν θεμιτόν. ἐτελεῖτο δὲ ταῦτα καὶ Δηοῖ καὶ Κόρῃ, ὅτι ταύτην μὲν Πλούτων ἁρπάξειε, Δηοῖ δὲ μιγείη Ζεύς· ἐν οἷς πολλὰ μὲν ἐπράττετο αἰσχρά, ἐλέγετο δὲ πρὸς τῶν μυουμένων ταῦτα· ἐκ τυμπάνου ἔφαγον, ἐκ κυμβάλου ἔπιον, ἐκερνοφόρησα (κέρνος δὲ τὸ λίκνον ἤγουν τὸ πτύον ἐστίν), ὑπὸ τὸν παστὸν ὑπέδυον καὶ τὰ ἑξῆς. R S.

498 E. παροιμία, δὶς καὶ τρὶς τὸ καλόν, ὅτι χρὴ περὶ τῶν

Ε. πληρωσάμενος] οὐκ ἐμπλήσθεὶς ἀλλὰ προσδεὴς ὤν. R.

494 Β. χαραδριὸς ὄρνις τις, ὃς ἅμα τῷ ἐσθίειν ἐκκρίνει. εἰς ὃν ἀποβλέψαντες, ὡς λόγος, οἱ ἰκτεριῶντες ῥᾷον ἀπαλλάττονται· ὅθεν καὶ ἐγκρύπτουσιν αὐτὸν οἱ πιπράσκοντες, ἵνα μὴ προῖκα ὠφελῶνται οἱ κάμνοντες.

καί μιν καλύπτει· μῶν χαραδριὸν περνάς;
ὡς φησιν Ἱππῶναξ. R S.

Β. λέγεις οἷον] τοῦτο ἐκ τοῦ ἀπεμφαίνοντος πρόεισιν. R.

C. μὴ ἀπαισχυνῇ] ἀντὶ τοῦ μὴ αἰσχυνθείης. R.

C. κνησιῶντα] ἐπιθυμητικῶς ἔχοντα τοῦ κνᾶσθαι, ὅ ἐστι κνήθεσθαι. R.

D. ἀνδρεῖος] ἀντὶ τοῦ ἀναιδής, κατ' εὐφημίαν. R.

Ε. κιναίδων] ἀσελγῶν, μαλακῶν. καὶ κιναιδία ἡ πορνικὴ ἀσχημοσύνη, ἀπὸ τοῦ ὀρνέου τῆς ἴυγγος, ὃ καὶ κιναίδιον καλεῖται. R.

495 Α. ἵνα δή μοι] τοῦτο φησίν· ἐγὼ μὲν ἕτερον εἶναι τὸ ἀγαθὸν τοῦ ἡδέος διανοοῦμαι· ἀλλ' ἵνα μὴ ἀσύμφωνος ὦ ἑαυτῷ, ταῦτα εἶναί φημι τὰ αὐτά. R.

Α. τοὺς πρώτους λόγους] τοὺς ἑαυτοῦ δηλονότι, ἐν οἷς ἐμέμφετο Γοργίαν καὶ Πῶλον ὡς παρὰ τὰ δοκοῦντα αὐτοῖς δι' αἰσχύνην ἀποκριναμένους, αὐτὸς δὲ ἐπηγγέλλετο παρρησιαζόμενος πᾶσαν ἐρεῖν τὴν ἀλήθειαν. R.

Β. αἰνιχθέντα] τῷ γὰρ τοῦ κιναίδων βίου ὀνόματι κακὰ πολλὰ συνεσημαίνετο. R.

D. ὦ σοφώτατε σὺ] κατ' εἰρωνείαν ὑπὸ Καλλικλέους εἴρηται, ὡς φησὶ Πλούταρχος. R.

D. Ἀχάρναι δῆμος Οἰνηΐδος, ἐξ οὗ οὗτος. R.

D. Σωκράτης] τοῦτό φησι Καλλικλῆς καθ' ὁμοιότητα Σωκράτους. R.

D. Ἀλωπεκὴ δῆμος Ἀντιοχίδος, ἐξ οὗ οὗτος. R.

Ε. τοὺς εὖ πράττοντας] τὸ ἀγαθὸν καὶ κακὸν εἰπεῖν βουληθεὶς τὰ μετέχοντα λέγει. R.

Ε. τοῦ τρίτου ἐπιχειρήματος, ὅτι ἐπ' εὐθείας, ἐκ τοῦ τὰ ἐναντία μήτε ἅμα συνεῖναι μήτε ἅμα ἀπαλλάττεσθαι. O.

Ε. εὐδαιμόνως βιοῦσιν, ἥδονται κνῶντες οἱ ψωριῶντες. O.

496 C. ἡδὺ] ἀντὶ τοῦ ἡδόμενον λεκτέον. R.

Ε. αἰσθάνῃ οὖν τὸ συμβαῖνον] εἰ προηγεῖται μὲν ἐν τῷ διψῇν λύπη, ἐν δὲ τῷ πίνειν ἐπιγίγνεται ἡδονὴ καὶ συννπάρχει αὐτῇ, ἅμα μὲν οὐ παραγίγνεται τἀναντία, καθὼς ἐν τῷ Φαίδωνι τῇ λύπῃ φησὶ τὴν ἡδονήν, ἅμα δὲ σύνεστι, καθὼς ἐνταῦθα λέγει. καὶ οὐ μάχεται ἑαυτῷ, εἴπερ ἄλλο μὲν τὸ ἅμα παραγίγνεσθαι, ὅπερ οὐκ ἔστιν ἐπὶ τῶν ἐναντίων εὑρεῖν, ἄλλο δὲ τὸ συνεῖναι, ὅ ἐστιν ἐπ' αὐτῷ ἐγχωροῦν. R.

497 A. τὸ ἀκκλίζεσθαι ἐκ γυναικὸς εἰρῆσθαί φασιν Ἀκκοῦς καλουμένης, ἣν οὕτως εὐήθη λέγουσιν, ὡς ἀπὸ τοῦ ἱστοῦ θοιμάτιον καθελομένην ἡμίεργον ἀμφιέσασθαι, εἶς τε τὸ κάτοπτρον βλέπουσαν πρὸς τὴν παρ' αὐτῆς ἔμφασιν εἰς αὐτὸ γιγνομένην ὡς ἑτέρα προσλαλεῖν γυναικί. μέμνηται ταύτης Ἑρμιππος ἐν Ἀθηνᾶς γοναῖς καὶ Ἄμφις ἐν τῷ ὁμωνύμῳ αὐτῆς δράματι. ἀκκλίζῃ οὖν φησὶν ἀντὶ τοῦ ἀνοηταίνεις οἷα γυνή, μὴ εἰδέναι προσποιούμενος. R S. ἀκκλίζειν τὸ προσποιεῖσθαι, τὸ θρύπτεσθαι, τὺ μωραίνειν· πέπλασται δὲ ἡ λέξις ἀπὸ Ἀκκοῦς τινὸς μωροτάτης, ἣ τόν τε ἱστὸν διελοῦσα τοὺς στήμονας, ἐπεὶ ὑφ' ἑτέρας ἐκαλεῖτο, ἱστουργοῦσα προῆλθεν καὶ ἡμιτέλεστον ἄλλο ἱμάτιον πεποίηται, μέρος τοῦ ἱματίου γυμνοὺς τοὺς στήμονας ἀφορίσασα. O.

A. ἔχων ληρεῖς] ἀντὶ τοῦ ὑποκρίνῃ ἄνοιαν. R.

A. σοφὸς] ἀνόητος, κατ' εὐφημίαν. R.

C. τὰ σμικρά τε καὶ στενὰ] οὕτως ἀπέσκωπτον οἱ σοφιστικοὶ ῥήτορες τοὺς διαλεκτικοὺς λόγους· καὶ Ἱππίας γοῦν περιτμήματα αὐτοὺς ἐκάλεσεν. R.

C. τὰ μεγάλα γε μεμύησαι, πρὶν τὰ σμικρὰ] δηλονότι μυστήρια. διττὰ ἦν τὰ μυστήρια παρ' Ἀθηναίοις, καὶ τὰ μὲν μικρὰ ἐκαλεῖτο, ἅπερ ἐν ἄστει ἐτέλουν, τὰ δὲ μεγάλα, ἅπερ Ἐλευσῖνι ἦγετο. καὶ πρότερον ἔδει τὰ μικρὰ μυηθῆναι, εἶτα τὰ μεγάλα· ἄλλως δὲ τῶν μεγάλων μετασχεῖν οὐκ ἦν θεμιτόν. ἐτελεῖτο δὲ ταῦτα καὶ Δηοῖ καὶ Κόρῃ, ὅτι ταύτην μὲν Πλούτων ἁρπάξειε, Δηοῖ δὲ μιγείη Ζεύς· ἐν οἷς πολλὰ μὲν ἐπράττετο αἰσχρά, ἐλέγετο δὲ πρὸς τῶν μυουμένων ταῦτα· ἐκ τυμπάνου ἔφαγον, ἐκ κυμβάλου ἔπιον, ἐκερνοφόρησα (κέρνος δὲ τὸ λίκνον ἦγουν τὸ πτύον ἐστίν), ὑπὸ τὸν παστὸν ὑπέδυον καὶ τὰ ἑξῆς. R S.

498 E. παροιμία, δὶς καὶ τρὶς τὸ καλόν, ὅτι χρὴ περὶ τῶν

καλῶν πολλάκις λέγειν. Ἐμπεδοκλέους τὸ ἔπος, ἀφ' οὗ καὶ ἡ παροιμία· φησὶ γὰρ

καὶ δὶς γάρ, ὃ δεῖ, καλόν ἐστιν ἐνισπεῖν. R S.

499 A. οὐκοῦν ὁμοίως] ὑπερθετέον τὴν λέξιν οὕτως· οὐκοῦν ὁ κακὸς ὁμοίως· εἶτα τὰ ἑξῆς. R.

C. παλαιὸν λόγον] τὸν παροιμιώδη φησί. βούλεται δὲ οὗτος τὸ πάσῃ τύχῃ τῇ προσπιπτούσῃ χρῆσθαι πρὸς τὰς κατ' ἀρετὴν ἐνεργείας. R.

500 A. σὺ ἐκ τριτων] τὸν Γοργίαν καὶ Πῶλον ὡς ἕνα ἔλαβε. R.

A. τῶν ἀγαθῶν] μέχρι τούτου ὁ περὶ τοῦ τελικοῦ αἰτίου, τουτέστι τοῦ ἀγαθοῦ, τῶν ἠθικῶν ἀρχῶν λόγος. R.

A. ἆρ' οὖν] ἐντεῦθεν ὁ περὶ τῆς εὑρετικῆς τέχνης αὐτοῦ, τάξιν εἰσαγούσης καὶ κόσμον ταῖς ψυχαῖς, ἥ ἐστι δικαιοσύνη καὶ σωφροσύνη καὶ ὅλως ἀρετή. R.

B. παρασκευαὶ] οὐ τέχνας, οὐκ ἐμπειρίας εἶπεν, ἀλλὰ τὸ μέσον τούτων, τὰς παρασκευάς, ὥσπερ ἐν τοῖς πρόσθεν τὰς ἐπιτηδεύσεις. R.

B. τῶν μὲν] τῶν παρασκευῶν δηλαδή. R.

B. Διὸς ἦν ἐπώνυμον παρ' Ἀθηναίοις ὁ φίλιος, ἐκ τοῦ εἶναι τῶν φιλικῶν καθηκόντων αὐτὸν ἔφορον. R.

C. ὁ δή σύνδεσμος ἐμφαντικὸς εἰρωνείας ἐστίν. R.

C. ἴσως οὖν] ὅρα τὴν παράδοσιν τῆς τῶν προβλημάτων τάξεως, ὅτι πρῶτον δεῖ διαιρεῖσθαι, εἶτα τὴν διαφορὰν τῶν διαιρεθέντων ἐλεῖν, καὶ τρίτον ὁποῖον βέλτιον. R.

E. ἡ δ' ἰατρικὴ] τούτῳ προσθετέον ἀπὸ κοινοῦ τὸ τέχνη εἶναι. R.

501 A. ὅτι ἡ μὲν τούτου] τὰ κατὰ πᾶσαν θεωρούμενα τέχνην ταῦτα, γνῶσις τοῦ πράγματος περὶ ὃ σπουδάζει, ἐπίσκεψις αἰτιῶν δι' ἃς προσφέρει ἑκάστοις ἃ προσφέρει, ἀπόδοσις λόγου τούτων ἑκάστου. R.

A. διαριθμησαμένη] ἀντὶ τοῦ διακρίνασα ἢ διαλογισαμένη. ἀπὸ τοῦ ἀριθμοῦ δὲ εἴρηται, ἐπειδὴ καὶ οἱ ἀριθμοὶ διακέκριντται ἀπ' ἀλλήλων καὶ πάντα κατ' αὐτοὺς διατέτακται, ὡς ὁ Πυθαγόρειος διδάσκει λόγος. R.

C. σὺ δὲ δή] ὡς Γοργίου καὶ Πώλου τὰ αὐτὰ ἤδη συγχωρησάντων. R.

C. οὐκ ἔγωγε] ἔμφασιν ἔχει τοῦ μὴ ἀρέσκεσθαι αὐτὸν οἷς ὁμολογεῖν ἀναγκάζεται. R.

E. κιθαριστικὴ] αὐλητικὴν μὲν πᾶσαν ἐκβάλλει τῶν ὀρθῶν πολιτειῶν, κιθαριστικὴν δὲ οὐ πᾶσαν, ἀλλὰ τὴν ἐν τοῖς ἀγῶσι μόνην. οἶδε γὰρ ἄλλην, ἣν σώζειν τὰς πολιτείας νενόμικεν. R.

502 B. ἡ σεμνὴ] ὡς εὐδοκιμοῦσα μᾶλλον τῶν ἄλλων τῆς μουσικῆς εἰδῶν κατ' ἐκείνους τοὺς χρόνους. ἰστέον δὲ ὅτι ἡ τραγῳδία, κολακεία τις οὖσα, ὑπὸ τὸ σοφιστικὸν ταύτης εἶδος τέτακται, ἅτε δὴ γνώμας ἀποφαινομένη καὶ περὶ δικαίων καλῶν τε καὶ ἀγαθῶν ὑψηλολογουμένη· ἣ καὶ κατὰ τὸ δημηγορικόν, καθ' ὅσον καὶ αὐτός φησιν, εἴ τις αὐτῆς τὰ μέτρα περιέλοι, μηδὲν ἕτερον αὐτὴν φανῆναι ἢ δημηγορίαν, ἐπειδὴ καὶ παθῶν ὑπερβαλλόντων κινητικαὶ ἀμφότεραι. R.

D. τί δὲ] ἐντεῦθεν τῆς δημαγωγικῆς ῥητορικῆς διαβολή. R.

E. ἐλευθέρων ἀνδρῶν] τοῦτό φησι πρὸς ἀντιδιαστολὴν τῶν ἐν τοῖς θεάτροις ὄχλων, διὰ μὲν τῶν ἐλευθέρων τοὺς δούλους περιελών, διὰ δὲ τῶν ἀνδρῶν παῖδάς τε καὶ γυναῖκας. R.

503 C. τί δὲ Θεμιστοκλέα] ἡ τάξις τῶν δημαγωγῶν οὐ πρὸς τὸν χρόνον, πρὸς δὲ τὸν τρόπον αὐτῶν. πρῶτον γὰρ Θεμιστοκλέα φησὶν ὡς μᾶλλον κατὰ νοῦν καὶ λογισμὸν τὰ τοῦ πολέμου διαθέμενον, Κίμωνα δὲ δεύτερον ὡς ἐκείνῳ παραπλήσιον, Μιλτιάδην δὲ τρίτον ὡς τύχῃ μᾶλλον ἢ γνώμῃ τῶν πολεμίων κρατήσαντα, Περικλέα δὲ τελευταῖον, ἐπειδὴ πολὺς ἦν ὁ περὶ αὐτοῦ λόγος, καὶ δι' αὐτοῦ τὸν Σωκράτην μάλιστα προσάξεσθαι ἤλπισε. R.

504 D. δικαιοσύνη τε καὶ σωφροσύνη] τῷ μὲν νομίμῳ τὴν δικαιοσύνην ἀπέδωκε, τῷ δὲ κοσμίῳ τὴν σωφροσύνην. R.

505 C. αὐτὸς γνώσῃ] ἀντὶ τοῦ εἴ τι θέλεις, ποίει· ἐμοὶ γὰρ οὐ μέλει. R.

C. κεφαλὴν] αἴνιγμα τοῦτο τῶν παλαιῶν τε καὶ σοφῶν ἀνδρῶν, τὸ τέλειον πανταχῇ τετιμηκότων· ἐξαιρέτως δὲ ἐν τοῖς περὶ τὸν λογισμὸν τὸν ἡμέτερον, ὃν μῦθον ὀνομάσαντες, ὅτι καὶ τὸν λόγον οὕτως ἐκάλουν, κεφαλὴν αὐτοῦ τὸν νοῦν αἰνίττονται· οὐδὲν ἄλλο διὰ τούτου παρεγγυῶντες ἢ πάντας ἡμῶν τοὺς λογισμοὺς πρὸς ἓν τέλος βλέπειν, τὴν κατὰ νοῦν ἐνέργειαν. R.

E. Ἐπιχάρμου] οὗτος ὁ Ἐπίχαρμος γέγονε κωμῳδοποιός, καὶ εἰσήγαγέ τινας ἐν ἰδίῳ δράματι δύο διαλεγομένους

ἀλλήλους, καὶ ὕστερον ἕνα τῶν δύο πάλιν τὰ τῶν δύο διαλεγόμενον. R.

506 B. ἕως αὐτῷ] τὸν ὑπὲρ φιλοσοφίας λόγον βουληθῆναι ἂν φησιν ἀποδοῦναι Καλλικλεῖ, ὥσπερ ὁ Ἀμφίων τῷ Ζήθῳ τὸν ὑπὲρ μουσικῆς παρὰ τῷ Εὐριπίδῃ. R.

C. ἐξ ἀρχῆς, οὐ τοῦ διαλόγου φησί, τοῦ δὲ τελικοῦ αἰτίου τῶν ἠθικῶν ἀρχῶν. εἰ δὲ περὶ τοῦ τέλους μάλιστα προκειμένης τῆς ζητήσεως, περὶ τῆς ποιητικῆς αἰτίας καὶ τοῦ εἴδους ἐνδιέτριψε, θαυμάζειν οὐ χρή. τὸ γὰρ ἀγαθόν, ὅπερ τὸ τέλος ἐστίν, ἄρρητον καθ' αὑτό. διόπερ ἐνταῦθα μὲν διὰ τῆς ἀποφάσεως, ὧν δοκεῖ εἶναι, ὅτι οὐκ ἐστὶν ἡδονή, δηλοῦται· ἐν Παρμενίδῃ δὲ τελεώτερον οὐ περὶ ἀγαθοῦ τινὸς ἀλλ' ἁπλῶς περὶ ἀγαθοῦ ποιεῖται τὸν λόγον, ἐν Πολιτείᾳ δὲ δι' ἀναλογίας τινός· νυνὶ δ' ἐνταῦθα διὰ τῆς ἐπιστήμης καὶ τοῦ εἴδους, ὃ μόνως ἐξ ἀνάγκης παραγίνεται. τοιοῦτον δέ τινα τρόπον καὶ ἐν Φιλήβῳ· διὰ νοῦ γὰρ καὶ τῆς ἀληθοῦς ἡδονῆς. ποιητικὴν δέ φαμεν αἰτίαν τὴν ἐπιστήμην τῶν καλῶν καὶ ἀγαθῶν καὶ δικαίων, εἰδικὴν δὲ αὐτὰ ταῦτα, τελικὴν δὲ τὸ ἀγαθόν. R.

C. οὐ ταὐτὸν] ἐντεῦθεν ὁ Σωκράτης ἑαυτῷ ἀποκρίνεται. R.

D. ἀλλὰ μὴν] τοῦτο ὅπερ ἐλέγομεν, ὡς ἄρρητον αὐτὸ τὸ ἀγαθόν, διὰ τοῦ προπαραγενέσθαι τὴν ἀρετὴν δηλῶσαι βούλεται, ἣ καὶ μόνη καὶ ἐξ ἀνάγκης συνέπεται. R.

D. ἀλλὰ τάξει] τῆς ἀρετῆς εἶδος τὴν τάξιν καὶ τὴν ὀρθότητά φησι· τὸ δὲ ποιητικὸν τὴν τέχνην, ἥτις ἑφ' ἑκάστῳ τέτακται πράγματι. R.

507 B. οὔτε διώκειν τὰ κακὰ δηλονότι, οὔτε φεύγειν τὰ ἀγαθά. ταῦτα γὰρ οὐ προσήκει αὐτῷ, εἰ μὴ πρὸς ἀρετὴν καὶ εὐδαιμονίαν φέροι. R.

D. ὡς ἔχει ποδῶν] ἀντὶ τοῦ, ὅσον δυνάμεθα, ὀφείλομεν φυγεῖν τὰς κακὰς πράξεις. κατ' ἀναλογίαν οὖν εἶπε πόδας ὥσπερ πόδας Ἴδης τοῦ ὄρους φαμέν. κατὰ ζωὴν οὖν φεύγωμεν τὰ κακά, μὴ ποσίν, ἐπεὶ καὶ ὁ Πλωτῖνος ἀναγεσθαι λέγει τὰς ψυχὰς οὐ ποδὶ ἀλλὰ ζωῇ. R.

D. ὁ σκοπὸς] σκοπὸς καὶ τέλος τῇ σχέσει μόνον διαφέρουσι. σκοπὸς μὲν γάρ ἐστιν ἡ ἀρχή, τέλος δὲ σκοπὸς εἰς ἐνέργειαν ἀχθείς. ἢ σκοπὸς τέλος ἀνέκβατον, τέλος δὲ σκοπὸς ἐκβεβηκώς. R.

E. οἱ σοφοὶ] σοφοὺς ἐνταῦθα τοὺς Πυθαγορείους φησί,

καὶ διαφερόντως τὸν Ἐμπεδοκλέα, φάσκοντα τὴν φιλίαν ἑνοῦν τὸν σφαῖρον, ἑνοποιὸν εἶναι. τοῦτο δὲ πρὸς τῇ μιᾷ ἐστὶ τῶν πάντων ἀρχῇ. R.

508 A. ἡ ἰσότης ἡ γεωμετρικὴ] τουτέστιν ἡ δικαιοσύνη.

A. ταύτην δὲ τὴν γεωμετρικὴν ἀναλογίαν Διὸς κρίσιν ἐν Νόμοις ἐκάλεσεν, ὡς δι' αὐτῆς τῶν πάντων κεκριμένων τε καὶ ὡρισμένων. ἰστέον δὲ ὅτι ἀριθμητικὴν ἀναλογίαν εἶναί φασιν, ὅταν τριῶν ἀριθμῶν ἀνίσων ὁ μέσος ὑπερέχῃ τε τῷ ἴσῳ καὶ ὑπερέχηται, οἷον β′ δ′ ς′, γεωμετρικὴν δὲ ὅταν τριῶν ἀριθμῶν ὄντων ἀνίσων, ὃν ἔχει λόγον ὁ πρῶτος πρὸς τὸν δεύτερον, τοῦτον καὶ ὁ δεύτερος πρὸς τὸν τρίτον, οἷον δ′ ς′ θ′, ἁρμονικὴν δέ, ὅταν τριῶν ἀριθμῶν ἀνίσων, ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτως ἔχῃ καὶ ἡ τῶν μειζόνων διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων, οἷον β′ γ′ ς′. R.

D. ἐπὶ κόρρης] ἐπὶ κεφαλῆς ἢ γνάθου ἢ κροτάφου. κόρρην γὰρ καὶ κόρσην τὴν ὅλην κεφαλὴν σὺν τῷ αὐχένι λέγουσι. τινὲς δὲ καὶ ῥάπισμά φασι τὸ ἐπὶ τῆς γνάθου λαμβάνειν, ἁπτόμενον καὶ τοῦ κροτάφου. R.

D. τέμνεσθαι] ἀντὶ τοῦ ζημιοῦσθαι ἐνταῦθα. R.

E. ἐμὲ] τὸν ἐκ ψυχῆς καὶ σώματος Σωκράτη, οὐ τὸν κατὰ τὴν ψυχὴν μόνον. οὐ γὰρ θεμιτόν, φησὶν αὐτός, ἀμείνονα ὑπὸ χείρονος βλάπτεσθαι. R.

509 A. ἀγροικότερον] τοῦτό φησι διὰ τὴν μεταφορὰν τῶν σιδηρῶν καὶ ἀδαμαντίνων λόγων. R.

A. εἶναι] προσυπακουστέον τὸ τοῦτο ἀκριβῶς οἶδα. R.

B. εἰ οἷόν τε] ἐπειδὴ μεῖζον μεγίστου οὐκ ἔστι, διὰ τοῦτο τὸ εἰ οἷόν τε πρόσκειται. R.

B. ταύτην] τὴν τῆς ψυχῆς δηλαδή, δευτέραν δὲ τὴν τοῦ σώματος, καὶ τρίτην τὴν τῶν ἐκτός. R.

C. καὶ τἆλλα] περὶ τῶν νομιζομένων ἀγαθῶν τοῦτο λέγει, οἷς καὶ τάξιν τινὰ ἐν Νόμοις ἐπέθηκεν, εἰπὼν ὑγίειαν, κάλλος, ἰσχύν, πλοῦτον. R.

517 E. σκυτοτόμον σκυτέα ἢ λωροτόμον, σκυτοδεψὸν δὲ τὸν δερματομαλάκτην ἢ βυρσοδέψην. R.

523 A. ἦν οὖν νόμος] τὸ ἦν καὶ τὸ ἔστιν χρονικὴν ἐμφαίνει διαφοράν, ἵνα σημάνῃ πρώτας καὶ δευτέρας ὑποστάσεις· ὅτι δὲ ἀχρόνως ταῦτα δεῖ νοεῖν, ἐμφαίνει τὸ ἀεὶ ἐστιν. O.

B. ὅτι ὁ συνέχων καὶ τὴν λοιπὴν δυάδα οὗτός ἐστιν ὁ Ζεύς, πρὸς ὃν καὶ ὁ Πλούτων ἐπιστρέφεται· καὶ τὸν νοῦν προσείληφε καὶ τοὺς λόγους πάντων πρὸ τῆς δυάδος. O.

B. Δία νῦν ἀκουστέον οὐ τὸν πρὸ τῶν τριῶν ἀλλὰ τὸν ἕνα τῶν τριῶν, πρὸς ὃν ἐπιστρέφεται ὁ Πλούτων καὶ οἱ ἐπιμεληταί. εἰσὶ δὲ δαίμονες κολαστικοὶ καὶ καθαρτικοὶ καὶ τελεσιουργοί. O.

E. γυμνὸς ὁ κριτὴς οὐ μόνον τοῦ ὀστρεώδους σώματος ἀλλὰ καὶ τοῦ ἀερώδους φυράματος, καὶ μόνον ἔχων τὸ αὐτοειδὲς ὄχημα· οἱ δὲ κρινόμενοι γυμνοὶ μὲν τῆς παχύτητος τοῦ ὀστρεώδους, περιφέροντες δὲ τὸ ἀέριον φύραμα καὶ δεόμενοι καθάρσεως. O.

ΕΙΣ ΤΟΝ ΜΕΝΩΝΑ.

P. 70 C. Θετταλία χώρα τις ὑπὸ τὴν Μακεδονίας ἐπαρχίαν· οἱ δ' ἀπ' αὐτῆς Θετταλοί. R.

C. Λάρισσα πόλις Θετταλίας. R.

C. Ἀλευάδαι οἱ ἐν Λαρίσσῃ τῆς Θετταλίας εὐγενέστατοι, ἀπὸ Ἀλεύου βασιλέως τὸ γένος ἔχοντες. R.

71 B. τούτου τοῦ πράγματος] ἀντὶ τοῦ εἰς τοῦτο τὸ πρᾶγμα ἢ ἀντὶ τοῦ ἕνεκα τούτου ἢ ἀντὶ τοῦ ἀπόρως ἔχειν. O.

79 D. περὶ τοῦ σχήματος] ἐλέγετο γὰρ ὅτι σχῆμά ἐστιν ὃ ἀεὶ χρόᾳ ἕπεται· αὕτη δὲ ἀγνοεῖσθαι ὑπέκειτο. R.

80 B. ὡς γόης ἀπαχθείης] ὡς κακοῦργος παραδοθείης εἰς τὸ δεσμωτήριον. R.

82 B. γιγνώσκεις τετράγωνον] σημείωσαι τὸν παρὰ τῷ Μένωνι λόγον, οὗ καὶ ὁ δαιμόνιος Ἀριστοτέλης μνημονεύει ἐν τῇ λογικῇ πραγματείᾳ. R.

83 A. μὴ ταύτῃ μὲν] οὕτω γὰρ ἑτερόμηκες εἴη. R.

B. διπλάσιον] τοῦ τετράποδος. R.

B. ἥμισυ] τοῦ ἑκκαιδεκάτου. R.

E. ἥμισυ ταύτης] τῆς δίποδος δηλονότι. ἔστι δ' ἕν, ὃ σὺν αὐτῇ τῇ δίποδι ληφθὲν τὴν τρίποδα ποιεῖ, κατά τε μῆκος καὶ πλάτος. R.

84 A. ᾧετο] λέγων εἶναι τὴν διπλασίαν τῆς δίποδος. R.

90 A. ἔθρεψε] ὁ πατὴρ δηλαδή. R.

91 C. Ἡράκλεις] ἐπίφθεγμα θαυμαστικόν. R.

93 D. ἐδιδάξατο καὶ ἐπαιδεύσατο δι' ἑτέρου τὸν υἱόν. αὐτὸς μέντοι Θεμιστοκλῆς δι' ἑαυτοῦ οὐδὲν τούτων. R.

97 D. δεδεμένα ᾖ] τῶν πάλαι δημιουργῶν πλαττόντων τὰ ζῶα συμμεμυκότας ἔχοντα τοὺς ὀφθαλμοὺς καὶ οὐ διεστηκότας τοὺς πόδας, ἀλλ' ἑστῶτα σύμποδα, Δαίδαλος ἄριστος ἀγαλματοποιὸς ἐπιγεγονὼς πρῶτος ἀναπετάννυσί τε τὰ τούτων βλέφαρα, ὡς δόξαι βλέπειν αὐτά, καὶ τοὺς πόδας, ὡς νομίσαι βαδίζειν, διίστησι· καὶ διὰ τοῦτο δεδέσθαι, ἵνα μὴ φύγοιεν, ὡς δῆθεν ἐμψύχων ἤδη γεγονότων αὐτῶν. τοῖς δεδεμένοις οὖν τὰς ἀληθεῖς ἐοικέναι δόξας φησί, τοῖς λελυμένοις δὲ τούτων τὰς ψευδεῖς. R.

100 A. οἷος πέπνυται] ἐν τῇ κ τῆς Ὀδυσσείας φησὶν Ὅμηρος περὶ Τειρεσίου. R.

ΕΙΣ ΤΟΝ ΜΕΙΖΟΝΑ ΙΠΠΙΑΝ.

P. 281 A. Ἦλις πόλις Πελοποννήσου πρὸς τῇ Ὀλυμπίᾳ, ἀπέχουσα Πίσης τριακοσίους σταδίους. R.

B. Λακεδαίμονα] πόλις καὶ αὕτη Πελοποννήσου, πρότερον Σπάρτη προσαγορευομένη. R.

282 B. Λεοντῖνοι πόλις Σικελίας. R.

C. Κέως νῆσος, ἣ καὶ Μεροπὶς ἐκαλεῖτο. R.

288 B. παροιμία, αὐτὸ δείξει, ἐπὶ τῶν ἀπιστούντων τι μὴ γίνεσθαι. μέμνηται δ' αὐτῆς καὶ Κρατῖνος ἐν Πυλαίᾳ, καὶ Πλάτων ἐν Θεαιτήτῳ καὶ ἐνταῦθα. καὶ ἔστιν, ὁ τὸν ποταμὸν καθηγούμενος καὶ τὸν πόρον ζητῶν, αὐτὸ δείξει. τῶν γὰρ παροιμιῶν αἱ μὲν καθ' αὑτὰς λέγονται, αἱ δὲ ἐπὶ λόγων σαφηνίζονται. μέμνηται δὲ αὐτῆς καὶ Σοφοκλῆς ἐν Λημνίαις οὕτως·

ταχὺ δ' αὐτὸ δείξει τοὔργον, ὡς ἐγώ, σαφῶς. R S.

290 A. τωθάσεται] σκώψει, λοιδορήσει, χλευάσει. R.

D. ἔτνος εἶδος ὀσπρίου, ὃ τινες καλοῦσι πισσάριον. τορύνη δὲ τὸ ταρακτήριον. R.

E. μέρμερος] φροντίδος ἄξιος, ἢ χαλεπός. R.

292 A. ἐφικέσθαι] καταλαβεῖν. R.

D. γεγωνεῖν] μέγα φθέγγεσθαι. R.

293 A. βάλλ' ἐς Μακαρίαν] Ἡρακλέους θυγάτηρ, Μακαρία τοὔνομα, ἣν λόγος κατὰ τὴν Εὐρυσθέως ἐπὶ τὰς Ἀθήνας στρατείαν αὐτοκέλευστον ἑαυτὴν ὑπὲρ τῆς πόλεως εἰς σφαγὴν ἐπιδοῦναι. τοὺς οὖν Ἀθηναίους κατὰ τιμὴν τῆς παιδός, βάλλοντας αὐτὴν ἄνθεσι καὶ στεφάνοις, παρακελεύεσθαι τοῖς ἄλλοις βάλλ' εἰς Μακαρίαν, ὡς τὴν παροιμίαν παρελθεῖν καὶ ἐπὶ τῶν προθυμουμένων τι, αὐθις δὲ παταχρηστικῶς καὶ ἐπὶ πάσης ἀφοσιώσεως. Δοῦρις δέ φησιν ὅτι αὕτη τὴν πυρὰν τοῦ πατρὸς κατέσβεσε, καὶ ἐξ ἐκείνου παρὰ Μακεδόσι νενόμισται τὰς θυγατέρας τῶν κηδευομένων, οἷς ἂν ὦσι παῖδες, τὸ αὐτὸ πράττειν ἐπὶ τοῖς πατράσιν. R S.

295 A. ἃ περισπασθὲν δηλοῖ εἴθε· Καλλίμαχος·

ἃ πάντως ἵνα γῆρας.

καὶ τὸ ὦ τὸ κλητικόν· Ὁμηρος·

ἃ δειλοί, τί κακῶν.

σημαίνει δὲ καὶ τὸ πολὺ καὶ μέγα, παρ' Ἀρχιλόχῳ·

ἃ ἔαδ' εἴς τε ταύρους.

τό τε ἐν ἴσῳ τῷ ναί, καὶ εἴθε. καὶ ἔτι σχετλιαστικὸν ἀντὶ τοῦ φεῦ ἐπιρρήματος, ὡς ἐνταῦθα. βραχέως δὲ καὶ δασέως τὸ ἅτινα, ὡς παρ' Ἱπποκράτει. παρὰ δὲ Δημοκρίτῳ ἴδια. παρ' Ὁμήρῳ τὰ ἑαυτοῦ·

τὰ ἃ πρὸς δώμαθ' ἕκαστος.

καὶ ἀντὶ τοῦ ὧν τέτακται, ὡς παρ' Εὐριπίδῃ ἐν Μηδείᾳ·

πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ' ἃ βούλομαι.

καὶ παρὰ Σοφοκλεῖ·

αἰτεῖς ἃ τεύξῃ.

εἰ δὲ ψιλωθείη περισπασθέν, τὸ νῦν σημαίνει, ὡς ἐν Εὔκλου τοῦ χρησμολόγου ποιήμασι. βραχέως δὲ καὶ ψιλῶς σημαίνει ἀπόφασιν ἀρνητικήν. R S.

B. ἀμέλει] ἀντὶ τοῦ τοιγαροῦν συλλογιστικοῦ συνδέσμου. R.

301 B. διανεκῆ] διὰ παντός. οὕτω καὶ Διογενιανός. R.

C. οὐχ οἷα] παροιμία ἐπὶ τῶν λεγομένων ἢ πραττομένων κατὰ δύναμιν ὑφ' ἑκάστου λεγομένη· τὰ ἡμέτερα οὐχ οἷα βούλεταί τις, ἀλλ' οἷα δύναται. R.

304 E. *χαλεπὰ τὰ καλὰ*] *Περίανδρος ὁ Κορινθίων δυνάστης κατ' ἀρχὰς δημοτικὸς ὢν ὕστερον εἰς τὸ τύραννος εἶναι μετῆλθε. τοῦτο Πιττακὸν ἀκούσαντα, τότε Μιτυληναίων δυναστεύοντα, καὶ δείσαντα περὶ τῆς ἑαυτοῦ γνώμης καθίσαι τε ἐπὶ τὸν βωμὸν ἱκέτην καὶ ἀπολυθῆναι τῆς ἀρχῆς ἀξιοῦν. τῶν δὲ Μιτυληναίων πυνθανομένων τὴν αἰτίαν, εἰπεῖν τὸν Πιττακὸν ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι. τοῦτο δὲ μαθόντα Σόλωνα εἰπεῖν, χαλεπὰ τὰ καλά, καὶ ἐντεῦθεν εἰς παροιμίαν ἐλθεῖν· οἱ δὲ ἐπὶ τοῦ ἀδυνάτου τὸ χαλεπὸν ἀκούουσιν· ἐπὶ πάντων γὰρ γενέσθαι ἀγαθὸν ἀδύνατον.* R S.

ΕΙΣ ΤΟΝ ΕΛΑΤΤΟΝΑ ΙΠΠΙΑΝ.

P. 368 A. *ἀνέδην*] *ἐκκεχυμένως, καὶ τὸ κατὰ στέρησιν τοῦ ἕδους. ἐνταῦθα δὲ ἀπὸ τοῦ ἀνίημι, ὡσεὶ εἶπεν ἀνέτως.* R.

C. *στλεγγὶς ἡ ξύστρα, καὶ στλεγγιζόμενοι οἱ ἀποξυόμενοι, ὅ ἐστι κτενιζόμενοι. στλεγγὶς γὰρ τὸ κτένιον, ὡς Ἀριστοφάνης Γήρᾳ·*

εἰ παιδαρίοις ἀπολουθεῖν δεῖ, σφαῖραν καὶ
στλεγγίδ' ἔχοντα.

καὶ Δαιταλεῦσιν·

οὐδ' ἔστιν αὐτοῖς στλεγγὶς οὐδὲ λήκυθος.

καλεῖται δὲ στλεγγὶς καὶ χρυσοῦν ἔλασμα τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν. λήκυθον δὲ ἀγγεῖόν τί φασιν Ἀττικοί, ἐν ᾧ τοῖς νεκροῖς ἔφερον τὸ μύρον, τὴν ἀλάβαστρον. ἀρσενικῶς δὲ τὸν ἀλάβαστρον εἶπεν Ἡρόδοτος. ἐχρῶντο δὲ καὶ ἀντὶ φασκωλίων ληκύθοις, ἃ ἐστι δερμάτινα βαλλάντια (φάσκωλος δὲ τὸ μέγα, εἰς ὃ τὰ ἱμάτια ἐμβάλλεται). διὸ καὶ τοὺς ἀπόρους αὐτοληκύθους ἔλεγον. λέγουσι δὲ καὶ τὴν λάγυνον λήκυθον, καὶ τὸ μεταξὺ τοῦ λαυκανίου καὶ τοῦ αὐχένος ἠχῶδες, ὥς φησι Κλέαρχος. R S.

369 D. *λιπαρῆ*] *προσεδρευτικόν, ἐπιμελῆ.* R.

371 D. *ἀρχαῖον*] *εὐήθη, ἢ ἁπλοῦν.* R.

D. *εὐηθείας*] *γρ. καὶ εὐνοίας.* R.

372 E. *κατηβολὴ τὸ ἐπιβάλλον. Εὐριπίδης Τημένῳ καὶ*

Πελιάσι. λέγεται δὲ οὕτω καὶ ἡ τοῦ πυρετοῦ περίοδος καὶ ὁρμή, καὶ μερίς, καὶ ἱερὰ νόσος, τὸ χρεών, τὸ καθῆκον, θυσία, τελετή, τὰ νομιζόμενα. R.

ΕΙΣ ΤΟΝ ΙΩΝΑ.

P. 530 A. *Ἔφεσος πόλις Ἰωνίας.* R.

A. *Ἐπίδαυρος πόλις ἐν Ἰλλυρίδι.* R.

A. *μῶν*] *μὴ αὖ, οὐ δή, ἆρα.* R.

A. *ῥαψῳδούς φασι τοὺς τὰ Ὁμήρου ἔπη ἐν τοῖς θεάτροις ἀπαγγέλλοντας. ἐκλήθησαν δὲ οὕτως, ἐπεὶ ῥάβδους κατέχοντες δαφνίνας ἀπήγγελλον. ῥαψῳδῆσαι λέγεται καὶ τὸ φλυαρῆσαι, ἢ τὸ ἁπλῶς λαλεῖν καὶ ἀπαγγεῖλαι χωρὶς ἔργου τινός.* R.

533 D. *Μαγνῆτιν*] *Πτολεμαῖος ὁ μέγας ἐν ζ τῶν γεωγραφικῶν ὑφηγήσεών φησι κατὰ τὴν ἐκτὸς Γάγγου ποταμοῦ Ἰνδικὴν μετὰ καὶ ἄλλων νήσους τινὰς Σατύρων εἶναι τρεῖς, ὧν τοὺς ἐνοικοῦντας οὐρὰς ἔχειν ὁποίας διαγράφουσι τῶν Σατύρων. φέρονται δὲ συνεχεῖς καὶ ἄλλαι δέκα νῆσοι, καλούμεναι Μανιόλαι, ἐν αἷς φασὶ τὰ σιδηροῦς ἔχοντα ἥλους πλοῖα κατέχεσθαι, μήποτε τῆς Ἡρακλείας λίθου περὶ αὐτὰς γεννωμένης, καὶ διὰ τοῦτο ἐπιούροις ναυπηγεῖσθαι· κατέχειν τε αὐτὰς ἀνθρωποφάγους. Διογενιανὸς δὲ Μαγνῆτιν μὲν πλανᾶν λέγει τὴν ὄψιν λίθον, ὡς εἴη ἀργύρῳ ἐμφερής, τὴν δὲ Ἡρακλεῶτιν ἐπισπᾶσθαι τὸν σίδηρον.* R S.

538 C. *Πράμνειος οἶνος ἤτοι ὁ ἀπὸ τῆς Πραμνείας ἀμπέλου, ἢ ὁ πραῦνων τὸ μένος. τινὲς δέ, ἐπειδὴ ἐν Πράμνῃ πρῶτον ἐφυτεύθη ἄμπελος τῇ ἐν Ἰκάρῳ.* R.

C. *κνῆ τυρὸν κνήστει*] *ἔκοπτε τυρὸν κοπίδι.* R.

ΕΙΣ ΤΟΝ ΜΕΝΕΞΕΝΟΝ.

P. 235 C. *ἐξ ὑπογυίου*] *ἐκ τοῦ σύνεγγυς, ἀπερισκέπτως, παραυτά.* R.

C. αὐτοσχεδιάζειν] αὐτομάτως, ἀσκέπτως εἰπεῖν. R.

E. Ἀσπασίαν] αὕτη Ἀξιόχου, Μιλησία, γυνὴ Περικλέους, παρὰ Σωκράτει πεφιλοσοφηκυῖα, ὡς Διόδωρος ἐν τῷ περὶ Μιλήτου συγγράμματι φησίν. ἐπεγήματο δὲ μετὰ τὸν Περικλέους θάνατον Λυσικλεῖ τῷ προβατοκαπήλῳ, καὶ ἐξ αὐτοῦ ἔσχεν υἱὸν ὀνόματι Ποριστήν, καὶ τὸν Λυσικλέα ῥήτορα δεινότατον κατεσκευάσατο, καθάπερ καὶ Περικλέα δημηγορεῖν παρεσκεύασεν, ὡς Αἰσχίνης ὁ Σωκρατικὸς ἐν διαλόγῳ Καλλίᾳ καὶ Πλάτων ὁμοίως Πεδήταις. Κρατῖνος δὲ τύραννον αὐτὴν καλεῖ Χείρωσιν, Ὀμφάλῃν Εὔπολις Φίλοις· ἐν δὲ Προσπαλτίοις Ἑλένην αὐτὴν καλεῖ· ὁ δὲ Κρατῖνος καὶ Ἥραν, ἴσως ὅτι καὶ Περικλῆς Ὀλύμπιος προσηγορεύετο. ἔσχε δὲ ἐξ αὐτῆς ὁ Περικλῆς νόθον υἱόν, ἐφ' ᾧ καὶ ἐτελεύτα τῶν γνησίων προαποθανόντων, ὡς Εὔπολις Δήμοις. R S.

236 A. Ῥαμνουσίου] Ῥαμνοῦς δῆμος Αἰαντίδος, ἐξ οὗ οὗτος. R.

237 D. βοτὰ] τὰ βοσκήματα. κατὰ πάντων δὲ χερσαίων καὶ πτηνῶν καὶ ἐνύδρων λέγεται ζώων, ὅσα βόσκεται. R.

239 E. ὁ δὲ υἱὸς] τὸν Καμβύσην φησίν. R.

240 A. Σάρδεις] πόλις Λυδίας. R.

B. Ἐρέτρια] πόλις Εὐβοίας. R.

C. Μαραθὼν] τόπος τῆς Ἀττικῆς, ἀπέχων τῶν Ἀθηνῶν σταδίους τριακοσίους, τῇ φύσει τραχύς, δυσίππαστος, ἔχων ἐν ἑαυτῷ πηλούς, τενάγη, λίμνας. R.

C. τῇ ὑστεραίᾳ] νόμος γὰρ ἦν αὐτοῖς μὴ ἄλλως ἐξάγειν εἰς πόλεμον, εἰ μὴ πανσέληνος ἦ. R.

241 A. Σαλαμὶς] πρὸς τῇ Ἀττικῇ νῆσός τε καὶ πόλις. Ἀρτεμίσιον δὲ ἄκρα τῆς Εὐβοίας, ἡ τείνουσα ἐπὶ θάλασσαν. ἕτερος δὲ αὐλὼν παράκειται τῇ θαλάσσῃ, ἐν ᾧ ἡ ναυμαχία ἐγένετο. R.

C. Πλαταιαὶ] πόλις Βοιωτίας. R.

D. Εὐρυμέδων] ποταμὸς Παμφυλίας. R.

242 A. Τάναγρα] πόλις Βοιωτίας. R.

E. τρίτος δὲ πόλεμος] περὶ τῶν ἐν Σικελίᾳ καὶ Ἑλλησπόντῳ καὶ Μιτυλήνῃ ναυμαχησάντων. S. ἱστέον δὲ ὅτι Ἄλεξις ὁ κωμικός φησι

τῶν ἑπτὰ νήσων, ἃς δέδειχεν ἡ φύσις
θνητοῖς μεγίστας, Σικελία μέν, ὡς λόγος,

ἐστὶν μεγίστη, δευτέρα Σαρδώ, τρίτη
Κύρνος, τετάρτη δ' ἡ Διὸς Κρήτη τροφός,
Εὔβοια πέμπτη στενοφρυής, ἕκτη Κύπρος·
Λέσβος δὲ τάξιν ἑβδόμην λαχοῦσ' ἔχει.

Σικελία δ' ἐκλήθη ἀπὸ Σικελοῦ τοῦ βασιλεύσαντος Αὐσόνων, οἳ ὑπὸ Ἰαπύγων ἐξαναστάντες διέβησαν εἰς τὴν πάλαι Σικανίαν καλουμένην. R S.

243 A. Ἑλλήσποντον] Ἀθάμαντος γυναῖκες Νεφέλη καὶ Ἰνώ. αὕτη ἐπιβουλεύουσα Φρίξῳ καὶ Ἕλλῃ, τοῖς ἐκ Νεφέλης τούτου παισί, πείθει τοὺς ὑπ' αὐτοῦ πεμφθέντας εἰς Δελφοὺς διὰ τὸν λιμὸν εἰπεῖν, ὅτι παύσεσθαι τοῦτον ὁ Ἀπόλλων εἶπεν, εἰ Φρίξον αὐτῷ σφαγιάσειεν. Νεφέλη δὲ μαθοῦσα τοῦτο λαμβάνει παρ' Ἑρμοῦ κριόπρωρον πλοῖον ὑπόχρυσον, ἐμβάλλει τε τοὺς παῖδας ἐν αὐτῷ πλεῖν καὶ φεύγειν. τῶν δὲ κατὰ τὴν μεταξὺ Σιγείου καὶ Χερρονήσου γενομένων θάλασσαν, ἡ Ἕλλη ἐκ τοῦ πλοίου εἰς τὸν βυθὸν ὤλισθε, καὶ τῷ πελάγει τοὔνομα δίδωσιν αὐτῆς. R.

C. Μιτυλήνη] πόλις ἐν Λέσβῳ τῇ νήσῳ. R.

E. Ἐλευσὶς] δῆμος καὶ πόλις Ἀττικῆς. R.

245 D. ἐντέτηκε] ἐγκεκόλληται, πέπηγεν. R.

E. Κόρινθος] πόλις ἐν Πελοποννήσῳ, κειμένη ἐπὶ τοῦ Ἰσθμοῦ. Λεχαιὸν δὲ ἐπίνειον Κορινθίων, ὥσπερ ὁ Πειραιεὺς Ἀθηναίων. εἰς τούτους δὲ τοὺς τόπους ἀπεδίδρασκον οἱ οἰκέται. R.

ΕΙΣ ΤΟΝ ΚΛΕΙΤΟΦΩΝΤΑ.

P. 406 A. διατριβὰς] τὰς φιλοσόφους διαλέξεις σημαίνει, καὶ τὸν τόπον ἐν ᾧ εἰσί, καὶ τὴν περί τι χρόνιον διάθεσιν. R.

407 A. ἐπὶ μηχανῆς] ἐν ταῖς τραγῳδίαις, μετὰ ἄλλας ἐπιδείξεις πολλάς, ἐπιφάνειαί τινες ἐπὶ τέλει ἐκ μηχανῆς τινὸς θεῶν ἀνεδείκνυντο. τοῦτο γοῦν ἐνταῦθα φησίν. Ἄλλως. ἀπὸ μηχανῆς θεὸς ἐπεφάνης, ἐπὶ τῶν ἀπροσδοκήτως ἐπ' ὠφελείᾳ καὶ σωτηρίᾳ φαινομένων. ἐν γὰρ ταῖς τραγῳδίαις ἐξ ἀφανοῦς θεοὶ ἐπὶ τῆς σκηνῆς ἐφαίνοντο. Μένανδρος Θεοφορουμένῃ καὶ Κεκρυφάλῳ. R S.

B.

P. 361 B. κατ' Αἰσχύλον] Αἰσχύλου ἐξ Ἀμφιαράου·

οὐ γὰρ δοκεῖν δίκαιος ἀλλ' εἶναι θέλων,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα. R.

C. τέγγεσθαι] εἴκειν, ἐνδιδόναι, ὡς νῦν· καὶ βρέχεσθαι. R.

362 A. ἀνασχινδυλευθήσεται] ἀντὶ τοῦ ἀνασκολοπισθήσεται. R.

D. ἀδελφὸς ἀεὶ παρείη, ὅτι προτιμητέον τοὺς οἰκείους εἰς βοήθειαν. Πλάτων ἐμνήσθη ἐνταῦθα. παρῆκται δὲ ἴσως παρὰ τὸ Ὁμηρικόν·

ἤ τι κασιγνήτοις ἐπιμέμφεαι, οἷσί περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νείκος ὄρηται. R.

363 A. παῖδας γὰρ παίδων] ἐξ Ἡροδότου, ἀπὸ τοῦ δοθέντος χρησμοῦ Γλαύκῳ τῷ Λάκωνι, ὡς

ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων. R.

364 A. ὡς ἐπὶ τὸ πλῆθος] ἀντὶ τοῦ ὡς ἐπὶ τὸ πολύ. R.

B. ἀγύρται] οἱ ἀγείροντες ὄχλον ἐφ' ἑαυτοὺς χυδαῖον. R.

C. ἀκεῖσθαι] θεραπεύειν. R.

D. λιστοὶ] ἀντὶ τοῦ λιταξόμενοι, λιταῖς εἴκοντες. R.

E. βίβλων] περὶ ἐπῳδῶν καὶ καταδέσμων καὶ καθαρσίων καὶ μειλιγμάτων καὶ τῶν ὁμοίων. R.

E. ὅμαδον] συναγωγὴν ἢ θόρυβον, ἀπὸ τοῦ ὁμοῦ αὐδᾶν. R.

365 C. κύριον] τὸ δοκεῖν κύριόν ἐστιν. R.

367 B. οὐ τὸ δίκαιον] σημείωσαι τὸ ὁριμὺ τῆς ἐπιβολῆς. R.

C. ἐπειδὴ οὖν ὡμολόγησας] εἶπε γὰρ ἐν ἀρχῇ ὅτι δικαιοσύνην θετέον ἐν τῷ καλλίστῳ εἴδει τοῦ ἀγαθοῦ, ὃ καὶ δι' αὐτὸ καὶ διὰ τὰ ἀπ' αὐτοῦ γινόμενα ἀγαπητέον τῷ μέλλοντι μακαρίῳ ἔσεσθαι. R.

D. τῶν μὲν ἄλλων] ὧν προεῖπε ποιητῶν. R.

D. ἀνασχολίμην] ἤγουν ἀποδεχοίμην. γρ. καὶ ἀποσχοίμην. R.

368 A. ἐλεγεῖα φδαί, ἢ θρῆνοι, ἢ μῦθοι· ἔνθεν καὶ τὰ ἐπιτάφια ποιήματα ἐλεγεῖα καλοῦνται. R.

A. Μέγαρα πόλις περὶ τὸν Ἰσθμόν, ἀνὰ μέσον Πελοποννήσου καὶ Ἀττικῆς καὶ Βοιωτίας. R.

ἰζάνει· φιλάλληλον γὰρ τουτὶ τὸ ζῶον. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν τοῖς ὁμοίοις προσομιλούντων. R.

B. προπηλακίσεις] ὕβρεις ἢ διασυρμούς. R.

B. ὑμνοῦσιν] ἀντὶ τοῦ ὀδύρονται, λοιδοροῦσι, μέμφονται, κατ' εὐφημισμόν. R.

E. Σέριφος νῆσος μία τῶν Κυκλάδων καὶ πόλις ἐν αὐτῇ· οἱ δ' ἐξ αὐτῆς Σεριφιοι. R.

330 B. χρηματιστὴς] χρημάτων πoριστής. R.

331 A. ἀτάλλοισα] τρέφουσα, τιθηνοῦσα, σαίνουσα. συναορεῖ δὲ ἦγουν συνήρτηται. R.

333 A. ξυμβόλαια] σημείωσαι ὅτι συμβόλαιά φησι τὰ κοινωνήματα. R.

E. περὶ πυκτικῆς εὑρήσεις, ὁποία τις ἦν, μετὰ φύλλα δύο, ἐν ᾧ καὶ περὶ παγκρατίου διαλαμβάνεται. R.

334 B. κεκρᾶσθαι] οἶμαι γράφεσθαι ὀφείλει ὑπὲρ πάντας ἀνθρώπους κεκάσθαι. R.

335 C. ἀφίππους] ἀπείρως ἔχοντας ἱππικῆς. R.

336 B. εὐηθίζεσθε] μωραίνετε, ἀνοηταίνετε, εὐφήμως. R.

337 A. ἀνεκάγχασέ τε μάλα Σαρδάνιον] παροιμία ἐπὶ τῶν ἐπ' ὀλέθρῳ τῷ σφῶν αὐτῶν γελώντων. οἱ γὰρ τὴν Σαρδὼ κατοικοῦντες, ὥς φησι Τίμαιος, ἐπειδὰν αὐτοῖς ἀπογηράσκωσιν οἱ γονεῖς καὶ νομίσωσιν ἱκανὸν βεβιωκέναι χρόνον, ἄγουσιν αὐτοὺς ἐπὶ τὸν τόπον ἐν ᾧ μέλλουσι θάψαι, κἀκεῖ λάκκους ὀρύξαντες ἐπ' ἄκρων χειλῶν τοὺς μέλλοντας ἀποθνήσκειν καθίζουσιν, ἔπειτα ἕκαστος αὐτῶν σχίζαν ἔχων τύπτει τὸν ἑαυτοῦ πατέρα καὶ εἰς τοὺς λάκκους περιωθεῖ· τοὺς δὲ πρεσβύτας χαίροντας ἐπὶ τὸν θάνατον παραγίνεσθαι ὡς εὐδαίμονας, καὶ μετὰ γέλωτος καὶ εὐθυμίας ἀπόλλυσθαι. ἐπεὶ οὖν γελᾶν μὲν συνέβαινεν, οὐ πάνυ δὲ ὁ γέλως ἐπ' ἀγαθῷ τινὶ ἐγίνετο, παρὰ τοῖς Ἕλλησι τὴν προκειμένην ῥηθῆναι παροιμίαν. Κλείταρχος δέ φησι τοὺς Φοίνικας, καὶ μάλιστα Καρχηδονίους, τὸν Κρόνον τιμῶντας, ἐπάν τινος μεγάλου κατατυχεῖν σπεύδωσιν, εὔχεσθαι καθ' ἑνὸς τῶν παίδων, εἰ περιγένοιντο τῶν ἐπιθυμηθέντων, καθαγιεῖν αὐτὸν τῷ θεῷ. τοῦ δὲ Κρόνου χαλκοῦ παρ' αὐτοῖς ἑστῶτος τὰς χεῖρας ὑπτίας ἐκτετακότος ὑπὲρ κριβάνου χαλκοῦ, τοῦτον ἐκκαίειν τὸ παιδίον. τῆς δὲ φλογὸς τοῦ ἐκκαιομένου πρὸς τὸ σῶμα ἐμπιπτούσης, συνέλκεσθαί τε τὰ μέλη, καὶ τὸ στόμα σεσηρὸς φαίνεσθαι

τοῖς γελῶσι παραπλησίως, ἕως ἂν συσπασθὲν εἰς τὸν κρίβανον παρολίσθῃ. τὸν οὖν σεσηρότα γέλωτα σαρδάνιον ἐντεῦθεν λέγεσθαι, ἐπεὶ γελῶντες ἀποθνήσκουσι· σαίρειν δέ ἐστι τὸ διέλκειν τὸ στόμα καὶ χαίνειν. Σιμωνίδης δὲ ἀπὸ Τάλω τοῦ χαλκοῦ, ὃν Ἥφαιστος ἐδημιούργησε Μίνῳ φύλακα τῆς νήσου ποιήσασθαι, *ὃν* ἔμψυχον ὄντα τοὺς πελάζοντάς φησι κατακαίοντα ἀναιρεῖν· ὅθεν ἀπὸ τοῦ σεσηρέναι διὰ τὴν φλόγα τὸν σαρδάνιόν φησι λεχθῆναι γέλωτα. ὁμοίως καὶ Σοφοκλῆς ἐν Δαιδάλῳ. ἥκουσα δέ, φησὶν ὁ Ταρραῖος, ἐγχωρίων λεγόντων, ὅτι ἐν Σαρδόνι γίγνοιτο βοτάνη σελίνῳ παραπλησία, ἧς οἱ γευσάμενοι δοκοῦσι μὲν γελῶντες, σπασμῷ δὲ ἀποθνήσκουσιν· οὕτω δὲ Σαρδόνιος ἂν λέγοιτο, καὶ οὐ Σαρδάνιος. μήποτε οὖν τὸ Ὁμηρικόν, ὅθεν καὶ ἡ παροιμία ἴσως ἐρρύη, μείδησε δὲ θυμῷ σαρδάνιον μάλα τοῖον, τὸν ἀπ' αὐτῶν τῶν χειλῶν γέλωτα καὶ μέχρι τοῦ σεσηρέναι γιγνόμενον σημαίνει. R S.

338 C. οὗτος ὁ Πουλυδάμας ἀπὸ Σκοτούσσης ἦν, πόλεως Θεσσαλίας, διασημότατος παγκρατιαστής, ὑπερμεγέθης, ὃς ἐν Πέρσαις παρ' Ὄχῳ γενόμενος τῷ βασιλεῖ λέοντας ἀνεῖλε καὶ ὡπλισμένους γυμνὸς κατηγωνίσατο. R.

C. παγκρατιαστὴς ὁ παγκράτιον ἀγωνιζόμενος. ἔστι δὲ τοῦτο ἀγών τις ἐξ ἀτελοῦς πάλης καὶ ἀτελοῦς πυγμῆς συγκείμενος. καὶ δήλη μὲν ἡ πάλη, πυγμὴ δὲ τὸ πρὶν ἐσκευάζετο οὕτως. εἰς στρόφιον, ὃ ἐστι στρογγύλον ζωνάριον, οἱ τέσσαρες τῶν δακτύλων ἐνεβιβάζοντο, καὶ ὑπερέβαλλον τοῦ στροφίου τοσοῦτον, ὅσον, εἰ συνάγοιντο, πυξὶ εἶναι. ξυνείχοντο δὲ ὑπὸ σειρᾶς, ἣν καθάπερ ἕρεισμα ἐβέβληντο ἐκ τοῦ πήχεος. νυνὶ δ' αὖ μεθέστηκε· ῥινοὺς γὰρ τῶν πιοτάτων βοῶν ἕψοντες, ἱμάντα ἐργάζονται πυκτικὸν ὀξὺν καὶ προεμβάλλοντα· ὁ δὲ ἀντίχειρ οὐ συλλαμβάνει τοῖς δακτύλοις τὸ πλήττειν, ὑπὲρ συμμετρίας τῶν τραυμάτων, ὡς μὴ πᾶσα ἡ χεὶρ μάχοιτο. ταῦτα Φιλόστρατός φησιν ἐν τῷ περὶ γυμναστικῆς. R S.

340 D. συκοφάντης λέγεται ὁ ψευδῶς τί τινος κατηγορῶν. κεκλῆσθαι δ' οὕτω παρ' Ἀθηναίοις πρῶτον εὑρεθέντος τοῦ φυτοῦ τῆς συκῆς, καὶ διὰ τοῦτο κωλυόντων ἐξάγειν τὰ σῦκα. τῶν δὲ φαινόντων τοὺς ἐξάγοντας συκοφαντῶν κληθέντων, συνέβη καὶ τοὺς ὀπωσοῦν κατηγοροῦντάς τινων φιλαπεχθημόνως οὕτω προσαγορευθῆναι. R.

341 A. ὡς ἔπος εἰπεῖν] τὸν ὡς φαίνεται μόνον, καὶ ὡς ἐν λόγῳ μόνον εἰπεῖν. R.

C. ξυρεῖν ἐπιχειρεῖν λέοντα] παροιμία ἐπὶ τῶν καθ' ἑαυτῶν τι ἢ ἀδύνατα ποιεῖν ἐπιχειρούντων λεγομένη. R.

343 A. τίτθη] μάμμη, ἡ πατρὸς ἢ μητρὸς μήτηρ. R.

A. κορυζῶντα] μωφαίνοντα, μυξάζοντα· κόρυζα γὰρ ἡ μύξα, ἣν οἱ Ἀττικοὶ κατάρρουν φασίν. R.

B. ἄλλως περ ἡγεῖσθαι διανοῇ] γρ. ἄλλως περ ἡγεῖ διανοεῖσθαι. R.

344 A. ὅσια] ὅσια τὰ βέβηλα, εἰς ἃ ἔστιν εἰσιέναι, ὡς Ἀριστοφάνης Λυσιστράτῃ·

ὦ πότνι' Εἰλείθυι', ἐπίσχες τοῦ τόκου,
ἕως ἂν εἰς ὅσιον ἀπέλθω χωρίον.

καὶ ὅσια χρήματα τὰ μὴ ἱερά. λέγεται δὲ καὶ τὸ Διονύσιον ὅσιον. Ἄλλως. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους τὰ μὲν τῶν θεῶν χρήματα ἱερά, τὰ δὲ κοινὰ τῆς πόλεως ὅσια ὀνομάζει. R.

C. οἱ κατὰ μέρη] τὸ ἑξῆς οὕτως· οἱ κατὰ μέρος τῶν τοιούτων κακουργημάτων ἀδικοῦντες. R.

346 C. ἀρνυμένους] ἀντὶ τοῦ καταλλαττομένους. R.

347 A. ἢ ζημίαν] τὸ ὑπὸ πονηροτέρου ἄρχεσθαι, ὡς μετ' ὀλίγον ἐρεῖ. R.

D. ἐπιτρέψαι] τὴν ἀρχὴν δηλονότι ἀναλαβέσθαι. R.

D. πράγματα] ἀντὶ τοῦ φροντίδας· ἐξ οὗ καὶ πολυπράγμων ὁ πολύφροντις. R.

348 A. κατατείναντες] ἀντὶ τοῦ διεξελθόντες λόγον μακρόν. R.

B. ἀνομολογούμενοι] ἀντὶ τοῦ ὁμολογοῦντες. R.

349 B. ἀστεῖος] νῦν ἀντὶ τοῦ γελοιώδης τὸ ἀστεῖος κεῖται. σημαίνει γὰρ καὶ τὸν εὐσύνετον καὶ εὐπρόσωπον καὶ χαρίεντα. R.

351 E. πράττειν] ἀντὶ τοῦ μετὰ πίστεως καὶ ἀσφαλείας τι ποιεῖν. R.

352 B. εὐωχοῦ] ἀντὶ τοῦ ἀπόλαυε. R.

353 A. σμίλη ἐστὶν ὄργανον τμητικόν, ἰσόπεδον τὴν βάσιν ἔχον, ὃς τοὐναντίον ὁ τομεὺς κυκλοτερῆ. ἔστι δὲ σκυτοτομικὰ ἐργαλεῖα. R.

B.

P. 361 B. κατ' Αἰσχύλον] Αἰσχύλου ἐξ Ἀμφιαράου·

οὐ γὰρ δοκεῖν δίκαιος ἀλλ' εἶναι θέλων,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα. R.

C. τέγγεσθαι] εἴκειν, ἐνδιδόναι, ὡς νῦν· καὶ βρέχεσθαι. R.

362 A. ἀνασχινδυλευθήσεται] ἀντὶ τοῦ ἀνασκολοπισθήσεται. R.

D. ἀδελφὸς ἀεὶ παρείη, ὅτι προτιμητέον τοὺς οἰκείους εἰς βοήθειαν. Πλάτων ἐμνήσθη ἐνταῦθα. παρῆκται δὲ ἴσως παρὰ τὸ Ὁμηρικόν·

ἤ τι κασιγνήτοις ἐπιμέμφεαι, οἵσί περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νείκος ὄρηται. R.

363 A. παῖδας γὰρ παίδων] ἐξ Ἡροδότου, ἀπὸ τοῦ δοθέντος χρησμοῦ Γλαύκῳ τῷ Λάκωνι, ὡς

ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων. R.

364 A. ὡς ἐπὶ τὸ πλῆθος] ἀντὶ τοῦ ὡς ἐπὶ τὸ πολύ. R.

B. ἀγύρται] οἱ ἀγείροντες ὄχλον ἐφ' ἑαυτοὺς χυδαῖον. R.

C. ἀκεῖσθαι] θεραπεύειν. R.

D. λιστοὶ] ἀντὶ τοῦ λιταξόμενοι, λιταῖς εἴκοντες. R.

E. βίβλων] περὶ ἐπῳδῶν καὶ καταδέσμων καὶ καθαρσίων καὶ μειλιγμάτων καὶ τῶν ὁμοίων. R.

E. ὅμαδον] συναγωγὴν ἢ θόρυβον, ἀπὸ τοῦ ὁμοῦ αὐδᾶν. R.

365 C. κύριον] τὸ δοκεῖν κύριόν ἐστιν. R.

367 B. οὐ τὸ δίκαιον] σημείωσαι τὸ ῥιμὺ τῆς ἐπιβολῆς. R.

C. ἐπειδὴ οὖν ὡμολόγησας] εἶπε γὰρ ἐν ἀρχῇ ὅτι δικαιοσύνην θετέον ἐν τῷ καλλίστῳ εἴδει τοῦ ἀγαθοῦ, ὃ καὶ δι' αὐτὸ καὶ διὰ τὰ ἀπ' αὐτοῦ γινόμενα ἀγαπητέον τῷ μέλλοντι μακαρίῳ ἔσεσθαι. R.

D. τῶν μὲν ἄλλων] ὧν προεῖπε ποιητῶν. R.

D. ἀνασχολίμην] ἤγουν ἀποδεχοίμην. γρ. καὶ ἀποσχοίμην. R.

368 A. ἐλεγεῖα ᾠδαί, ἢ θρῆνοι, ἢ μῦθοι· ἔνθεν καὶ τὰ ἐπιτάφια ποιήματα ἐλεγεῖα καλοῦνται. R.

A. Μέγαρα πόλις περὶ τὸν Ἰσθμόν, ἀνὰ μέσον Πελοποννήσου καὶ Ἀττικῆς καὶ Βοιωτίας. R.

370 D. σμινύην] σκαφίον. τινὲς δὲ ἀξίνην ἐκ τοῦ ἑτέρου μέρους δικελλοειδῆ. R.

372 B. ἄλφιτα κυρίως μὲν τὰ ἀπὸ πεφρυγμένων καὶ ἀλεσθεισῶν κριθῶν θραύσματα, καταχρηστικῶς δὲ καὶ τὰ ἀπὸ πυρῶν ἢ φακῶν. R.

B. πέψαντες ἀρτοποιήσαντες, μάξαντες δὲ φυράσαντες, ζυμώσαντες. ἢ ἄλφιτα ἀπὸ τῶν κριθῶν πέψαντες, ἄλευρα ἀπὸ τῶν πυρῶν μάξαντες. R.

C. βολβοὺς] βοτάνης εἶδος ποιᾶς. R.

C. τραγήματα παρὰ Λάκωσι τὰ παρ' ἡμῖν τρωγάλια. R.

C. σποδιοῦσι] ἀντὶ τοῦ εἰς σποδὸν ἤγουν εἰς ἀνθρακιὰν ἐσβεσμένην ἐψήσουσιν. R.

E. φλεγμαίνουσαν] τρυφῶσαν, ἐπηρμένην, μεγαλαυχουμένην. R.

373 A. πέμματα] πλακούντια. R.

C. κομμωτριῶν] κόμμι λέγεται τὸ ἐκ τῶν δένδρων, ἅτε δὴ δάκρυον, ἀπορρέον ὑγρόν, ᾧ χρῶνται πρὸς τὰς τρίχας τῶν γυναικῶν, ὥστε μὴ διαχεῖσθαι αὐτὰς ἀλλὰ μένειν ὡς ἄγαν συνημμένας ἐφ' οὗ βεβούληνται σχήματος αἱ κομμώτριαι· παρ' ὃ καὶ ἀπὸ τοῦδε τοῦ κόμμεος λέγονται, καὶ ἡ τέχνη κομμωτική. R.

C. συβωτῶν] σημείωσαι ὅτι τὰς σῦς ἀπαγορεύει Πλάτων τοῦ ἐσθίεσθαι ἐν τῇ ἀρίστῃ πολιτείᾳ. R.

376 A. κομψὸν] νῦν τὸ σπουδαῖον καὶ ἀγαθόν· σημαίνει δὲ καὶ τὸ πανοῦργον καὶ ἀπατητικὸν καὶ πιθανὸν καὶ τεχνικὸν καὶ ἀστεῖον καὶ περίλαλον. R.

379 D. βούβρωστις] πονηρία, ἢ μέγας λιμός. οἱ δὲ οἶστρον ἢ ἀσθένειαν. R.

380 E. εἰλήσεων] τῶν ὑπὸ τοῦ ἡλίου ἐκκαύσεων. R.

381 E. ἐκδειματούντων] ἀντὶ τοῦ ἐκδειματούτωσαν, Ἀττικῶς. R.

382 D. ἔνι] ἀντὶ τοῦ ἔστιν, Ἀττικῶς. R.

383 B. παιῶνα] ἀλαλαγμὸν ἐπ' εὐτυχίᾳ, ὡς νῦν, ἢ νίκῃ. R.

C. χορὸν οὐ δώσομεν] ἀντὶ τοῦ οὐκ εὐδοκιμήσομεν καὶ νικήσομεν. χορὸν διδόναι γὰρ ἔλεγον ἐν ἴσῳ τῷ εὐδοκιμεῖν καὶ νικᾶν· παρὰ γὰρ τοῖς Ἀθηναίοις χορὸν ἐτύγχανον κωμῳδίας καὶ τραγῳδίας ποιηταὶ οὐ πάντες, ἀλλ' οἱ εὐδοκιμοῦντες καὶ δοκιμασθέντες ἄξιοι. R.

Γ.

P. 387 C. ἐνέρους τοὺς νεκρούς, ἀπὸ τοῦ ἐν τῇ ἕρᾳ, ὅ ἐστι γῇ, κεῖσθαι. ἀλίβαντας δὲ τόπους ἐν Ἅιδου, ἢ καὶ αὐτοὺς τοὺς νεκροὺς νοητέον, διὰ τὴν τῆς λιβάδος ἀμεθεξίαν. R.

388 D. σχολῇ ἀντὶ τοῦ οὐδαμῶς. ἀπὸ κοινοῦ δὲ τὸ σχολῇ ἂν ἑαυτὸν ἐπιπλήξειεν. οὐ μόνον, φησί, τοὺς ἄλλους οὐ κωλύσει, ἀλλ' οὐδὲ ἑαυτόν. R.

B. ταῦτα πρὸς τὸν Ἀδείμαντον ἔτι Σωκράτης λέγει, τῇ συνήθει χρώμενος εἰρωνείᾳ. R.

391 A. ὀκνῶ] ἀντὶ τοῦ εὐλαβῶς ἔχω. R.

A. ἀπὸ κοινοῦ τὸ οὐδ' ὅσιον. R.

A. ἀγχίσποροι] ἐγγὺς γένους. R.

C. ἀπερεῖν] ἀπαγορεύειν. R.

D. ἐὰν ὁμολογῇς] ἐάν, φησὶν, ἀβασανίστως ὁμολογήσῃς ἀγαθὸν εἶναι τὴν δικαιοσύνην, κακὸν δὲ τὴν ἀδικίαν, ἔχω τὸ ζητούμενον. εἰ δὲ λόγῳ δουλεύομεν, δεῖ πρῶτον ἡμᾶς διορίσασθαι τὴν τῆς δικαιοσύνης οὐσίαν. R.

392 D. γελοῖος] ἀστεῖον. R.

393 B. Ἰθάκη νῆσος πρὸς τῇ Κεφαλληνίᾳ. R.

394 C. τραγῳδία ἐστὶ ποίησις ἔμμετρος πρὸς ἅμιλλαν ᾠδῆς ἐπὶ δεινοπαθείᾳ προσώπων τε καὶ πραγμάτων γιγνομένη, καθ' ἣν τῷ νικήσαντι τράγος ἔπαθλον ἐδίδοτο, ἐξ οὗ καὶ τὸ ὄνομα ἔσχε. κωμῳδία ἐστὶ ποίησις ἔμμετρος καὶ αὐτὴ πρὸς ἅμιλλαν ᾠδῆς, πρότερον μὲν ἐφ' ἱλαρότητί τινι καὶ καρπῶν συγκομιδῇ γιγνομένη, μετὰ τοῦτο δὲ καὶ ἐπὶ διαβολῇ καὶ ἐνδείξει πονηρῶν προσώπων τε καὶ πραγμάτων εἰς σωφρονισμὸν ποιουμένη, καθ' ἣν τῷ νικήσαντι γλεῦκος ἔπαθλον ἐδίδοτο, ὅ τρύγα ἐκάλουν. παρὸ καὶ ἤδε τὸ πρὶν τρυγῳδία κοινῶς ἐλέγετο· ὕστερον δέ, ἀπὸ τοῦ κατὰ κώμας ἄρξασθαι ταύτην πρὶν εἰς ἄστυ μετελθεῖν, κωμῳδία ὠνομάσθη. R.

C. ὁ διθύραμβος γράφεται μὲν εἰς Διόνυσον, κεκινημένος καὶ πολὺ τὸ ἐνθουσιῶδες μετὰ χορείας ἔχων, κέκληται δὲ ἀπὸ τῶν συμβάντων περὶ αὐτόν. ὀνομάζεται γὰρ οὕτως ἢ ἀπὸ τοῦ κατὰ τὴν Νύσαν ὑπὸ ἄντρῳ διθύρῳ τραφῆναι, ἢ διὰ τὸ λυθέντων τῶν βαμμάτων ἐκ τοῦ Διὸς μηροῦ εὑρεθῆναι, ἢ διὰ τὸ δόξαι γενέσθαι δίς, ἔκ τε τῆς Σεμέλης καὶ τοῦ μηροῦ τοῦ Διός. εὐφε-

Θῆναι μὲν τὸν διθύραμβον ἐν Κορίνθῳ ὑπὸ Ἀρίονός φασι. τῶν δὲ ποιητῶν τῷ μὲν πρώτῳ βοῦς ἔπαθλον ἦν, τῷ δὲ δευτέρῳ ἀμφορεύς, τῷ δὲ τρίτῳ τράγος, οὗ τρυγὶ κεχρισμένον ἀπῆγον. R.

396 B. *ἔστι τι εἶδος λέξεως*] *τὸ ἀπαγγελτικὸν ἅμα καὶ τὸ τῶν σπουδαίων μιμητικόν. τοῦτο γὰρ μόνον τὸ εἶδος τῆς διηγήσεως ἀγαπᾷ ὁ Πλάτων ἐν τῇ ἀριστοκρατίᾳ.* R.

397 D. *ἀκροατῶν*] *οἶμαι μὴ ἀκροατῶν ἀλλ' ἀκράτων δεῖν γράφεσθαι.*

D. *ἡ ἐμὴ νικᾷ*] *κατ' ἔλλειψιν τοῦ ψῆφος ἢ γνώμη.* R.

398 A. *μύρον κατὰ τῆς κεφαλῆς*] *παροιμία ἐπὶ τῶν ἀπὸ τῆς χρείας ἀφιεμένων. καὶ γὰρ ἐπὶ τῶν ἑορτῶν ἐοίκασιν οἱ ἄνθρωποι μύρῳ κατὰ τῆς κεφαλῆς καταχεῖσθαι, ὡς ἂν σχολάζοντες ἀπὸ τῶν ἔργων καὶ μόνον σχολάζοντες θυμηδίᾳ. καὶ πάλιν τοῖς ἀπὸ δουλείας μεταγομένοις ἐπ' ἐλευθερίαν ἐρίου κάταγμα κατὰ τῆς κεφαλῆς ἐνδεσμούμενον τὸ ἐπίσημον. Ἄλλως. μύρον καταχέειν τῶν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς ἀγαλμάτων θέμις ἦν, ἐρίῳ τε στέφειν αὐτά, καὶ τοῦτο κατά τινα ἱερατικὸν νόμον, ὡς ὁ μέγας Πρόκλος φησίν.* R.

399 A. *ὁ Πρόκλος φησὶ τὴν μὲν Δώριον ἁρμονίαν εἰς παιδείαν ἐξαρκεῖν ὡς καταστηματικήν, τὴν δὲ Φρύγιον εἰς ἱερὰ καὶ ἐνθεασμοὺς ὡς ἐκστατικήν.* R.

D. *δεομένῳ ἢ διδάσκοντι*] *ἵνα ἄλλον νοήσωμεν προσερχόμενον τῷ μουσικῷ χάριν τινὸς δεήσεως καὶ ὧν λέγει, ἵνα μὴ πεισθῇ τῷ προσιόντι καὶ μεταπείθοντι ὁ μουσικός.* R.

E. *Μαρσύας Ὀλύμπου τοῦ αὐλητοῦ υἱὸς ἦν, ἄκρος δὲ τὴν τέχνην οὕτως, ὡς διαμιλληθῆναι θαρρῆσαι τῷ Ἀπόλλωνι περὶ μουσικῆς. δεξαμένου δὲ τούτου τὴν πρόκλησιν, κατήκουσαν μὲν αἱ Μοῦσαι ἀμφοῖν, γίνεται δὲ ἡ ψῆφος Ἀπόλλωνι. δαρεὶς τε εἰς τιμωρίαν ὁ Μαρσύας μετέδωκε κλήσεως τῷ ποταμῷ τῆς αὐτῆς, τῷ ἀπὸ τῆς ῥοῆς τοῦ αἵματος αὐτοῦ γεγονότι.* R.

400 B. *ὁ ἐνόπλιος σύνθετός ἐστιν ἐξ ἰάμβου καὶ δακτύλου καὶ τῆς παριαμβίδος, ἀνδρικὸς πρὸς πράξεις ἀναγκαίας καὶ ἀκουσίους, ἐξορμητικὸς εἰς πόλεμον. ὁ δὲ ἡρῷος δάκτυλος, ἁπλοῦς, κοσμιότητος ποιητικὸς καὶ ὁμαλότητος, παιδευομένοις προσήκων, ὡς ἰσότητι κεκοσμημένος, ὡς ἐν τῷ εἰς ταῦτα ὑπομνήματι Πρόκλος φησίν.* R.

[redacted] B. *ὑποκοριζόμενοι*] *διασύροντες, ὡς Ξενοφῶν, ἢ τὸ αἰσχρὸν*

εὐφήμως ὀνομάζοντες, ὡς Δημοσθένης. κολακεύοντες, ὑποκρινόμενοι. R.

401 E. ἐκεῖ] ἐν τῇ ἀριστοκρατίᾳ. R.

402 B. ἀπειροκαλίας] τῆς ἀπειράτως τοῦ καλοῦ ἐχούσης ἕξεως. R.

403 C. ἀκροσφαλεῖς] ἄκρως σφαλλομένους. R.

D. ἡδυσμάτων] ἀρτυμάτων. R.

405 C. λυγιζόμενος] στρεφόμενος, καμπτόμενος, ἀπὸ τῶν λύγων· λύγος δέ ἐστι φυτὸν ἱμαντῶδες. τινὲς δὲ καὶ τὸ μετὰ τιμωρίας βασανίζειν λυγίζειν φασί· καὶ αἱ μάστιγες αἷς οἱ ἀθληταὶ τύπτονται λύγοι καλοῦνται. R.

D. ἄτοπα νῦν, ἃ μὴ ἔστι τοπάσαι, ὃ ἐστιν ὑπονοῆσαι, σημαίνει δὲ καὶ κακὸν καὶ ἄλογον καὶ θαυμάσιον. R.

406 A. Ἡρόδικον τὸν Σηλυμβριανόν φησιν ἰατρόν. οὗτος ἦν, παρ' ᾧ ὁ Κῷος φοιτήσας Ἱπποκράτης κάτω ἑαυτοῦ βαίνειν ὅσον ἐπὶ τῇ ἰατρικῇ τοὺς πάντας ἀπέλιπεν. R.

A. ἀπέκναισε] διέφθειρεν, ὡς νῦν. σημαίνει δὲ καὶ διέκοψε καὶ ἐλύπησεν. R.

407 B. μὴ μελετῶντι] τὸ ἀρετὴν ἀσκεῖν. R.

408 B. κυκεών ἐστι κρᾶμα ἐξ οἴνου καὶ μέλιτος καὶ ἀλφίτων καὶ τυροῦ καὶ ὕδατος ἀναμεμιγμένον, ᾧ ἐχρῶντο πρὸς πάσιν. R.

B. Μίδας Φρυγῶν βασιλεύς, ὃς δοκεῖ πλουσιώτατος γεγονέναι. τοῦτόν φασι καὶ ὄνου ὦτα ἔχειν, διὰ τὸ πρῶτον ὠτακουσταῖς αὐτὸν χρήσασθαι, παρ' ὅσον καὶ τὸ ζῶον ὁ ὄνος ἀκουστικώτατον. R.

411 A. μινυρίζων] θρηνῶν, ἢ ῥῆμα ᾄδων. R.

A. γεγανωμένος] λελαμπρυσμένος. R.

C. ἀκράχολοι] ἄκρως χολούμενοι. R.

414 C. τὸ ψεῦδος Φοινικικόν φησιν ἀπὸ τῶν κατὰ τὸν δράκοντα καὶ τους Σπαρτοὺς καὶ Κάδμον ψευδῶς λεγομένων. οὗτος γὰρ Ἀγήνορος τοῦ Ποσειδῶνος καὶ Λιβύης ἦν, ἧς ἡ Φοινίκη χώρα. R.

415 D. ἄλλοι ἄνθρωποι] ἀπὸ κοινοῦ τὸ πεισθεῖεν. R.

D. ἀγάγῃ] τὸ τοὺς ἔπειτα πεῖσαι. R.

416 D. ἂν μὴ πᾶσα ἀνάγκη] εἰ μὴ τὴν ἀναγκαίαν, ἱμάτιόν φημι καὶ βρώματα εὐτελῆ. R.

Δ.

P. 420 A. ἐπισίτιοι] οἱ τροφῆς χάριν ἐργαζόμενοι. R.

C. φάρμακα] νῦν τὰ χρώματα, ἢ βάμματα. R.

E. ξυστίς ἐστι λεπτὸν ὕφασμα, περιβόλαιον, ἢ χιτὼν ποδήρης γυναικεῖος. οἱ δὲ τραγικὸν ἔνδυμα ἐσκευοποιημένον καὶ ἔχον ἐπιπόρπημα, ὅ ἐστιν ἐπὶ τῇ πόρπῃ προσκόσμημα ἢ λίθινον ἢ χρυσοῦν ἢ ἀργυροῦν· πόρπη δέ ἐστιν ἡ ἄνω τῆς χλαμύδος σύνδεσις. οἱ δὲ ξυστίδα τὸ λεπτόν, παρὰ τὸ ἐξύσθαι. ἰδίως δὲ τὸ τῶν τραγῳδῶν ἔνδυμα. R.

421 A. νευρορράφους εἶπε Λυκοῦργος τοὺς τὰ νεῦρα ῥάπτοντας ταῖς λύραις. R.

D. χυτρεὺς] κεραμεύς, ἀφ' ἑνὸς εἴδους τῶν κεραμευομένων, τῆς χύτρας. R.

422 E. πόλεις παίζειν εἶδός ἐστι πεττευτικῆς παιδιᾶς· μετῆκται δὲ καὶ εἰς παροιμίαν. R.

423 C. φαῦλον τὸ ῥᾴδιον, ὡς νῦν. εὕρηται δὲ σημαῖνον καὶ τὸ ἁπλοῦν καὶ κακὸν καὶ μοχθηρὸν καὶ τυχὸν καὶ μέγα. R.

424 B. μεταλαμβάνειν] γρ. μεταβάλλειν. R.

426 A. χαριέντως] εὐτραπέλως, σκωπτικῶς. R.

E. ὕδραν τέμνειν, παροιμία ἐπὶ τῶν ἀμηχάνων εἰρημένη, διὰ τὰς τῆς ὕδρας κεφαλὰς ἃς τέμνων Ἡρακλῆς οὐδὲν μᾶλλον ἐκράτει, ταύτης ἀναδιδούσης ἄλλας ἀντὶ τῶν κοπτομένων κεφαλάς. R.

427 A. Δελφοὶ πόλις ἐπὶ τοῦ Παρνασσοῦ πρὸς τῇ Φωκίδι. R.

429 E. δευσοποιὸν] ἔμμονον, δυσακόπλυτον, ὡς νῦν. σημαίνει δὲ καὶ τὸν βαφέα. R.

E. ῥυμμάτων] τριμμάτων, σμηγμάτων. τὸ δὲ σμῆγμά ἐστι σποδός. R.

430 A. Χαλάστρα πόλις τῆς Μακεδονίας καὶ λίμνη, ἔνθα τὸ Χαλαστραῖον νίτρον γιγνόμενον διὰ ἐνναετηρίδος πήγνυται, ὁμοίως δὲ καὶ λύεται. R.

B. κονία σμῆγμα, σποδός. R.

D. πραγματευώμεθα] φροντίζωμεν· πρᾶγμα γὰρ καὶ ἡ φροντίς. R.

431 A. ἔνι] ἔνεστιν ἢ ἔστιν. R.

Ε. ἐπιεικῶς τὸ ἱκανῶς, ὡς νῦν. σημαίνει δὲ καὶ τὸ πάνυ, καὶ παραδόξως, καὶ παρ' ἐλπίδα, καὶ μετὰ χρηστότητος, καὶ μετρίως ἢ συμμέτρως. R.

432 C. εἰ γὰρ ὄφελον] εὐκτικὸν ἐπίρρημα. R.

C. ἰοὺ ἰού] σχετλιαστικὸν ἐπίρρημα. R.

434 A. πάντα τἄλλα μεταλλαττόμενα] ἀντὶ τοῦ πάσας τὰς ἄλλας τέχνας ἀμειβομένας ὑπ' αὐτοῦ μίαν, εἶτα ἑτέραν, εἶτα πάλιν ἄλλην καὶ ἄλλην. R.

436 D. χαριεντίζοιτο] εὐτραπελεύοιτο, σκώπτοι, ὡς Ἀριστοφάνης·

χαριεντίζει καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύει. R.

437 A. διασαφητικὸν τὸ ἤ, ἀντὶ τοῦ ἤπερ, οἷον ἤπερ ταύτῃ. R.

439 B. τῷ αὐτῷ] τῷ ἑαυτοῦ μέρει. ἡ μὲν γὰρ ἐπιθυμία ἄγει πρὸς τὸ πιεῖν, ὁ δὲ λόγος ἀνθέλκει. R.

440 A. ἐμπλήσθητε] ὀφθαλμοὶ δηλαδή. R.

B. τοῦ τοιούτου λέγει, τοῦ συμμαχεῖν τῷ λόγῳ τὸν θυμόν. ὁ δὲ νοῦς οὗτος· ταῖς δὲ ἐπιθυμίαις σε κοινωνήσαντα ταῖς εὐλογίστοις, καὶ γινώσκοντά σε τοῦτο ἐκ τῆς πείρας, οὐχ ὑπολαμβάνω σε εἰπεῖν ὅτι ἥσθημαι ἐν ταῖς τοιαύταις ἀγαθαῖς ἡδοναῖς τὸν θυμὸν ἀντιπράττοντα ταῖς ἐπιθυμίαις, ὥσπερ ἐπὶ ταῖς τοῦ Λεοντίου ἀλόγοις ἡδοναῖς ἀντέπραττεν. R.

443 D. νεάτη ἤγουν νήτη ὑπερβολαίων ἡ ἐσχάτη χορδὴ τοῦ δὶς διὰ πασῶν συστήματος, ὑπάτη δὲ ἡ μετὰ τὸν προσλαμβανόμενον λεγόμενον φθόγγον πρώτη χορδὴ τοῦ αὐτοῦ τοῦ δὶς διὰ πασῶν συστήματος. μέση δὲ καὶ αὐτὴ ἤτοι φθόγγος ἢ χορδὴ ἡ τελευταία μὲν τοῦ πρώτου διὰ πασῶν, ἀρχὴ δὲ τοῦ δευτέρου, ὡς εἶναι τούτων κοινήν, ὡς Πτολεμαῖός τέ φησι καὶ οἱ ἄλλοι μουσικοί. R.

Ε.

449 A. ἦα δισυλλάβως τὸ ἐπορευόμην. σὺν τῷ ἰῶτα γράφεται· οἱ γοῦν Ἴωνες ἦϊα λέγουσι, καὶ ἤϊσαν τὸ ἦσαν· καὶ παρὰ Θουκυδίδῃ οὕτως ἀναγνωστέον· ὅτι ἀκμάζοντες ἤϊσαν ἐς αὐτόν. οἱ δὲ Ἴωνες ἦεσαν καὶ ἤϊσαν. R.

451 A. Ἀδράστειαν] τρεῖς Μοίρας εἶναι θυγατέρας Ἀνάγκης φασίν, Κλωθώ, Λάχεσιν, Ἄτροπον, ἣν καὶ Ἀδράστειαν καλοῦσιν, ὅτιπερ οὐκ ἄν τις αὐτὴν ἀποδράσειεν, ἢ ὅτι ἀειδράστειά

τις οἷόν ἐστιν, ὡς ἀεὶ ὁρῶσα τὰ καθ' ἑαυτήν, ἢ ὡς πολυδράστεια (πολλὰ γὰρ δρᾷ) τοῦ ἄλφα πλῆθος δηλοῦντος ὡς ἐπὶ τῆς ἀξύλου ὕλης. ἡ δὲ αὐτὴ καὶ Νέμεσις λέγεται ἀπὸ τῆς νεμήσεως, ὡς διαιροῦσα καὶ νέμουσα τὸ ἐπιβάλλον ἑκάστῳ. R.

452 B. χαριέντων] νῦν τῶν ἐν ἔργῳ τὸ σκώπτειν ποιουμένων. R.

E. φιλοπαίσμων Ἀττικῶς ὁ φιλοπαίγμων. R.

453 D. νεῖ] νῦν κολυμβᾷ· σημαίνει δὲ καὶ τὸ νήθει. R.

D. νευστέον] κολυμβητέον. R.

D. δελφῖνα] ὡς τὸν Ἀρίονα δηλονότι τὸν Μηθυμναῖον. Μήθυμνα πόλις ἐν Λέσβῳ τῇ νήσῳ, ἀφ' ἧς Ἀρίων, κιθαρῳδὸς Περιάνδρου τοῦ Κορινθίων τυράννου. οὗτος ἱκανῶς ἔχων χρημάτων, ἐπιθυμίᾳ πλειόνων εἷς τε Ἰταλίαν καὶ Σικελίαν ἦκεν, ἀφ' ὧν ἀπὸ τῆς τέχνης χρήματα συλλέξας πολλὰ εἰς Κόρινθον ἐπαναπλεῖ. ἐν ᾧ τῶν ναυτῶν διὰ τὰ τοῦδε χρήματα βουλομένων αὐτὸν ἀνελεῖν, τούτων μὲν ἐκείνοις, εἰ ἀφεῖεν, ἐξίστατο, πείθειν δὲ οὐκ ἔχων ἐδεῖτο αὐτῶν ἐπὶ τῆς πρώρας ᾄσαι βραχύ, εἶτα εἰς τὴν θάλασσαν ἅλλεσθαι. καὶ οἱ μὲν ἔδωκαν, ὁ δὲ ᾄσας ἑαυτὸν ἔρριψε· δελφὶς δὲ ὑποθεὶς ἑαυτὸν τῷ κιθαρῳδῷ εἰς Ταίναρον κομίζει τὸ τῆς Λακωνικῆς ἀκρωτήριον. περὶ ταύτης οὖν τῆς ἱστορίας ἐνταῦθα φησίν. R.

E. ἦ] διασαφητικόν, ὡς νῦν, ψιλούμενον καὶ περισπώμενον. ἔστι δὲ καὶ ἀπορηματικόν, ἀλλὰ δὴ καὶ ἐρωτηματικόν. εἰ δὲ βαρύνοιτο, διαζευκτικὸν δηλοῖ. R.

E. ἀνδρείως] ἀντὶ τοῦ θρασέως. R.

454 D. τὸ πρὸς αὐτὰ τεῖνον] τὸ ἐπιτήδειον. R.

455 C. ποπάνων] πλακούντίων πλατέων καὶ λεπτῶν καὶ περιφερῶν. ἔψημα δέ ἐστιν ὃ ἔνιοι ἐραῖον καλοῦσιν, οἱ δὲ γλυκύ. R.

456 C. εὐχαῖς ὅμοια] τὰ μὴ καθήκοντα· ἔστι γὰρ ὅτε καὶ τοιαῦτα εὐχόμεθα. R.

457 B. ἐνδύσονται] γρ. ἀμφιέσονται. R.

460 C. σπαργῶσι] Ὅμηρος

οὔθατα γὰρ σφαραγεῦντο.

τοὺς μαστοὺς πλήρεις ἔχουσι γάλακτος, καὶ σπαράττονται ὑπὸ θλίψεως, δέονταί τε τοῦ ἐκκριθῆναι αὐτό. σημαίνει δὲ καὶ ὁρμῶσι καὶ ὀργῶσι καὶ ταράττονται. R.

C. τίτθαις ταῖς τοὺς τίτθους παρεχούσαις, τροφοῖς δὲ ταῖς τὸν ἄλλον ἀναδεχομέναις πόνον, αἳ καὶ τιθῆναι καλοῦνται, αἵτινες περιφέρουσι, προσπαίζουσι, καὶ τῆς ἄλλης τροφῆς τῆς μετὰ τὸν ἀπογαλακτισμὸν ἐπιμέλειαν ἔχουσιν. R.

464 E. βιαίων δίκη βίας δίκης διαφέρει. βιαίων μὲν γάρ ἐστιν, εἴ τις βίᾳ ἐπεισελθών τι ἔλαβεν ἀλλότριον ἢ ἐκ χωρίου ἢ ἐξ οἰκίας, βιαίων ἐκρίνετο. ἐν δὲ ταῖς σχολικαῖς ὑποθέσεσιν βίας ἔγκλημά ἐστι κατὰ τῶν κόρην ἁρπασάντων ἢ παῖδα ἐλεύθερον. σημειωτέον δὲ ὅτι βιαίων γράφουσι τὴν δίκην οἱ παλαιοί, καὶ οὐδεὶς βίας. αἰκίας δὲ δίκη ἐστίν, ὅταν ἐκ προχείρου πάθους τινὸς καὶ μὴ ἐκ προνοίας ἀδίκων τις ἄρξῃ χειρῶν. εἰσήγετο δὲ πρὸς τοὺς τεσσαράκοντα. R.

465 C. πορισάμενοι] κλέψαντες, ἤ τι τοιοῦτον. R.

C. οἰκέτας τοὺς οἰκείους, οὐχὶ δὲ τοὺς δούλους μόνον, ὡς ἡ νῦν συνήθεια. ἔστι καὶ παρ' Ἡροδότῳ ἡ χρῆσις. R.

D. Ὀλυμπιονῖκαι οἱ τρὶς ἐν Ὀλυμπίᾳ νικῶντες ἀγῶνας. μετὰ Πῖσον γὰρ καὶ Πέλοπα καὶ Ἡρακλέα, τοὺς πρώτους διαθεμένους αὐτούς, ἠμελήθησαν ἐπὶ ὀκτὼ καὶ εἴκοσιν Ὀλυμπιάδας. Ἴφιτος δὲ καὶ Λυκοῦργος οἱ Ἡρακλεῖδαι καὶ Κλεοσθένης ὁ Κλεονίκου ἐπιγενόμενοι, καὶ εἰς ὁμόνοιαν τοὺς Πελοποννησίους παρακαλοῦντες, πέμπουσι περὶ τοῦ ἀγῶνος ἐρωτῶντες εἰς Δελφούς. καὶ ὁ Ἀπόλλων χρᾷ τοῦτον ἀνανεοῦν, καὶ τοῖς νικῶσιν ἆθλον διδόναι κότινον, ὅ ἐστιν ἐξ ἀγριελαίας στέφανον. οἱ δὲ τοῖς Ἠλείοις ἐπιτρέπουσι διαθεῖναι τὸν ἀγῶνα· οὗτοι δὲ τοῖς Πισάταις. ἄγεται δὲ διὰ πέντε ἐτῶν μέσον τεσσάρων συντελουμένων. Ἦλις δὲ καὶ Πῖσα πόλεις Πελοποννήσου, τριακοσίους σταδίους ἀλλήλων ἀπέχουσαι. R.

D. ἀναδοῦνται] ἀναπλέκονται, στέφονται. R.

E. οὐκ οἶδα ὅτου] τοῦ Ἀδειμάντου δηλονότι. ἐξέκλινε δὲ τὸ τοῦ λόγου σκληρὸν διὰ τοῦ ἀορίστου. R.

467 C. ἀλλὰ σμικρὸν] ὁ νοῦς οὗτος· ἆρα, ὦ Γλαύκων, ἡγεῖ οὐκ εἶναι μέγιστον κέρδος τὸ τοὺς μέλλοντας γενήσεσθαι παῖδας ἐμπειροπολέμους μετὰ χρόνον αὐτοπτεῖν ἢ μὴ τὰ περὶ πόλεμον; σχεδὸν δὲ τὸ Ὁμηρικὸν παραφράζει·

πρῶτ' ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο,
Εὔφορβος. R.

C. οὐκοῦν] ἀντὶ τοῦ οὐχ οὕτως, καθ' ὑπόκρισιν. R.

C. ὅσα ἄνθρωποι] αντὶ τοῦ κατὰ ἀνθρωπίνην φύσιν· οἱ γὰρ θεοὶ πάντα ἴσασιν. R.

468 B. πάντων, ἔφη, μάλιστα] συγκαταθετικώτερον δοκεῖ μοι. R.

C. πλεῖστοι ἐκ τοῦ τοιούτου] ἀγαθοὶ πλεῖστοι ἐκ τοῦ τιμᾶσθαι. τὸ Ὁμηρικὸν δὲ λέγει·

ἐπεὶ οὐκ ἄρα τις χάρις ἐστίν·
ἴσῃ μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζει.

D. ταῦτά γε] τοῦτο πρὸς ἀντιδιαστολὴν τῶν ῥαπισθέντων Ὁμηρικῶν λόγων ἐν τοῖς πρώτοις. R.

469 C. ὅλῳ καὶ παντὶ διαφέρειν, παροιμία ἐπὶ τῶν πάντη διαφερόντων λεγομένη, παρ' ὅσον τὰ πράγματα καὶ ὅλα τυγχάνει ὄντα, καθ' ὃ συνεχῆ ἐστὶν ἑαυτοῖς, καὶ μέρη ἔχει, καθ' ὃ καὶ διωρισμένα τούτοις πᾶσίν ἐστι. τὸ οὖν πάντη διαφέρον τινός, ἅτε δὴ καὶ καθ' ὅλον καὶ κατὰ μέρος τοῦδε πᾶν διενεγκόν, ὅλῳ καὶ παντὶ λέγεται διαφέρειν. R.

E. ἀναιρέσεις τὰς ὑπὸ τῶν ἐν πολέμῳ ἡττηθέντων ἀναλήψεις τῶν νεκρῶν σωμάτων παρὰ τῶν οἰκείων αὐτοῖς. R.

470 C. ἄπο τρόπου τὸ αἰτίας χωρίς, πρὸς τρόπου δὲ τὸ κατ' αἰτίαν. R.

D. ἁλιτηριώδης πρὸς βίαν ποιουμένη, ἢ ἁμαρτανομένη, ἐκ τοῦ ἁλιτήριοι ὀνόματος παρηγμένη. κατὰ Διονύσιον γὰρ τὸν Ἁλικαρνασσέα, λιμοῦ γενομένου Ἀθήνησιν οἱ πένητες προφερόμενα ἄλευρα διήρπαζον· ἐλέχθησαν οὖν οἱ τοὺς ἁλοῦντας ἐπιτηροῦντες ἁλιτήριοι. διέτεινε δὲ τὸ ὄνομα, ὥστε καὶ ἐπὶ πάντων τῶν μετὰ βίας τι ποιούντων ἢ ἁμαρτανόντων λέγεσθαι. R.

472 B. μὴ διάτριβε] μὴ καθ' ὑπέρθεσιν λέγε. R.

473 A. ἆρ' οἷόν τε] ὁ νοῦς οὗτος· ἆρα ἀκριβῶς, ὡς ὁ λόγος ἀπαιτεῖ, ἐνδέχεται τοὺς ἀνθρώπους πράττειν, ἢ ἡ πρᾶξις κατὰ φύσιν ἧττον ἅπτεται ἀληθείας ἧπερ ἡ λέξις καὶ ὁ λόγος; ἀλλ' ἐν μὲν τῷ οὐρανῷ εὑρίσκομεν καὶ κύκλον ἐν σώματι καὶ σφαῖραν καὶ τάξιν καὶ ἁρμονίαν καὶ ἀναλογίαν καὶ ὁμοιότητα καὶ ἰσότητα καὶ ἁπλῶς πάντα σύμφωνα τῷ λόγῳ· ἐν δὲ γῇ τοῦτο γενέσθαι δυσχερές. R.

C. τὶ λέγει, ὅπερ ἐπὶ Μάρκου τοῦ φιλοσόφου, βασιλέως Ῥωμαίων, ἀπέβη. R.

D. κακῶν παῦλα] τῶν πολλῶν ἀνθρώπων. τοῦτο δὲ καὶ Εὐριπίδης λέγει·

πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων.

475 A. Ἀθήνησι δέκα μὲν ἦσαν φυλαί, διῄρητο δ' ἑκάστη τούτων εἰς τρία, εἰς τριττύας, εἰς ἔθνη, εἰς φρατρίας. οἱ οὖν ἑκάστης τριττύος ἄρχοντες τριττύαρχοί τε καλοῦνται καὶ τριττυαρχοῦσιν. R.

C. κακόσιτον] κακόχυμον, βεβλαμμένον. R.

D. Διονύσια ἑορτὴ Ἀθήνησι Διονύσῳ ἦγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος, τὰ δὲ Λήναια μηνὸς Μαιμακτηριῶνος, τὰ δὲ ἐν ἄστει Ἐλαφηβολιῶνος. R.

E. παίδων αἰνίγματι] Κλεάρχου γρίφος·

αἶνός τίς ἐστιν ὡς ἀνὴρ τε κοὐκ ἀνὴρ
ὄρνιθα κοὐκ ὄρνιθ' ἰδών τε κοὐκ ἰδών,
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
λίθῳ τε κοὐ λίθῳ βάλοι τε κοὐ βάλοι.

Ἄλλως.

ἄνθρωπος οὐκ ἄνθρωπος, ἄνθρωπος δ' ὅμως,
ὄρνιθα κοὐκ ὄρνιθα, ὄρνιθα δ' ὅμως,
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
λίθῳ βαλών τε κοὐ λίθῳ διώλεσεν.

νυκτερίδα ὁ εὐνοῦχος νάρθηκος κισήρει. R.

ς'.

485 B. φιλοτίμων καὶ ἐρωτικῶν] ὅτι ἔλεγεν ὅτι τριττυαρχοῦσιν οἱ φιλότιμοι πολλάκις, καὶ οἱ ἐρωτικοὶ συμπάσχοντες μελιχλώρους καλοῦσι τοὺς ὠχρούς. R.

C. ἑκόντας εἶναι] ἀντὶ τοῦ ἐθελουσίους. τὸ δ' εἶναι παρέλκει Ἀττικῶς. R.

486 A. ἀνελευθερία ἐστὶν ἕξις φαύλη περὶ χρήματα, μὴ ἀναλίσκουσα ταῦτα εἰς ἃ δεῖ καὶ ὅσα δεῖ καὶ ὅτε δεῖ. σμικρολογία δέ ἐστι φειδωλία, περὶ χυδαίων τινῶν ἡ φροντίδα ἡ συλλογὴν ποιουμένη. μεγαλοπρέπειά ἐστιν ἕξις βελτίστη περὶ δαπάνας, ἃς τῷ μεγάλῳ καὶ πρέποντι γίγνεσθαι προσήκει. R.

487 B. πρὸς μὲν ταῦτα] ὁ νοῦς οὗτος· οἱ πολλοὶ τῶν ἀκουόντων ταῦτα, διὰ τὸ μὴ εἶναι διαλεκτικώτατοι, ἐπιστομίζονται ῥᾳδίως ὑπὸ σοῦ, ὦ Σώκρατες, ὄντος δεινοῦ ἐν διαλεκτικῇ. καὶ

σὺ μὲν οὐκ ἀληθῆ λέγεις ταῦτα λέγων, ἐκεῖνοι δὲ ἀδυνατοῦσιν ἐλέγχειν σε. ἀλλ' ἐκεῖνοι μὲν μὴ τολμῶντες πρὸς σὲ ἀντιλέγειν σιωπῶσιν· αὐτὰ δὲ τὰ πράγματα ἐναργῶς φαίνεται μὴ συμφωνοῦντα τοῖς ὑπὸ σοῦ λεγομένοις. R.

D. ἀλλοκότους] ἐξηλλαγμένους, ἐναντίους, ξένους, πλημμελεῖς, ἀλλοφυεῖς. R.

488 A. εἰκάζω τὸ ὁμοιῶ, καὶ τὸ εἰκονίζω τὸ αὐτὸ δηλοῖ. χρῆται δὲ τῇ λέξει ὅ τε Ξενοφῶν καὶ ὁ Ἀριστοφάνης καὶ ἄλλοι. R.

C. ἄλλοι μᾶλλον] πείθωσιν, ἀπὸ κοινοῦ. R.

C. μανδραγόρᾳ] ὑπνωτικὸς ὁ καρπὸς τοῦδε τοῦ φυτοῦ. Θεόφραστος δὲ ἐν τῇ περὶ φυτῶν πραγματείᾳ τὴν ῥίζαν τοῦδε ξυσθεῖσάν τε καὶ ὄξει δευθεῖσαν πρός τε τὰ ποδαγρικὰ καὶ πρὸς ὕπνον μᾶλλον εἶναι χρησίμην φησί, καὶ δὴ πρὸς φίλτρα. διδόασιν δὲ ἐν οἴνῳ ἢ ὄξει. R.

E. ἀδολέσχην] μακρολόγον, φλύαρον. R.

489 C. κομψευσάμενος] πανουργευσάμενος. κομψευσάμενον τὸν Εὔβουλόν φησιν, ὃς ὑπὸ Σωκράτους ἐρωτηθεὶς· ὦ Εὔβουλε, σοφὸς ἐθέλεις εἶναι ἢ πλούσιος; ἔφη πλούσιος· τοὺς γὰρ σοφοὺς ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις καθεύδοντας. πρὸς ὃ τὸν Σωκράτη πάνυ ἀγχίνως εἰπεῖν· οἱ μὲν σοφοί, ὦ Εὔβουλε, ἴσασιν ὧν δέονται, τῆς πρὸς τὴν τῶν ἀναγκαίων χρείαν γὰρ χορηγίας, ἧς οἱ πλούσιοι, εἰ βούλοιντο, χορηγοί· αὐτοὶ δ' οὗτοι οἱ πλούσιοι οὐκ ἴσασιν· τῆς ἀνθρωπίνης γὰρ ἀρετῆς, ἢ διὰ τῆς διδασκαλίας τῶν σοφῶν τῷ βουλομένῳ παντὶ οἷά τ' ἐστὶ παραγίνεσθαι. R.

490 E. πολλοί, φησίν, ἀρξάμενοι φιλοσοφεῖν ἐγένοντο πονηρότατοι· μικρὰ δέ τις αὐτῶν μοῖρα καὶ ὀλίγιστοι ἐκφεύγουσι τὴν φθορὰν ταύτην, καὶ οὐ γίγνονται πονηροί, ἄχρηστοι δὲ ὅμως. R.

E. τὸ ἑξῆς· καὶ μετὰ τοῦτο αὖ τὰς τῶν ψυχῶν φύσεις, τὰς εἰς τὸ τῆς φιλοσοφίας ἐπιτήδευμα καθισταμένας καὶ μιμουμένας τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις, δεῖ θεάσασθαι, οἵαι οὖσαι εἰς μεῖζον ἑαυτῶν ἐπιτήδευμα ἀφικόμεναι, πλημμελοῦσαι ψόγον κατὰ τῆς φιλοσοφίας προσῆψαν. R.

493 A. οὗτοι] οἱ δημαγωγοί, οὓς σοφιστὰς μεγίστους ἄρτι ἔλεγεν. R.

A. διὰ τοῦ Θρέμματος ἐξετραγῴδησε τὴν ἀλογίαν τῶν τοιούτων ὄχλων. R.

D. τούτοις] τοῖς ἰδιώταις, τοῖς ἀπαιδεύτοις. R.

D. Διομηδεία ἀνάγκη, παροιμία ἐπὶ τῶν κατ' ἀνάγκην τι πραττόντων εἰρημένη, ἀφ' ἱστορίας τοιαύτης, ἧς καὶ Ἀριστοφάνης μέμνηται ἐν Βατράχοις, ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ Παλλάδιον κλέψαντες ἐξ Ἰλίου νυκτὸς ἐπανήεσαν ἐπὶ τὰς ναῦς σελήνης ὑποφαινούσης, φιλοτιμούμενος δ' Ὀδυσσεὺς αὐτοῦ μόνου δόξαι γενέσθαι τὴν πρᾶξιν, ἐπεχείρησε τὸν Διομήδεα μετὰ τοῦ Παλλαδίου προηγούμενον ἀνελεῖν. ὁ δὲ κατὰ τὸ τῆς σελήνης φῶς τὴν κατ' αὐτοῦ θεασάμενος τοῦ ἐπιφερομένου ξίφους σκιάν, συλλαμβάνει τε τὸν Ὀδυσσέα, καὶ τὰς χεῖρας τοῦδε συνδεῖ, προάγειν τε κελεύει, καὶ τύπτων αὐτοῦ πλατεῖ τῷ ξίφει τὸ μετάφρενον ἐπὶ τοὺς Ἕλληνας παραγίνεται. R.

494 B. ἄλλως] μάλιστα, ὡς νῦν, ἢ μάτην, ἢ κατὰ ἄλλον τρόπον. R.

495 E. ἀποτεθρυμμένοι] ἀπηγριωμένοι. εἴρηται κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν θρύων, ἃ ἐστι βοτάνη τις ἀγρία καὶ ἄγονος. R.

E. οἶμαι βαναυσίας ἐνταῦθα κοινότερον λέγεσθαι τὰς κατὰ τας τέχνας ἀναστροφάς, ἀπὸ τῶν διὰ πυρὸς ἐργαζομένων τεχνῶν εἰρημένας (βαῦνος γὰρ ἡ κάμινος), οὐ μὴν βαναυσίαν ἐν τούτοις λέγειν ἤτοι ἀπειροκαλίαν, ἣν ἀμφότερα μὲν οὕτως Ἀριστοτέλης ἐν τοῖς Νικομαχείοις ἠθικοῖς καλεῖ, ἐν τοῖς μεγάλοις δὲ σαλακωνίαν. ἔστι δὲ περὶ χρημάτων δαπάνας ὑπερβολή, ἔλλειψις δὲ μικροπρέπεια· ὧν μεγαλοπρέπεια μεσότης ἐστίν. R.

497 E. εἰπόντος Ἀδειμάντου ὅτι τέλος ἐχέτω τὰ περὶ τούτων, ὁ Σωκράτης φησὶν ὅτι κωλύομαι ὑπακοῦσαί σοι βουλόμενος, ἀλλ' οὐ δύναμαι· ἔτι γὰρ δεῖ περὶ τῶν αὐτῶν λέγειν ἀναγκαίως. R.

498 A. Ἡράκλειτος ὁ Ἐφέσιος, φυσικὸς ὤν, ἔλεγεν ὅτι ὁ ἥλιος ἐν τῇ δυτικῇ θαλάσσῃ ἐλθὼν καὶ καταδὺς ἐν αὐτῇ σβέννυται, εἶτα διελθὼν τὸ ὑπὸ γῆν καὶ εἰς ἀνατολὴν φθάσας ἐξάπτεται πάλιν, καὶ τοῦτο αἰεὶ γίγνεται. Ἄλλως. Ἡράκλειτος Βαθέωνος, Ἐφέσιος, μεγαλόφρων γεγονὼς καὶ ὑπερόπτης παρ' ὀντινοῦν. οὗτος τὸ τοῦ ἡλίου ἔλεγεν εἶναι σχῆμα σκαφοειδὲς καὶ ὑπόκυρτον, καὶ τὴν ἔκλειψιν αὐτοῦ συμβαίνειν κατὰ τὴν τοῦ

σκαφοειδοῦς στροφήν, ὥστε τὸ μὲν κοῖλον ἄνω γίγνεσθαι, τὸ δὲ κυρτὸν κάτω πρὸς τὴν ἡμετέραν ὄψιν. ἀλλὰ μὴν καὶ Ξενοφάνη τὸν Κολοφώνιον κατὰ σβέσιν τὴν ἡλιακὴν ἔκλειψιν λέγειν γίγνεσθαί φασι, καὶ πάλιν πρὸς ταῖς ἀνατολαῖς ἀνίσχειν αὐτόν. R.

B. διὰ τῆς εἰωθυίας εἰρωνείας Σωκράτης νῦν λανθανόντως ὑποτίθεται ἡμῖν, ὅτι δεῖ τοὺς νέους μειρακιώδη φιλοσοφίαν μανθάνειν. λέγει δὲ τὴν μαθηματικήν· οἰκεία γὰρ αὕτη τοῖς νέοις θεοῖς. καὶ γὰρ δι' αὐτῆς τὰς κινήσεις τῶν νέων θεῶν διδασκόμεθα. ἡ δὲ διαλεπτικὴ τοῖς τοιούτοις ἀνδράσιν ἐπισφαλής. καὶ ὁ Πλωτῖνος τοιοῦτο λέγει τὸ παραδοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως. R.

D. εἰς μικρὸν] ἀντὶ τοῦ εἰς μέγαν, εἰρωνικῶς. R.

D. οὐ γὰρ πώποτε εἶδον] πικρὸν τὸ λέγειν ὅτι ἔργῳ μὲν τὰ νῦν λεγόμενα καλῶς οὐκ εἶπον οἱ πολλοί, ἀλλὰ πολὺ μᾶλλον τοιαῦτα ῥήματα εἶδον. καὶ γὰρ ὁ Θουκυδίδης, ἐπιπλήττων τοὺς Ἀθηναίους, λέγει ὅτι ὑμεῖς θεαταὶ μέν ἐστε τῶν λόγων, ἀκροαταὶ δὲ τῶν ἔργων. τὸ δὲ ἐξεπίτηδες ἀντὶ τοῦ ἐκ παρασκευῆς καὶ ἐπιμελείας πιθανῶς συντεθέντα. καὶ τὸ πολὺ μᾶλλον ἔμφασιν πολλὴν ἔχει τῆς τῶν πολλῶν ἀφροσύνης, καὶ τὸ ὡμοιωμένα ἀλλήλοις εἶναι τὰ τοιαῦτα ῥήματα καὶ οὐχὶ τοῖς οὖσιν ἐθήλωσε διὰ τοῦ ἑξῆς, ὅτι ἄνδρα ὡμοιωμένον ἀρετῆς ἔργῳ πρῶτον, εἶτα λόγῳ, οὐκ εἶδον οἱ τοιοῦτοι. R.

E. ἀπὸ τοῦ αὐτομάτου, ὥσπερ νῦν] εἰρωνικῶς. ἡ γὰρ ἀλήθεια αὐτομάτως ὡς εἰπεῖν συνέρχεται· οὐ γὰρ ἀγράφῳ γραμματείῳ ἔοικεν ἡ ψυχή. R.

E. ἑτέρᾳ] ἀριστοκρατουμένῃ. R.

499 A. τὰ δὲ κομψὰ] δεῖ πορίσασθαι ἐκ τούτων ὅτι ἡ τῆς ἀληθείας εὕρεσις αὐτὴ καθ' ἑαυτὴν ἐστιν αἱρετὴ καὶ οὐ πρὸς ἄλλο σκοπεῖ, ἀλλὰ μόνον ἡ γνῶσις αὐτῆς ἀρκεῖ πρὸς εὐδαιμονίαν. R.

B. κατήκοοι] ἀντὶ τοῦ κατακούομενοι. R.

C. εὐχαῖς ὅμοια] τοῦτο καὶ κενὴν φασι μακαρίαν. R.

E. ὅτι εὐμεταβολον τὸ τῶν πολλῶν πλῆθος, δηλοῖ καὶ Ὅμηρος ἀπεικάζων τὴν ὁρμὴν αὐτῶν κύμασι παντοίων ἀνέμων καὶ τοῖς τοιούτοις. ἀλλὰ καὶ νῦν τοῦτο λέγει, ὅτι κἂν λόγῳ τις αὐτοῖς ἐνδείξηται τὴν ἀληθῆ φιλοσοφίαν, κἂν αὐτῷ ἔργῳ τοιοῦτος φανόμενος, ῥᾳδίως ἂν πείσει αὐτούς, καὶ τοσούτῳ ῥᾷον

ὅσῳ ἂν εἶεν πλείους. καὶ γὰρ οἱ πλείους μᾶλλον τῇ τῆς ὕλης ἀταξίᾳ ἀναλογοῦσι, καὶ μᾶλλον εὐάλωτοι πρὸς ἑπάτερα, ἤπερ οἱ ὀλιγώτεροι. R.

500 A. οὐκοῦν] ἀντὶ τοῦ τοιγαροῦν. R.

D. οὐ προσῆκον ἐπεισπεκωμακότας] οὐ προσηκόντως εἰσεληλυθότας. R.

503 A. βασανιζόμενον οὐ τὸν αἰκιζόμενον καὶ τιμωρούμενον σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸν ἀνακρινόμενον καὶ ἐλεγχόμενον καὶ δοκιμαζόμενον ἢ διὰ λόγων ἢ πραγμάτων, οἷός τίς ἐστιν, ἀπὸ λίθου γένους τινὸς παλουμένου βασάνου, ᾧ τὸ καθαρὸν χρυσίον δοκιμάζεται. R.

B. ὄκνος] ἀνάδυσις, εὐλάβεια, ἀναβολή. R.

504 D. ὑπογραφὴν] ὅτι τὸ πρὸ ὀλίγου τὸ ἀνδρείκελον ἐνέγραφεν καὶ θεοείκελον ἐν τῷ πίνακι. R.

505 A. πολλάκις ἀκήκοας] ἀπειράκις γὰρ ἡ ἀΐδιος ψυχὴ ταῦτα καὶ ἤκουσεν καὶ ἐπελάθετο. R.

506 B. πάλαι καταφανὴς] ἐξ ἀϊδίου γὰρ αἱ ψυχαὶ ἀλλήλας γινώσκουσι. διὰ τὸ ὀρεκτὸν εἶναι τὸν νοῦν καὶ τὴν ἐπιστήμην κατὰ φύσιν αὐταῖς, καὶ τὸ δοξαστὸν ὡς ἐπίκτητον ἀποπέμπεσθαι, οὐκ ἀποχρήσει αὐταῖς ἡ δόξα. R.

D. παρ' ἄλλων] παρὰ τῶν κρειττόνων ἡμῶν γενῶν. R.

D. ἀρκέσει] τὸ γὰρ θεῖον πᾶν οὐ μόνον αὐταρκὲς ἀλλὰ καὶ ἱκανόν. R.

D. ὅπως μὴ] ἐλλιπὴς ἡ φράσις· τοῦτο δὲ ἔθος Ἀττικόν. λείπει γὰρ τὸ σκόπει ἤ τι τοιοῦτο. R.

D. ἐάσωμεν] παρὰ γὰρ τὴν τῶν καταδεεστέρων ἀνεπιτηδειότητα τὰ κρείττονα ἀδυνατοῦσιν ἐνεργεῖν. R.

507 C. οὐ πάνυ] οὐδαμῶς. R.

509 B. τὸ γελοίως διὰ τὴν ὑπερβολήν. ἀσύγκριτον γὰρ τἀγαθὸν ἁπλῶς πρὸς πάντα. τὰ γὰρ κρείττονα ἡμῶν γένη διαπορθμεύουσι τὰ παρὰ θεῶν εἰς ἡμᾶς ἀγαθά. ἡ δὲ θεία ἀνάγκη τῇ θείᾳ βουλήσει ἡ αὐτή, καὶ ὅμοιον ἥ τε αἵρεσις τῷ κλήρῳ, καὶ τὸ ἑλέσθαι τῷ λαχεῖν, καὶ τὸ εἶναι τῷ ἐνεργεῖν, καὶ τὸ βούλεσθαι τῷ δύνασθαι, καὶ εἶναι ἁπλῶς ἐν θεῷ πάντα ἐνιαίως. Ἄλλως. τὸ γελοίως ἤγουν ἐγκοσμίως. οἱ γὰρ νέοι καὶ ἐγκόσμιοι θεοὶ τοῦτο αἰνίττονται. παίγνιον γὰρ τὸ σωματικὸν πᾶν τοῖς νοητοῖς παραβαλλόμενον. τὸ δὲ παίζειν καὶ γελᾶν τῶν νέων οἰκεῖον. καὶ τὸ

ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν.

περὶ τῶν ἐγκοσμίων εἴρηται θεῶν. ὁ γοῦν Γλαύκων ἀναλόγως ἐγκοσμίῳ προσώπῳ εἰκότως γελοίως λέγει. τὸ δὲ Ἄπολλον οἰκεῖον τῷ τε ἡλίῳ εἰς ταυτὸν ἐρχομένῳ τῷ Ἀπόλλωνι, καὶ τῷ λέγοντι ἐπιγνόντι τὸν ἑαυτοῦ βασιλέα ἥλιον καὶ Ἀπόλλωνα τὸν αὐτόν. R.

C. Ἄπολλον] ἐπίφθεγμα θαυμαστικόν, ὡς τὸ Ἡράκλεις. R.

D. Σχόλιον ἐκ τῶν Ἀρχύτου καὶ Βροντίνου καὶ Ἰαμβλίχου ἐπιτμηθέν. Γραμμὴν δίχα τὸ πρῶτον τετμημένην, εἴτε εἰς ἴσα τμήματα κατ' Ἀρχύταν καὶ τὸν Χαλκιδέα Ἰάμβλιχον, εἴτε καὶ εἰς ἄνισα, ὡς ἐν τῶν τισὶν ἀντιγράφων τοῦ Πλάτωνος εὕρηται, τὰ ὄντα πάντα δηλοῦσθαι εἰς δύο κατὰ πρώτην διαίρεσιν τεμνόμενα, τὸ νοητὸν δηλονότι καὶ ὁρατόν. εἰ μὲν εἰς ἴσα, διά τε τὴν τῶν λόγων μετουσίαν καὶ τῶν εἰδῶν, καὶ τὴν τῶν μετεχόντων πρὸς τὰ μετεχόμενα ὁμοιότητα, καὶ τῷ τὴν ἀναλογίαν τὴν αὐτήν πως εἶναι ἐπ' ἀμφοτέρων· εἰ δὲ εἰς ἄνισα, ὡς ἐν ἄλλοις εὕρηται, διὰ τὴν τῶν νοητῶν πρὸς τὰ αἰσθητὰ ἴσως ὑπεροχὴν καὶ ἀνομοιότητα. οἷον ἑκάτερον αὖ εἰς δύο ἀνὰ τὸν αὐτὸν διῃρῆσθαι λόγον, τῷ τὴν γνωστικὴν δύναμιν δι' ὅλου ὁμοειδῆ πρὸς ἑαυτὴν εἶναι. τὸ μὲν γὰρ ὁρατὸν εἰς εἰκόνας καὶ ὧν εἰσὶν εἰκόνες, τὸ δὲ νοητὸν εἰς τὰ διανοητὰ καὶ τὸ ἰδίως νοητὸν διακρίνεσθαι. καὶ εἰκόνας μὲν σκιάς τε καὶ τὰ ἐν τοῖς ὕδασι καὶ κατόπτροις καὶ ὅλως πυκνοῖς καὶ λείοις καὶ φανοῖς ξυνιστάμενα εἴδωλά τε καὶ φαντάσματα εἶναι, ὧν δ' εἰσὶν εἰκόνες, αὐτὰ δηλονότι τὰ αἰσθητὰ σώματα, ζῶά τε καὶ φυτὰ καὶ τὰ παραπλήσια· καὶ διανοητὰ μὲν τὰ μαθηματικά τε καὶ ἐπιστητὰ γένη, γεωμετρίαν, ἀστρονομίαν καὶ τὰ τούτοις ἀδελφά, νοητὰ δὲ τὰς ἰδέας τε καὶ ὄντως οὔσας οὐσίας. ἀνάλογον οὖν ἔχειν ὡς τὰ εἰκαστὰ πρὸς τὰ αἰσθητά τε καὶ φυσικὰ σώματα, οὕτω τὰ διανοητὰ πρὸς τὰ νοητά. εἰκόνας τε γὰρ τῶν νοητῶν εἶναι τὰ διανοητά, ὡς τὰ εἰκαστὰ τῶν αἰσθητῶν, τά τε αἰσθητὰ καὶ νοητὰ τῇ μᾶλλον καὶ ἧττον ἀληθείᾳ τῶν εἰκασθέντων καὶ διανοητῶν διωρίσθαι· τὰ μὲν γὰρ μᾶλλον τὰ δὲ ἧττον ἀληθῆ εἶναι. καθ' αὑτὰ μὲν γὰρ καὶ οὐκ ἐν ἄλλοις ὑφεστάναι τὰ αἰσθητά, σκιὰς δὲ καὶ εἴδωλα τοῖς αἰσθητοῖς παρυφίστασθαι, ἐν ἐκείνοις καὶ οὐ καθ' αὑτὰ ὄντα· καὶ διὰ τοῦτο ἐκείνων ὑποσπασθέντων μηδὲ ταῦτα φαίνεσθαι ἔτι, εἶναι δὲ καὶ ταῦτα αἰσθητὰ μὲν τῷ γένει, ἅτε δὴ τῇ αἰσθή-

σει ὑποπίπτοντα, εἰκαστὰ δὲ μᾶλλον καὶ δοξαστὰ εἶναι. οὕτω δὲ καὶ τὰ διανοητὰ τῶν νοητῶν εἶναι εἰκόνας καὶ εἴδωλα, ἅτε μηδὲ αὐτὰ κυρίως ἀλλ' ἐξ ἀφαιρέσεως ὄντα, καὶ πρὸς τὰ καθ' αὑτά τε καὶ ὄντως ὄντα, τὰ νοητὰ δηλονότι, τὴν ἀναφορὰν ἔχοντα. διὸ καὶ τὴν ψυχὴν τὰ μὲν αἰσθητὰ καὶ νοητὰ πρῶτά τε καὶ αὐτόθεν γινώσκειν, ὥσπερ καὶ ὑφίσταται πρῶτα, τὰ δὲ εἰκαστὰ καὶ διανοητὰ δεύτερα, ὡς καὶ δεύτερα ὑφίσταται. ὥσπερ γὰρ οὐ μένει ἐν τοῖς εἰκαστοῖς τῇ δόξῃ ταῦτα περιλαβοῦσα, ἀλλὰ ζητεῖ τὰ καθ' αὑτὰ ὑφιστάμενα, οἷς ἕπεται τὰ εἰκάσματα, οὕτω καὶ τὰ ἐπιστητὰ καὶ διανοητὰ θεωροῦσα καὶ διανοουμένη οἷον τρίγωνον ἱδρυμένον διάμεσον καὶ τὰ παραπλήσια, οὐ περὶ τούτων διανοεῖται, ἀλλ' ἐκείνων πέρι οἷς ταῦτα ἔοικε. ταῖς τε γὰρ εἰκόσι τὰ περὶ τὰ μαθήματα γένη εἶναι ἀνάλογον, καὶ τὴν αὐτῶν γνῶσιν ταῖς τῶν εἰδώλων εἰκασίαις ἔχειν τινὰ ὁμοιότητα. ἀπό τε γὰρ τῶν νοήσεων τὴν τῶν μαθηματικῶν γνῶσιν λαμβάνειν τὴν ἐνέργειαν, καὶ ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ μαθηματικὰ ὡς εἰκόνας μεταβαίνειν, ὑποθέσεις τε ἀναποδείκτους ἑαυταῖς ὑποτιθεμένην λόγον οὐδένα οὐδενὶ ἀξιοῦν διδόναι, ὡς παντὶ φανερόν, ἐκ τοιούτων τε ὑποθέσεων ὡς ἀρχῶν οὐκ ἐπ' ἀρχὴν ἀλλ' ἐπὶ τελευτὴν ἰέναι, αὐτὰ σκεπτομένην τὰ μαθηματικὰ τῇ διανοίᾳ. τῶν νοητῶν δέ γε τῶν λόγων μετὰ τῆς τοῦ διαλέγεσθαι δυνάμεως καὶ τῆς τελέας διαλεκτικῆς τῇ νοήσει προσχρωμένην ἅπτεσθαι ἐξ ὑποθέσεων ὡς οὐκ ἀρχῶν (οὐδὲν γὰρ ὅ τι ἐκείνων εἶναι ἀρχήν) ἀλλ' ὅπερ καλοῦνται ὑποθέσεων καὶ ἐπιβάσεων ἐπ' ἀρχὴν τὴν ἀνυπόθετον ἰέναι, ἧς μηδὲν ἔτι δηλονότι προϋποτίθεται, ἅτε καὶ μηδὲν ὄν, ὃ ἂν εἴη πρὸ ἐκείνης. κἀκεῖθεν αὖ ἐπὶ τελευτὴν καὶ τὰ διανοητὰ κατιέναι, οὐδενὶ προσχρωμένην αἰσθητῷ, ἀλλὰ τοῖς νοητοῖς αὐτοῖς εἴδεσι δι' αὐτῶν. ὥσπερ δὲ ἔχει τὰ πράγματα ἀληθείας τε καὶ μή, οὕτω σαφηνείας τε καὶ μὴ τὰ περὶ αὐτὰ καταγινόμενα τῆς ψυχῆς ἔχειν πάθη. εἶναι δὲ ταῦτα τέτταρα, νοῦν, διάνοιαν, πίστιν καὶ εἰκασίαν, ἐπὶ τέτταρσι τούτοις πράγμασι, νοητοῖς, διανοητοῖς, αἰσθητοῖς τε καὶ εἰκαστοῖς· ὧν νοῦν μὲν καὶ αἴσθησιν ἀρχὰς εἶναι τοῦ λόγου, ὡς ἐν τῷ περὶ νοῦ τε καὶ αἰσθήσεως Ἀρχύτᾳ δοκεῖ, τέλη δὲ ἐπιστήμην καὶ δόξαν, ὡς ὑπὸ μὲν ἐκείνων ἀποτελουμένων κἀκεῖθεν ὁρωμένου, κατιόντος δὲ καὶ τελευτῶντος εἰς ἐπιστήμην καὶ δόξαν. καὶ τοιαῦτα μὲν εἶναι τὰ γένη τῶν ὄντων, τοσαῦτα δὲ καὶ τὰ τούτων κριτήρια.

Z.

P. 514 A. *Ἀττικοὶ καὶ τὸ ἰδὲ ὀξύνουσι καὶ τὸ λαβὲ καὶ τὸ φαγέ, ὁμοίως τῷ ἐλθέ, εὑρέ, εἰπέ.* R.

516 E. *γνωματεύοντα*] *διακρίνοντα, διαγινώσκοντα ἀκριβῶς.* R.

517 C. *ἐνταῦθα*] *ἐν τῷ νοητῷ.* R.

518 B. *μετρίως*] *ἀντὶ τοῦ ἐπιεικῶς πάνυ.* R.

519 C. *Πτολεμαῖος ὁ μέγας ἐν δ' Γεωγραφουμένων φησὶ τὰς μακάρων νήσους ἔξ τὸν ἀριθμὸν ἐν τῇ ἐντὸς Λιβύῃ κατὰ τὸ Ἀτλαντικὸν πέλαγος.* R.

520 B. *τοιοῦτοι γιγνόμενοι*] *οἱ φιλόσοφοι.* R.

521 A. *εἰ μὲν εὕροις, φησί, βίον ἀμείνω φιλοσόφου βίου. λέγοι δ' ἂν θεοῦ μόνον·· καὶ γὰρ θεὸς ἀμείνων φιλοσόφου μόνος.* R.

C. *ὀστράκου περιστροφὴ*] *παροιμία ἐπὶ τῶν ταχέως τι ποιούντων λεγομένη. ἔστι δὲ καὶ ὄνομα παιδιᾶς. Ἄλλως. ἐπὶ τῶν διὰ τάχους εἰς φυγὴν ὁρμώντων, ἢ ἐπὶ τῶν εὐμεταβόλων.* R.

525 D. *τοὺς περὶ ταῦτα δεινοὺς*] *τοὺς ἀριθμητικούς.* R.

E. *αὐτὸ τὸ ἕν*] *τὴν μονάδα τὴν παρὰ τοῖς μαθηματικοῖς.* R.

526 B. *ὀξεῖς*] *οἷος ἦν Θεαίτητος.* R.

C. *μείζω πόνον παρέχει μανθάνοντι*] *ἴσως τοῦτο βούλεται λέγειν ὁ Πλάτων, ὅτι τῶν μετὰ πολλοῦ πόνου κατορθουμένων τεχνῶν οὐκ ἔστιν οὐδεμία τοιαύτη εὔκολος ὡς ἡ ἀριθμητική.* R.

B. *οὐ δέον*] *ἀντὶ τοῦ οὐ δεόντως, Ἀττικῶς.* R.

D. *ἡδὺς*] *εὐήθης. ἐπάλουν δὲ οὕτω καὶ τοὺς ὑπομωρούς.* R.

D. *ἑκάστου*] *ἑκάστου ἀνδρὸς τοῦ μανθάνοντος.* R.

529 C. *δίκην*] *νῦν τιμωρίαν.* R.

D. *Δαίδαλος ὁ Εὐπαλάμου καὶ Φρασιμήδης, ἀγαλματοποιὸς ἄριστος.* R.

530 A. *ὁ τῷ ὄντι, φησίν, ἀστρονομικὸς τὸν μὲν ὁρώμενον οὐρανὸν βλέπει τε καὶ θαυμάζει διὰ τῆς εὐτάκτου κινήσεως τὸν δημιουργόν, ἄτοπον δὲ ἡγήσαιτ' ἂν ἐξουνυχίζειν καὶ λιπαρῶς τοῖς φαινομένοις κεχηνέναι καὶ παντὶ τρόπῳ ζητεῖν τὰς κινήσεις αὐτῶν λεπτομερῶς.* R.

D. ἅτα παγῆναι] *περὶ μουσικῆς, ἥ ἐστιν ἀντίστροφος*

ἀστρονομίας· ἡ μὲν γὰρ ὄψει, ἡ δὲ ἀκοῇ πέπηγεν· λέγει δ' οὐ τὴν τοῦ ἀλόγου ἐπιμέλειαν, ἀλλὰ τὴν κατὰ Πυθαγόραν ἐν λόγῳ καὶ θεωρήματι. R.

531 B. κολλόπων] κολλάβων. οὕτω δὲ λέγονται τὰ τῶν χορδῶν ἐπιτόνια, περὶ ἃ εἱλοῦνται αὐταί. τὸ γὰρ νωτιαῖον τοῦ τραχήλου τοῦ βοὸς μέρος κόλλοψ καλεῖται, διὰ τὸ εἰς κόλλαν εὐθετεῖν. R.

532 A. διαλεκτικὴν τὴν διακριτικὴν τῆς πραγματικῆς, οὐ τὴν νῦν λεγομένην. R.

533 E. πρώτην μοῖραν] τὴν τῶν νοητῶν, τὴν τῶν μαθηματικῶν, τὴν τῶν φυσικῶν, τὴν τῶν τεχνικῶν. R.

534 D. ἐπικαταδαρθάνειν] ἐπικατακοιμίζεσθαι. R.

E. θριγκὸς] περίφραγμα, στεφάνη, τειχίον, περίβολος. R.

535 B. δριμύτητα] ὀξύτητα, σφοδρότητα, θερμότητα, ταχύτητα. R.

536 B. ἄρρατον] ἰσχυρόν, στερεόν, ἢ δυσκίνητον. R.

C. προπεπηλακισμένην] ὑβρισμένην, ἠδικημένην, διασεσυρμένην, ἐξουθενημένην. R.

C. Σόλωνι] τούτου γὰρ τὸ αἰεὶ γηράσκω πολλὰ διδασκόμενος. R.

537 A. εἰς ἀριθμὸν] ὡς Ὅμηρος· ἐν ἀνδρῶν ἴζει ἀριθμῷ. R.

H.

P. 544 B. ὥσπερ παλαιστὴς] ἔθος γὰρ τούτοις, ὅταν πέσωσιν ὁμοῦ, ὡς μηδένα ἐπιπεσεῖν τοῦ λοιποῦ, πάλιν ἐγερθέντας ἐφ' ὁμοίῳ συμπλεκῆναι σχήματι, ὅπερ τὴν αὐτὴν εἶπε λαβήν. R.

D. ἐκ δρυὸς] τὸ ἐν τῇ τ τῆς Ὀδυσσείας Ὁμήρῳ ὑπὸ Πηνελόπης ῥηθὲν Ὀδυσσεῖ ἀναγνωριζομένῳ αὐτῇ ἐνταῦθα ἐπὶ τῶν πολιτειῶν παρῳδεῖται. ἔστι δὲ τὸ

οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου, οὐδ' ἀπὸ πέτρας!

οἱ γὰρ παλαιοὶ ἐκ δρυῶν καὶ πετρῶν τοὺς πρὸ αὐτῶν γεγενῆσθαι ὑπελάμβανον, διὰ τὸ τὰς τικτούσας εἰς στελέχη καὶ σπήλαια τὰ βρέφη ἐκτιθέναι, ἐπεὶ καὶ τὰς μίξεις κατὰ τὰς ἐρημίας ἐποιοῦντο οἱ πάλαι ἄνθρωποι, δρυῶν ἢ πετρῶν πλησίον. R.

546 A. τὰ φυτὰ διέστησε τῶν ζώων οὐ τῷ αἰσθητικῷ περιπατητικῶς (οἶδε γὰρ καὶ φυτῶν αἴσθησιν), ἀλλὰ τῷ ἐγγείῳ,

τουτέστι τῷ μονίμῳ, ὡς κατερριζωμένα ἐν γῇ, τὰ δὲ τῷ ἐπιγείῳ, ὅ ἐστι τῷ πορευτικῷ, ὡς φερόμενα ἐπὶ γῆς. R.

A. εἰ ὁ πᾶς χρόνος αἰῶνός ἐστι τοῦ παντὸς εἰκών· λέγεται γὰρ καὶ ὁ αἰὼν πᾶς. τὸ μὲν οὖν παράδειγμα τὸν ἅπαντα αἰῶνά ἐστι, μέτρον δ' ὁ πᾶς αἰών. μέτρον ἄρα καὶ ὁ πᾶς χρόνος. ἀλλ' ὁ μὲν τῆς τοῦ νοητοῦ ζωῆς μέτρον, ὁ δὲ τῆς τοῦδε τοῦ κόσμου ζωῆς, ὁ χρόνος. καὶ εἴη ἂν τῆς τῶν ἐν αὐτῷ πάντων ἀσωμάτων κινήσεως καὶ σωματικῶν πασῶν κοινῆς συναποκαταστάσεως μέτρον παντελές, ὃ δὴ πολλάκις συνελισσόμενον ποιεῖ τὸν ἄπειρον χρόνον. R.

B. θεῖον γεννητὸν οὐ τον ὅλον φησὶ κόσμον, εἰ καὶ προηγουμένως τοῦτον, οὔτε τὸν ἐν οὐρανῷ μόνον οὔτε τὸν ὑπὸ σελήνην, ἀλλὰ πᾶν τὸ ἀεικίνητον καὶ περιφερόμενον, εἴτ' ἐν οὐρανῷ εἴθ' ὑπὸ σελήνην, ὡς μὲν σωματικὸν γεννητὸν καλούμενον (οὐδὲν γὰρ σῶμα αὐθυπόστατον), ὡς δ' ἀεικίνητον, θεῖον· μιμεῖται γὰρ τὰ θειότατα τῶν ὄντων ἄγρυπνον ἔχοντα ζωήν. τὸν τέλειον δ' ἀριθμὸν οὐ μόνον χρὴ νοεῖν ἐπὶ δακτύλων τιθέντας (οὗτος γάρ ἐστιν ἀριθμητὸν μᾶλλον ἢ ἀριθμός, καὶ τελειούμενος καὶ οὐδέποτε τέλειος ἀεὶ γιγνόμενος), ἀλλὰ τὴν αἰτίαν τούτου νοερὰν μὲν οὖσαν, περιέχουσαν δὲ τὸν πεπερασμένον ὅρον τῆς τοῦ κόσμου πάσης περιόδου. R.

550 A. πατρὸς λόγους] ὁ γὰρ πατὴρ πλησιαίτατος, ὡς σύνοικος. R.

B. τῷ μέσῳ] τῷ ἐν τῇ ἑαυτοῦ ψυχῇ. R.

C. ὅτι ἐκ τοῦ φιλοτίμου φιλόπολις γίγνεται, ἀπὸ τιμημάτων οὐσῶν τῶν ἀρχῶν, ὡς Ῥωμαῖοι. Ἄλλως. ἡ τῶν Ἀθηναίων πόλις εἰς μεγάλα μέρη διῃρεῖτο τέτταρα. ταῦτα δὲ πολιτικὰ τιμήματα ἐκάλουν, ἅπερ ἦν πεντακοσιομεδίμνων, ἱππέων, ζευγιτῶν, θητικῶν· οἱ μὲν ἀπὸ τοῦ φ' μέτρα ξηρὰ καὶ ὑγρὰ ποιεῖν κληθέντες ἀνήλισκον εἰς τὸ δημόσιον τάλαντον· οἱ δὲ τὴν ἱππάδα τελοῦντες ἐκ μὲν τοῦ δύνασθαι τρέφειν ἵππους κεκλῆσθαι δοκοῦσιν, ἐποίουν δὲ μέτρα τ', ἀνήλισκον δὲ ἡμιτάλαντον· οἱ δὲ τὸ ζευγήσιον τελοῦντες ἀπὸ σ' μέτρων διελέγοντο, ἀνήλισκον δὲ μνᾶς ι'· οἱ δὲ τὸ θητικὸν οὐδεμίαν ἀρχὴν ἦρχον οὐδὲ ἀνήλισκον. R.

D. φιλοχρηματισταὶ οἱ φιλοῦντες πορίζειν χρήματα, φιλοχρήματοι δὲ οἱ φιλοῦντες χρήματα. R.

552 B. *κηφὴν*] *εἶδος μελίσσης ἄκεντρον, ὃ κατεσθίει τὸ μέλι μόνον, ἀργὸν δέ· ἀφ' οὗ καὶ τοὺς μὴ δυναμένους δρᾶν οὕτω φασίν.* R.

C. *δεινὰ κέντρα ἔχοντας*] *τοὺς ἐν τῇ ὀλιγαρχίᾳ δυνάστας.* R.

553 C. *γλίσχρως*] *πάνυ ῥυπαρῶς καὶ μετὰ φειδωλίας.* R.

C. *τιάρα ἐστὶν ἡ λεγομένη κυρβασία. ἔστι δὲ κόσμος ἐπικεφάλαιος, ᾗ οἱ Περσῶν βασιλεῖς μόνοι ὀρθῇ ἐχρῶντο, οἱ δὲ στρατηγοὶ κεκλιμένῃ. Ἡρόδοτος δὲ ἀρσενικῶς τὸν τιάραν φησί. τινὲς δὲ καὶ κίταριν λέγουσι τὸ αὐτό· Θεόφραστος δὲ ἐν τῷ περὶ βασιλείας Κυπρίων εἶναι λέγει τὴν κίταριν.* R.

C. *στρεπτοὺς*] *ὅρμους περὶ τὸν τράχηλον ἢ τὰς χεῖρας, οὓς καὶ στεφάνους χειρῶν λέγει Ἴων ἐν Φρουροῖς. ἀκινάκης δὲ Περσικόν τι ξίφος, ἢ δόρυ μικρὸν Περσικόν.* R.

554 A. *αὐχμηρὸς*] *στυγνός, σκοτεινός.* R.

B. *τυφλὸν*] *τὸν Πλοῦτον, οἶμαι, φησίν.* R.

D. *οὐ πείθων*] *ἑαυτὸν δηλονότι, οὐδὲ ῥυθμίζων τὰ τῆς ψυχῆς αὐτοῦ μόρια, καὶ διὰ τὸ ἄμεινον ἐπιτηδεύων τὴν ἀρετήν.* R.

556 A. *οὔτε διδάσκοντες λόγῳ, φησί, τοὺς νέους εἴργουσιν ἀκολασταίνειν, οὔτε βίᾳ κολάζοντες.* R.

C. *θεωρίας*] *ἑορτάς, ἀπὸ τῆς εἰς θέαν συνδρομῆς τῶν ἐν αὐταῖς τελουμένων παρηλλαγμένως τοῖς κατὰ τὸν ἄλλον τοῦ βίου χρόνον γιγνομένοις λεγομένας οὕτως.* R.

558 D. *χρηματιστικαὶ*] *χρημάτων πoριστικαί.* R.

560 C. *λωτοφάγους*] *τοὺς ψευδεῖς καὶ ἀλαζόνας λόγους καὶ δόξας· δηλονότι ἀλληγορικῶς. Ἄλλως. ὁ λῶτος δένδρον ἐστὶν ἐν Λιβύῃ κατὰ τὴν Μέμφιν φυόμενον, εὐμέγεθες, ἡλίκον ἄπιος ἢ μικρῷ ἔλαττον· φύλλον δὲ ἐντομὰς ἔχον καὶ πρινώδες· τὸ δὲ ξύλον μέλαν. γένη δ' αὐτοῦ πλείω, διαφορὰς ἔχοντα τοῖς καρποῖς. ὁ δὲ καρπὸς ὥσπερ κύαμος· πεπαίνεται δὲ ὥσπερ οἱ βότρυες μεταβάλλων τὰς χρόας. φύεται δὲ καθὰ τὰ μύρτα παράλληλα πυκνὸς ἐν τοῖς βλαστοῖς. ἐσθιόμενος δὲ ἐν τοῖς Λωτοφάγοις καλουμένοις γλυκύς ἐστι καὶ ἡδὺς καὶ ἀσινής, καὶ ἔτι πρὸς τὴν κοιλίαν ἀγαθός· ἡδίων δ' ὁ ἀπύρηνος. ποιοῦσι δὲ καὶ οἶνον ἐξ αὐτοῦ. τὸ δένδρον δὲ καὶ πολὺ καὶ πολύκαρπον καὶ παρὰ τὴν Λωτοφαγίδα νῆσον, ἀπέχουσαν τῆς χώρας μικρὸν ὡσαύτως.* R.

561 A. *ἐκβακχευθῇ*] *ἐκμανῇ.* R.

576 C. πολλὰ δοκεῖ] ἀντὶ τοῦ ψευδῆ· τὸ γὰρ ψεῦδος πολυχοῦν, ἁπλοῦς δ' ὁ μῦθος τῆς ἀληθείας ἔφυ. R.

577 E. περὶ ὅλης εἰπεῖν ψυχῆς] τὸ γὰρ λογιστικὸν τῆς τοῦ τυράννου ψυχῆς, ὑπὸ θυμοῦ καὶ ἐπιθυμίας κρατούμενον, οὐ ποιεῖ ἃ βούλεται καθ' αὑτό, ὥστε κἂν κατὰ τὰ χείρονα μέρη ποιῇ ἃ βούλεται ἡ ψυχή, ἀλλὰ κατὰ τὸ κρεῖττον μὴ ποιοῦσα αὐτῆς διὰ τοῦτο λέγεται, ἥκιστα ποιήσει ἃ ἂν βουληθῇ ὡς περὶ ὅλης εἰπεῖν τῆς ψυχῆς· καὶ γὰρ οὐχ ὅλη τότε ποιεῖ. R.

587 D. εἰλήφθω κατὰ τὴν μονάδα αὐτὴν ὁ βασιλικός, κατὰ δὲ τὸν γ' ὁ ὀλιγαρχικός, τῆς μονάδος πολλαπλασιασθείσης ἐπ' αὐτόν, κατὰ τὸν θ' δὲ ὁ τυραννικός, τοῦ γ' γεγονότος ἐφ' ἑαυτόν. τοῦ τριπλασίου ἄρα τῆς μονάδος τοῦ γ', τουτέστι τοῦ ὀλιγαρχικοῦ τοῦ πρὸς τὸν βασιλικὸν ἀφεστῶτος τριπλάσιον, ὡσαύτως τριπλάσιον τῷ $\overline{\theta}$ ἀριθμῷ ἀφέστηκεν ὁ τυραννικός. ἔστι δὲ οὗτος ἐπίπεδος ἀριθμὸς κατὰ τὸ μῆκος τὸν γ' τὸ πλάτος τὸν γ' καὶ αὐτὸν ὄντα πολλαπλασιασθείς. εἴδωλον δὲ τὸν τυραννικόν φησι τοῦ βασιλικοῦ τὸ ἔσχατον. δύναμιν δὲ τὸν γ' καλεῖ, ὅτι δὴ καὶ ἡ μονὰς καὶ αὐτὸς ὁ γ' ἐφ' ἑαυτὸν καὶ ὁ θ' κατ' αὐτὸν ἐπολλαπλασιάσθησαν, οὗ μὲν γ', οὗ δὲ θ', οὗ δὲ κ' ποιήσαντα. τρίτην δὲ αὔξην λέγει τὴν τοῦ θ' ἐπὶ τὴν δύναμιν τὸν γ' πολλαπλασίασιν, καὶ ποιήσασαν τὸν κ', τὸ βάθος ἤγουν στερεὸν ἀριθμόν. δευτέρα γὰρ ἦν ἡ ἀπὸ τοῦ γ' ἐφ' ἑαυτὸν γενομένου, καὶ ποιήσαντος τὸν θ', τὸ πλάτος ἤγουν τὸν ἐπίπεδον, ὥσπερ ἡ τῆς μονάδος ἐπὶ τὸν γ' πολλαπλασίασις πρώτη αὔξη τε ἦν καὶ τὸ μῆκος ἐποίει αὐτό. τελειωθεῖσαν δὲ πολλαπλασίασιν τὴν τοῦ κ' ἐφ' ἑαυτὸν γινομένην. αὕτη γὰρ ποιεῖ τὸν ψκθ'. R.

588 C. ἡ Χίμαιρα τὸ εἶδός ἐστι πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα (τουτέστιν αἶξ), δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο· ἣν Ἡσίοδος μὲν Τυφῶνος καὶ Ἐχίδνης, Ὅμηρος δὲ τραφῆναι ὑπὸ Ἀμισωδάρου φασίν. Σκύλλα δὲ Κραταιίας καὶ Τυρρήνου ἢ Φόρκου, πρόσωπον ἔχουσα καὶ στέρνα γυναικός, ἐκ λαγόνων δὲ κυνῶν κεφαλὰς ἓξ καὶ πόδας δώδεκα. ὁ δὲ Κέρβερος Ἅιδου μὲν κύων λέγεται εἶναι, εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, οὐρὰν δὲ δράκοντος, κατὰ νώτου δὲ παντοίων ὄφεων εἶχε κεφαλάς. R.

590 A. Ἐριφύλη] Κάδμος ὁ Ἀγήνορος καὶ Τηλεφάσσης λαμβάνει μὲν γυναῖκα παρὰ Διὸς Ἁρμονίαν τὴν Ἄρεως καὶ

καὶ Ἀστυάγους τοῦ Μήδων βασιλέως Μανδάνη γίγνεται παῖς, ταύτης δὲ καὶ Καμβύσου, Πέρσου τινός, ὁ Κῦρος υἱός, ὁ καθελὼν Κροῖσόν τε καὶ δὴ καὶ αὐτὴν τὴν βασιλείαν τῶν Λυδῶν. R.

E. μέλλει] ἔοικεν, φαίνεται, δοκεῖ, ὡς νῦν. παρὰ δὲ Σοφοκλεῖ ἐν Τρωΐλῳ, μένει. R.

568 A. οὐκ ἐτὸς] ὁτὲ μὲν οὐ μάτην, ὁτὲ δ' οὐκ ἀλόγως· παρὰ τὸ ἐτώσιον, ὃ ἐστι τὸ μάταιον, οἱ δὲ οὐκ εἰκότως. R.

A. τοῦτο Σοφοκλέους ἐστὶν ἐξ Αἴαντος τοῦ Λοκροῦ. ἐνταῦθα δὲ Εὐριπίδου λέγεται τὸ ἰαμβεῖον εἶναι. καὶ θαυμαστὸν οὐδέν, εἰ συμπίπτοιεν ἀλλήλοις οἱ ποιηταί. R.

C. φωνὰς] τὰς τῶν ὑποκριτῶν. R.

Θ.

572 E. μηχανωμένους] ἀπὸ κοινοῦ τὸ τίθει· τίθει μηχανωμένους αὐτῷ ἔρωτα, ὅταν ἐλπίσωσι μὴ ἄλλως τὸν νέον, ὑπόπτερον ὄντα κηφῆνα καὶ μέγαν, καθέξειν. R.

573 C. σὺ καὶ ἐμοὶ ἐρεῖς] παροιμία, ἡνίκα τις ἐρωτηθείς τι ὑπὸ γινώσκοντος τὸ ἐρωτηθέν, αὐτὸς ἀγνοῶν, οὕτως ἀποκρίνηται· σὺ καὶ ἐμοὶ ἐρεῖς. R.

C. κῶμοι] ᾠδαί, ἢ ὀρχήσεις μετὰ μέθης. R.

574 C. σημείωσαι τὴν σύνταξιν, πρεσβύτην πατέρα πληγαῖς τε δοῦναι. R.

D. νεωκορήσει] ἀντὶ τοῦ ἱεροσυλήσει, ὡς νῦν. παρὰ δὲ τοῖς πολλοῖς τὸ κοσμήσει τὸν ναόν· κορεῖν γὰρ σημαίνει τὸ κοσμεῖν. R.

D. δορυφοροῦσαι] ὁ νοῦς οὗτος· αἱ κακαὶ ἐπιθυμίαι τὸν ἔρωτα δορυφοροῦσαι κατισχύσουσι τῶν δοξῶν τῶν ἀγαθῶν, ἃς πάλαι εἶχεν. R.

E. ὑπὸ ἔρωτος] κακοῦ ἔρωτος, ὅτε εἴδωλα κακὰ ἐν τῇ φαντασίᾳ ἀνέπλαττεν. R.

575 C. οὐδ' ἴκταρ βάλλει] ἴκταρ σημαίνει ταὐτα, τὸ ἐγγύς, ἀπὸ τοῦ ἱκνεῖσθαι, τὸ πρόσφατον, τὸ ἄρτι, τὸ ταχέως, τὸ πυκνῶς, τὸ ἐξαπίνης. καὶ παροιμία, οὐδ' ἴκταρ ἥκει, ὥσπερ καὶ τὸ οὐδ' ἴκταρ βάλλει, τουτέστιν οὐδ' ἐγγύς ἐστιν. εἴρηται δὲ κατὰ γλῶτταν, ὥσπερ τὸ διωλύγιον κακὸν σημαίνει τὸ μέγα, οὗ μνημονεύει Πλάτων ἐν Θεαιτήτῳ. R.

576 C. πολλὰ δοκεῖ] ἀντὶ τοῦ ψευδῆ· τὸ γὰρ ψεῦδος πολυχοῦν, ἁπλοῦς δ' ὁ μῦθος τῆς ἀληθείας ἔφυ. R.

577 E. περὶ ὅλης εἰπεῖν ψυχῆς] τὸ γὰρ λογιστικὸν τῆς τοῦ τυράννου ψυχῆς, ὑπὸ θυμοῦ καὶ ἐπιθυμίας κρατούμενον, οὐ ποιεῖ ἃ βούλεται καθ' αὑτό, ὥστε κἂν κατὰ τὰ χείρονα μέρη ποιῇ ἃ βούλεται ἡ ψυχή, ἀλλὰ κατὰ τὸ κρεῖττον μὴ ποιοῦσα αὐτῆς διὰ τοῦτο λέγεται, ἥκιστα ποιήσει ἃ ἂν βουληθῇ ὡς περὶ ὅλης εἰπεῖν τῆς ψυχῆς· καὶ γὰρ οὐχ ὅλη τότε ποιεῖ. R.

587 D. εἰλήφθω κατὰ τὴν μονάδα αὐτὴν ὁ βασιλικός, κατὰ δὲ τὸν γ' ὁ ὀλιγαρχικός, τῆς μονάδος πολλαπλασιασθείσης ἐπ' αὐτόν, κατὰ τὸν θ' δὲ ὁ τυραννικός, τοῦ γ' γεγονότος ἐφ' ἑαυτόν. τοῦ τριπλασίου ἄρα τῆς μονάδος τοῦ γ', τουτέστι τοῦ ὀλιγαρχικοῦ τοῦ πρὸς τὸν βασιλικὸν ἀφεστῶτος τριπλάσιον, ὡσαύτως τριπλάσιον τῷ θ̄ ἀριθμῷ ἀφέστηκεν ὁ τυραννικός. ἔστι δὲ οὗτος ἐπίπεδος ἀριθμὸς κατὰ τὸ μῆκος τὸν γ' τὸ πλάτος τὸν γ' καὶ αὐτὸν ὄντα πολλαπλασιασθείς. εἴδωλον δὲ τὸν τυραννικόν φησι τοῦ βασιλικοῦ τὸ ἔσχατον. δύναμιν δὲ τὸν γ' καλεῖ, ὅτι δὴ καὶ ἡ μονὰς καὶ αὐτὸς ὁ γ' ἐφ' ἑαυτὸν καὶ ὁ θ' κατ' αὐτὸν ἐπολλαπλασιάσθησαν, οὗ μὲν γ', οὗ δὲ θ', οὗ δὲ κζ' ποιήσαντα. τρίτην δὲ αὔξην λέγει τὴν τοῦ θ' ἐπὶ τὴν δύναμιν τὸν γ' πολλαπλασίασιν, καὶ ποιήσασαν τὸν κζ', τὸ βάθος ἡγοῦν στερεὸν ἀριθμόν. δευτέρα γὰρ ἦν ἡ ἀπὸ τοῦ γ' ἐφ' ἑαυτὸν γενομένου, καὶ ποιήσαντος τὸν θ', τὸ πλάτος ἡγοῦν τὸν ἐπίπεδον, ὥσπερ ἡ τῆς μονάδος ἐπὶ τὸν γ' πολλαπλασίασις πρώτη αὔξη τε ἦν καὶ τὸ μῆκος ἐποίει αὐτό. τελειωθεῖσαν δὲ πολλαπλασίασιν τὴν τοῦ κζ' ἐφ' ἑαυτὸν γινομένην. αὕτη γὰρ ποιεῖ τὸν ψκθ'. R.

588 C. ἡ Χίμαιρα τὸ εἶδός ἐστι πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα (τουτέστιν αἴξ), δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο· ἣν Ἡσίοδος μὲν Τυφῶνος καὶ Ἐχίδνης, Ὅμηρος δὲ τραφῆναι ὑπὸ Ἀμισωδάρου φασίν. Σκύλλα δὲ Κραταιὰς καὶ Τυρρήνου ἢ Φόρκου, πρόσωπον ἔχουσα καὶ στέρνα γυναικός, ἐκ λαγόνων δὲ κυνῶν κεφαλὰς ἓξ καὶ πόδας δώδεκα. ὁ δὲ Κέρβερος Ἅιδου μὲν κύων λέγεται εἶναι, εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, οὐρὰν δὲ δράκοντος, κατὰ νώτου δὲ παντοίων ὄφεων εἶχε κεφαλάς. R.

590 A. Ἐριφύλη] Κάδμος ὁ Ἀγήνορος καὶ Τηλεφάσσης λαμβάνει μὲν γυναῖκα παρὰ Διὸς Ἁρμονίαν τὴν Ἄρεως καὶ

Ἀφροδίτης, ὧν κατὰ τοὺς γάμους εὐωχοῦνται πάντες οἱ θεοί. Κάδμος δὲ παρὰ Ἡφαίστου πέπλον καὶ ὅρμον λαβὼν ἡφαιστότευκτον, Ἁρμονίᾳ δῶρον γαμήλιον δίδωσιν. ὃς ὅρμος εἰς Πολυνείκην τὸν Κάδμου κατήχθη ἀπόγονον. οὗτος δὲ πρὸς Ἐτεοκλέα τὸν ἀδελφὸν περὶ τῆς Θηβῶν βασιλείας πόλεμον ἀράμενος ἄλλους τε πολλοὺς λαμβάνει συνεργούς, καὶ δὴ καὶ μάντιν ἄριστον, Ἀμφιάραον τὸν Οἰκλέους, πεισθέντα ὑπὸ τῆς γυναικὸς τῆς ἰδίας, Ἐριφύλης τῆς Ταλαοῦ καὶ Λυσίππης, λαβούσης ἐπὶ τούτῳ δῶρον παρὰ Πολυνείκους τὸν ὅρμον· στρατευσάμενοι οὖν ἄλλοι μὲν ἄλλως ἀπώλοντο, Ἀμφιάραος δὲ φεύγων ἐποχούμενος ἅρματι περὶ τὸν Ἰσμηνὸν κεραυνοῦται ποταμόν. καὶ διὰ τοῦτο λέγεται τὴν Ἐριφύλην ἐπὶ τῇ τοῦ ἀνδρὸς τὸν ὅρμον δέξασθαι ψυχῇ. R.

I.

P. 595 C. τῶν τραγικῶν] τῶν συμφορᾶς μεστῶν· ἐπὶ τῶν τοιούτων γὰρ ταῖς τραγῳδίαις ἐχρῶντο. R.

599 D. Λυκοῦργος Σπαρτιάτης ἢ Λακεδαιμόνιος γέγονε τῶν Τρωϊκῶν μετὰ ἔτη υθ΄, ἦν δὲ κατὰ Σιμωνίδην Πρυτάνιδος μὲν υἱός, Εὐνόμου δὲ ἀδελφός, καὶ θεῖος τοῦ Εὐνόμου υἱοῦ, Χαριλάου τοῦ βασιλεύσαντος τῆς Σπάρτης, ἧς ἦρξε καὶ Λυκοῦργος αὐτὸς ἔτη ιή΄, ὅτε καὶ τοὺς νόμους ἔγραψεν, ἐπιτροπεύων τὸν ἀδελφιδοῦν. κατὰ δὲ τοὺς πλείστους Προκλέους μὲν τοῦ Ἀριστοδήμου Σόος, οὗ Εὐρυπῶν, οὗ Πρύτανις, οὗ Εὔνομος, οὗ Πολυδέκτης ἐκ προτέρας γυναικός, ἐκ δὲ Διωνάσσης ὑστέρας Λυκοῦργος, ὃν καὶ τοὺς νόμους ἐκ Κρήτης φασὶ μετενεγκεῖν εἰς Λακεδαίμονα. R.

E. Χαρώνδας ἐκ Κατάνης, πόλεως Σικελίας, διάσημος νομοθέτης τῶν Ἀθήνηθεν ἐλθόντων εἰς Θουρίους ἐποίκων. φευγόντων δὲ τῷ πατρὶ συνακολουθήσας κατῴκησεν ἐν Χαλκίδι· τὴν δὲ ὄψιν ἐλευθέριος ἦν. γενόμενος δὲ τῶν Πυθαγορείων εἷς διήνεγκε τῷ προτρεπτικῷ. R.

E. Σόλων Ἀθηναῖος, Ἐξηκεστίδου υἱός, σοφὸς καὶ νομοθέτης καὶ δημαγωγὸς γεγονώς. οὗτος Πεισιστράτου κατειπὼν μέλλοντος τυραννεῖν, διὰ τὴν ἐξ αὐτοῦ ἐπιβουλὴν ἀπεδήμησεν εἰς Αἴγυπτον καὶ Κύπρον, ἀλλὰ καὶ πρὸς Κροῖσον τὸν βασιλέα Λυδῶν, εἶτα εἰς Κιλικίαν, οὗ κτίζει πόλιν Σόλους λεγομένην, ἐν ᾗ τοὺς κατοικισθέντας ὑπ' αὐτοῦ Ἀθηναίους, πολλὰ τῆς Ἑλλά-

δος φωνῆς διὰ τὸ χρόνῳ βαρβαρωθῆναι παραφθεγγομένους, σολοικίζειν καὶ σολοίκους ἔλεγον, ἐξ οὗ καὶ σολοικισμός. τούτου τὸ μηδὲν ἄγαν. ἔγραψε δὲ νόμους οὓς ἄξονας ἐκάλεσαν, καὶ ὑποθήκας δι' ἐλεγείας. ἔτη δὲ γεγονὼς ὀγδοήκοντα ἐν Κύπρῳ τελευτᾷ. R.

600 A. Θάλης Ἐξαμύου, Μιλήσιος, Φοῖνιξ δὲ καθ' Ἡρόδοτον. οὗτος πρῶτος ὠνομάσθη σοφός· εὗρε γὰρ τὸν ἥλιον ἐκλείπειν ἐξ ὑποδρομῆς σελήνης, καὶ μικρὰν ἄρκτον αὐτὸς ἔγνω καὶ τὰς τροπὰς πρῶτος Ἑλλήνων, καὶ περὶ μεγέθους ἡλίου καὶ φύσεως, ἀλλὰ καὶ ἄψυχα ψυχὴν ἔχειν ὁπωσοῦν ἐκ τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. ἀρχὴν δὲ τῶν στοιχείων τὸ ὕδωρ· τὸν δὲ κόσμον ἔμψυχον ἔφη καὶ δαιμόνων πλήρη. ἐπαιδεύθη ἐν Αἰγύπτῳ ὑπὸ τῶν ἱερέων. τούτου τὸ γνῶθι σαυτόν. ἐτελεύτησε δὲ μονήρης, γηραιός, γυμνικὸν ἀγῶνα θεώμενος, ὑπὸ καύματος ἐκλυθείς. R.

A. Ἀνάχαρσις Γνούρου υἱὸς τοῦ βασιλέως Σκυθῶν, μητρὸς δ' Ἑλληνίδος· διὸ καὶ δίγλωσσος ἦν. οὗτος ἐξενώθη ἐν Ἀθήναις Σόλωνι, καὶ ἐπανελθὼν εἰς τὴν Σκυθίαν ἔθη Ἑλληνικὰ παραδιδάξαι, ἐτοξεύθη ὑπὸ τοῦ ἀδελφοῦ, καὶ ἀποπνέων ἔφη· διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος ἐσώθην, διὰ δὲ τὸν φθόνον ἐν τῇ πατρίδι ἀνῃρέθην. R.

B. Πυθαγόρας Μνησάρχου δακτυλιογλύφου, Τυρρηνός. νέος δὲ ὢν ἦλθεν ἐκ Τυρρηνῶν εἰς Σάμον, καὶ διήκουσε Φερεκύδους τοῦ Συρίου, εἶτα Ἑρμοδάμαντος, ἐν Σάμῳ ἀμφοῖν, εἶτα Ἀβάριδος τοῦ Ὑπερβορέου καὶ Ζάρατος τοῦ μάγου. μεθ' οὓς ὑπὸ Αἰγυπτίων καὶ Χαλδαίων ἐπαιδεύθη. εἶτα εἰς Σάμον ἐλθὼν διὰ Πολυκράτη τὸν τύραννον ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας, καὶ τ' ἔσχε μαθητάς, προτέρους τε ἀδελφοὺς Εὔνομον καὶ Τυρρηνόν, καὶ δοῦλον Ζάμολξιν, ᾧ Γέται θύουσιν ὡς Κρόνῳ, γαμετήν τε Θεανώ, ἐξ ἧς παῖδες Τηλαύγης ὁ σχολαρχήσας μετ' αὐτὸν καὶ Δάμων ἢ ὥς τινες Μνήσαρχος, θυγάτηρ δὲ Μυῖα, ἢ ὥς τινες Ἀριγνώτη. συνεγράψατο δὲ βιβλία τρία, παιδευτικόν, πολιτικόν, φυσικόν. τὸ δὲ φερόμενον ὡς Πυθαγόρου Λύσιδός ἐστι τοῦ Ταραντίνου, μαθητοῦ αὐτοῦ, φυγόντος εἰς Θήβας ἐκ τοῦ ἐμπρησμοῦ καὶ καθηγησαμένου Ἐπαμεινώνδα. τινὲς δὲ καὶ τὰ χρυσᾶ ἔπη Πυθαγόρου φασὶν εἶναι. ἀπείχετο δὲ τῶν ἐμψύχων καὶ κυάμων, καὶ τὴν ψυχὴν ἔφη ἀθάνατον. ἐνενηκοντούτης δὲ

τελευτᾷ μετὰ μαθητῶν μ', ἐμπρησθέντων ἐν οἰκίᾳ τῇ αὐτῇ. ἄλλοι δέ φασιν ὅτι πολεμῶν μετὰ τῶν μαθητῶν ὑπὸ Ἀκραγαντίνων ἀπώλετο. R.

B. Κρεώφυλος Χῖος, ἐποποιός. τινὲς δὲ αὐτὸν ἱστόρησαν γαμβρὸν Ὁμήρου ἐπὶ θυγατρί, καὶ ὅτι ὑποδεξάμενος Ὅμηρον ἔλαβε παρ' αὐτοῦ τὸ ποίημα τῆς Ἰλιάδος. R.

C. Πρωταγόρας Ἀρτέμωνος, Ἀβδηρίτης. οὗτος φορτοβαστάκτης ἦν, ἐντυχὼν δὲ Δημοκρίτῳ ἐφιλοσόφησε, καὶ ἐπὶ ῥητορείαν ἔσχε, καὶ πρῶτος λόγους ἐριστικοὺς εὗρε, καὶ μισθὸν ἔπραξε τοὺς μαθητὰς μνᾶς ῥ'· διὸ καὶ ἐπεκλήθη λόγος. τούτου μαθητὴς Ἰσοκράτης ὁ ῥήτωρ καὶ Πρόδικος ὁ Κεῖος. ἐκαύθη δὲ τὰ τούτου βιβλία ὑπ' Ἀθηναίων· εἶπε γάρ· περὶ θεῶν οὐκ ἔχω εἰδέναι οὔτε ὡς εἰσὶν οὔτε ὡς οὐκ εἰσίν. ἔγραψε δὲ εἰς αὐτὸν ὁ Πλάτων διάλογον. πλέοντος δὲ αὐτοῦ εἰς Σικελίαν ἐτελεύτησε ναυαγήσας ἐτῶν ἐνενήκοντα, σοφιστεύσας ἔτη τεσσαράκοντα. R.

C. Πρόδικος Κεῖος φυσικὸς φιλόσοφος, Δημοκρίτου σύγχρονος τοῦ Ἀβδηρίτου, Γοργίου δὲ καὶ Πρωταγόρου μαθητής. τελευτᾷ κώνειον πιὼν ὑπὸ Ἀθηναίων ὡς τοὺς νέους διαφθείρων. R.

605 A. ἀντίστροφον] ἀντὶ τοῦ ἰσόστροφον. R.

D. κῆδος] λύπη, ὡς νῦν, ἢ μέριμνα, ἢ ἐπὶ γάμῳ συναλλαγή. R.

606 D. βωμολοχία ἐστὶ προσεδρεία τις περὶ τοὺς βωμοὺς ὑπὲρ τοῦ τι παρὰ τῶν θυόντων λαβεῖν. μεταφορικῶς δὲ καὶ ἡ παραπλησίως ταύτῃ ὠφελείας ἕνεκά τινος κολακεία, καὶ βωμολόχος ὁ κατ' αὐτὴν διακείμενος, ἢ ὁ εὐτράπελος καὶ γελωτοποιός· τινὲς δὲ τὸν μετά τινος εὐτραπελίας κόλακα, ἢ τὸν πανοῦργον καὶ συκοφάντην. καὶ βωμακεύματα καὶ βωμολοχεύματα, ὡς Ἀπολλόδωρος ὁ Κυρηναῖος. R.

607 B. λακέρυζα] μέγα κράζουσα. R.

609 A. ἐρυσίβην] θηρίδιόν τι ἐν τῷ σίτῳ γιγνόμενον, ὃ λυμαίνεται τὸν καρπόν. τινὲς δὲ νόσον ἐκ τοῦ περιέχοντος ἐπιγιγνομένην τοῖς σπέρμασιν. R.

610 E. σχολῇ] νῦν ἀντὶ τοῦ οὐδαμῶς. σημαίνει δὲ καὶ τὴν περί τι προσεδρείαν καὶ σπουδήν, καὶ τοὐναντίον τὴν ἀπό τινος ἀργίαν, ἔτι δὲ καὶ τὴν κατὰ την παιδευτικὴν ἐν λόγοις διατριβήν. R.

611 C. τὸν Γλαῦκόν φασι Σισύφου καὶ Μερόπης εἶναι υἱόν, γενέσθαι δὲ θαλάττιον δαίμονα. οὗτος γὰρ περιτυχὼν τῇ ἀθανάτῳ πηγῇ καὶ κατελθὼν εἰς αὐτὴν ἀθανασίας ἔτυχε, μὴ δυνηθεὶς δὲ ταύτην τισὶν ἐπιδεῖξαι εἰς θάλασσαν ἐρρίφη. καὶ περίεισι τοὺς αἰγιαλοὺς πάντας καὶ τὰς νήσους ἅπαξ τοῦ ἐνιαυτοῦ ἅμα τοῖς κήτεσι. μαντεύεται δὲ πάντα φαῦλα· καὶ γὰρ ἐπιτηροῦσιν οἱ ἁλιεῖς νύκτα, καθ' ἣν αὐτοῖς χρῇ σὺν πατάγῳ πολλῷ, καὶ καταδύντες εἰς τὸ κοῖλον τῆς νεὼς ἐστραμμένης αὐτῆς (ἀόρατος γὰρ ὁ δαίμων αὐτοῖς) θυμιῶσιν, ἐπευχόμενοι ἀπαλλαγὴν ὧν προαγορεύει. ὁ δὲ προσνηξάμενος τῇ πέτρᾳ ὀλοφύρεται τὴν ἀθανασίαν Ἑλλάδι φωνῇ αἰολιζούσῃ, καὶ προλέγει ζώων καὶ καρπῶν φθοράν. οἱ δὲ ἀπεύχονται ἀπόσιτοι καὶ ἄποτοι διατελοῦντες. R.

612 B. νέφος τὴν Ἅιδος κυνῆν φασὶν ἀθάνατον καὶ ἀφανές, ἥγουν ἀορασίαν, ᾧ περιβάλλονται οἱ θεοί, ὅταν ἐθέλωσιν ἀλλήλοις μὴ γιγνώσκεσθαι. εἴληπται δὲ εἰς παροιμίαν ἐπὶ τῶν ἀφανῶς τι ποιούντων. R.

614 B. Ἦρ μέν ἐστιν ὁ τοῦ μύθου πατήρ, Ἀρμενίου τοὔνομα υἱός, Πάμφυλος γένος. τοῖς δὲ μυθικοῖς πλάσμασι ποιητικῆς χάριτος δεῖ καὶ τῶν τοῦ κάλλους σχημάτων, ὧν ἡ ποίησις διακορής. καὶ τούτῳ τὸν Ἀλκίνου ἀπόλογον ἐνταῦθα παρειλῆφθαί φαμεν, ἥ ἐστι τοῦ Ὀδυσσέως νέκυια, καὶ τὰ ἐν Ἅιδου θεάματα, τῷ ψυχούλκῳ τῶν σφαγίων χρησαμένου αἵματι. ὅθεν καὶ εἰς παροιμίαν παρελήφθη τὸ τὸν περὶ τῶν ἐν Ἅιδου τι λέγοντα λέγεσθαι Ἀλκίνου λέγειν ἀπόλογον. ἀντιπαρατείνεται οὖν τῷ τοῦ Ἀλκίνου λόγῳ ὑπὸ τοῦ Ὀδυσσέως ῥηθέντι ὁ ὑπὸ τοῦ Ἠρός. πλὴν ἐκεῖ μὲν ὁ Ἀλκίνοος πρὸς εἰρήνην ὑπόκειται βλέπων καὶ τρυφήν· ἐνταῦθα δὲ γενναδάς τις ὁ Ἦρ ἱστόρηται καὶ πολεμικός, καὶ μετὰ τὸ κατὰ τὸν πόλεμον ἀποθανεῖν, ἃ χωρισθείσης αὐτῷ τῆς ψυχῆς ἴδοι ἐν Ἅιδου ἀπαγγέλλων δείματα. R.

616 A. ἀσπάλαθός ἐστι φυτὸν ἀκανθῶδες. R.

621 B. μῦθος ἐσώθη] τοῖς μὲν οὖν πολλοῖς προστιθέναι τοῖς μύθοις ἔθος ἦν, ὅτι μῦθος ἀπώλετο, δεικνύναι βουλομένοις ὡς ἄρα οἱ μῦθοι λέγουσι μὴ ὄντα, καὶ ἅμα ἐρρήθησαν καὶ οὐκ εἰσίν. Πλάτων δὲ τοὐναντίον πανταχοῦ σώζεσθαί τε καὶ σώζειν φησὶ τοὺς μύθους τοὺς παρ' αὐτῷ, μάλα γε εἰκότως. τῶν γὰρ ὄντων εἰσὶν ἐξηγηταί, καὶ ὠφέλιμοι διὰ τοῦτο. τοὺς γὰρ πειθο-

μένους αὐτοῖς ἐπανάγουσιν αὐτοφυῶς ἐπὶ τὴν τῶν ὄντων ἀλήθειαν, καίπερ ἄνευ εἰκότων καὶ ἀποδείξεων διδάσκοντες, ὡς ἂν ταῖς ἀδιαστρόφοις ἡμῶν προλήψεσι περὶ τῶν πραγμάτων συνᾴδοντες. R.

ΕΙΣ ΤΟΝ ΤΙΜΑΙΟΝ.

Ὑπόθεσις. Σωκράτης εἰς Πειραιᾶ ἀφικόμενος τῆς τῶν Βενδιδείων ἑορτῆς ἕνεκα καὶ πομπῆς, διείλεκται περὶ πολιτείας ἐκεῖ πρός τε Πολέμαρχον τὸν Κεφάλου καὶ Γλαύκωνα καὶ Ἀδείμαντον καὶ δὴ καὶ Θρασύμαχον τὸν σοφιστήν. τῇ δὲ ὑστεραίᾳ τῆς ἡμέρας ταύτης ἐν ἄστει πρὸς Τίμαιον καὶ Ἑρμοκράτη καὶ Κριτίαν καὶ τέταρτον ἐπὶ τούτοις ἄλλον ἀνώνυμον διηγεῖται τὴν ἐν Πειραιεῖ ξυνουσίαν, ὡς ἐν τῇ Πολιτείᾳ ὑπόκειται. διηγησάμενος δὲ παρεκάλεσε καὶ τοὺς ἄλλους οἰκείους αὐτὸν ἀνταφεστιᾶσαι λόγοις τῇ ταύτης ὑστεραίᾳ. συνελήλυθασιν οὖν ἀκροασόμενοί τε καὶ ἐροῦντες εἰς τήνδε τὴν ἡμέραν, τρίτην οὖσαν ἀπὸ τῆς ἐν Πειραιεῖ συνουσίας. ἔν τε γὰρ τῇ Πολιτείᾳ τὸ κατέβην χθὲς εἴρηται, κἀνταῦθα τὸ τῶν χθὲς μὲν δαιτυμόνων, τὰ νῦν δὲ ἑστιατόρων. πάρεισι δὲ εἰς τήνδε τὴν ἀκρόασιν οὐ πάντες, ἀλλ' ὁ τέταρτος δι' ἀσθένειαν ἀπολείπεται. R.

P. 17 A. ὁ Ἀττικός, φησὶν ὁ Πρόκλος, ὀρθῶς περὶ τοῦ τετάρτου τοῦδε ἐπισημαίνεται. ἔοικε γὰρ ὁ ἀπολειπόμενος οὗτος εἶναι τῶν μετὰ Τιμαίου ξένων. διὸ καὶ ὁ Σωκράτης αὐτὸν ἐρωτᾷ τὸν Τίμαιον ὅπου ποτὲ εἴη ὁ τέταρτος, καὶ ἐκεῖνος ὡς περὶ ἐπιτηδείου τινὸς ἀπολογεῖται, τὴν ἀπουσίαν ἀναγκαίαν αὐτῷ καὶ ἀβούλητον δεικνύς. R.

B. ἀνταφεστιᾶν φησίν, ἀλλ' οὐκ ἀνθεστιᾶν· ἡ γὰρ ἀφεστίασις τὴν ὁλοτελῆ τῆς ἑστιάσεως ἀποπλήρωσιν συνείληφεν. R.

18 C. εὐμνημόνευτον] ὅτι τὸ ἄηθες εὐμνημόνευτον· κινεῖ γὰρ μᾶλλον τὴν φαντασίαν ὡς παράδοξον, καὶ τὸν τύπον ἑαυτοῦ τρανέστερον ἡμῖν ἐντίθησιν. R.

E. ὑπὸ γὰρ τῶν ἀρχόντων κατὰ τὸ καθῆκον ἑκάστῳ λάθρᾳ τῶν κλήρων γιγνομένων τῆς συνέρξεως καὶ οὐ φανερῶς, ὑπολαμ[redacted]

βάνειν ἀνάγκη τυχηρῶς τοὺς φαύλους συναρμόζεσθαι αὐτοὺς ταῖς φαύλαις καὶ οὐ κατά τινα πρόνοιαν. R.

19 C. ὅτι Σωκράτης ποθεῖ μετὰ τὴν πολιτείαν ταύτην ἰδεῖν κινουμένην τὴν πόλιν τὴν κατὰ αὐτὴν εἰς ἀγῶνας καὶ ἄθλους, ἵνα μετὰ τὴν εἰρηνικὴν ζωήν, ἣν παραδέδωκε, τὰς περιστατικὰς ἐνεργείας ἱστορήσῃ. R.

20 A. Τίμαιος ἐκ Λοκρῶν τῶν Ἐπιζεφυρίων, τῆς ἐν Ἰταλίᾳ πόλεως, φιλόσοφος Πυθαγόρειος, ἔγραψε μαθηματικά τε καὶ περὶ φύσεως σύγγραμμα, τὸν Πυθαγορικὸν τρόπον. ἔνθεν ὁ Πλάτων καὶ τὸν διάλογον εἰς αὐτὸν ἔγραψε, καθὰ καὶ ὁ σιλλογράφος φησὶ περὶ αὐτοῦ·

πολλῶν δ' ἀργυρίων ὀλίγην ἠλλάξατο βίβλον,
ἔνθεν ἀφορμηθεὶς τιμαιογραφεῖν ἐπεχείρει.

ἐκ ταύτης τῆς πόλεως καὶ Ζάλευκος ὁ νομοθέτης ἦν. ὁ δὲ Κριτίας ἦν μὲν γενναίας καὶ ἁδρᾶς φύσεως, ἥπτετο δὲ καὶ φιλοσόφων συνουσιῶν, καὶ ἐκαλεῖτο ἰδιώτης μὲν ἐν φιλοσόφοις, φιλόσοφος δὲ ἐν ἰδιώταις. ἐτυράννευσε δὲ καὶ αὐτὸς εἷς τῶν λ' γεγονώς. ὁ δὲ Ἑρμοκράτης Συρακούσιός ἐστι στρατηγός, κατὰ νόμον ζῆν ἐφιέμενος· διὸ καὶ πολιτικῆς πως μετεῖχε καὶ φιλοσοφίας. R.

D. ἄκουε δή] τοῦτο παροιμιῶδές ἐστιν ἐφ' ὧν ἐκκαλέσασθαι βουλόμεθα τὸν ἀκούοντα, ἴσον ὂν τῷ δέχου δὴ τὰ ἄξια ἀκοῆς. R.

E. οἰκεῖος] λέγονται γὰρ οἰκεῖοι καὶ οἱ συγγενεῖς. R.

E. ἐν τῇ ποιήσει]

εἰπέμεναι Κριτίῃ ξανθότριχι πατρὸς ἀκούειν·
οὐ γὰρ ἁμαρτινόῳ πείσεται ἡγεμόνι. R.

E. Κριτίαν ἡμέτερον πάππον] Ἐξηκεστίδης, Σόλων, Δρωπίδης, οὗ Κριτίας ὁ πρῶτος, οὗ Κάλλαισχρος, οὗ Γλαύκων, Κριτίας ὁ δεύτερος, Περικτιόνη, Χαρμίδης, Πλάτων, Γλαύκων, Ἀδείμαντος. R.

21 A. Κριτίας] ὁ παλαιὸς δηλαδή. R.

B. Ἀπατούρια ἑορτὴ Ἀθήνησιν εἰς Διόνυσον, ἐκ τοῦδε· Μελάνθιος ἀντὶ Θυμοίτου τοῦ βασιλέως Ἀθηναίων Ξάνθῳ μονομαχῶν τῷ Βοιωτῷ ἠπάτησεν αὐτὸν εἰπών· παρὰ τὴν ὁμολογίαν, ὦ Ξάνθε, δεύτερος ἥκεις. τοῦ δὲ Ξάνθου ἐπιστραφέντος, ἵνα ἴδοι τὸν δεύτερον, αὐτὸν μὲν μηδένα ἰδεῖν, Μελάνθιον δὲ τοῦτον ἐξ ἐπιδρομῆς ἀνελεῖν, καὶ οὕτως ἐξ ἀπάτης νικῆσαι Ἀθη-

ναίους, ὑπὲρ Οἰνόης πολεμοῦντας Βοιωτοῖς. ἐώρταζον δὲ ἡμέρας τρεῖς, ὧν ἡ πρώτη ἐκαλεῖτο ἀνάρρυσις (τὰ γὰρ θύματα λέγεται ἀναρρύματα, παρὰ τὸ ἄνω ἐρυόμενα θύεσθαι· καὶ γὰρ ἐν ταύτῃ πολλὰ ἐθύετο), ἡ δὲ δευτέρα δορπία, καθ' ἣν εὐωχίαι καὶ δεῖπνα πολλά, ἡ δὲ τρίτη κουρεῶτις· ἐν ταύτῃ γὰρ τοὺς κόρους ἐνέγραφον εἰς τοὺς φράτερας, τριετεῖς ἢ τετραετεῖς ὄντας. ἐν ᾗ καὶ τῶν παίδων οἱ ἐντρεχέστεροι ποιήματα ἄττα ᾖδον, τὰ τῶν παλαιῶν ῥαψῳδοῦντες. R.

B. φρατέρων] Ἀθήνησιν αἱ φυλαὶ μετὰ μὲν Ἴωνα τέσσαρες, ἀπὸ δὲ Κλεισθένους δέκα, μετὰ δὲ ταῦτα δώδεκα. διῃρέθη δὲ ἑκάστη εἰς τρία, καὶ τὸ τρίτον ἐκλήθη τριττύς, εἶτα πατριὰ καὶ φρατρία, καὶ φράτερες οἱ εἰς τὴν αὐτὴν φυλὴν ταττόμενοι καὶ φρατρίαν ὡς ἀλλήλων συγγενεῖς, καὶ εἰς τούτους τοὺς φράτερας ἡ ἐγγραφὴ τῶν κόρων ἐγίγνετο. R.

D. τί, τὸ ἔργον· πῶς, τίνα τρόπον· παρὰ τίνων, τῶν διασωσαμένων αὐτὸ μέχρι τῆς Σόλωνος ἀκοῆς. R.

E. Σαϊτικὸς] ἐκ τῶν Μανεθὼ Αἰγυπτιακῶν. ἑπτακαιδεκάτη δυναστεία ποιμένες ἦσαν ἀδελφοὶ Φοίνικες ξένοι βασιλεῖς, οἳ καὶ Μέμφιν εἷλον, ὧν πρῶτος Σαΐτης ἐβασίλευσεν ἔτη ιθ', ἀφ' οὗ καὶ ὁ Σαΐτης νομὸς ἐκλήθη· οἳ καὶ ἐν τῷ Σεθρωΐτῃ νομῷ πόλιν ἔκτισαν, ἀφ' ἧς ὁρμώμενοι Αἰγυπτίους ἐχειρώσαντο. δεύτερος τούτων Βνῶν ἔτη μ', τρίτος Ἀρχάης ἔτη λ', τέταρτος Ἄφωφις ἔτη ιδ' // ργ'. ὁ δὲ Σαΐτης προσέθηκε τῷ μηνὶ ὥρας ιβ', ὡς εἶναι ἡμερῶν λ', καὶ τῷ ἐνιαυτῷ ἡμέρας ς', καὶ γέγονεν ἡμερῶν τξέ. R.

E. νομὸς] ἀπὸ τοῦ νενεμῆσθαι τὴν γῆν οὕτω λέγεται. B.

E. σημειωσαι ὅτι τὴν Σάϊν ἀκίνητόν φησιν ὑπὸ σεισμῶν διὸ καὶ Αἰγύπτιοι εἰς τὴν ἄρκτον αὐτὴν ἱερατικῶς ἀποτρέπονται σιν, ὡς μετέχουσάν τινος ἐκεῖθεν ἀπορροίας, διὰ τὸν πρὸ πόλου τόπον δεξαμένην ἑδραίαν στάσιν. R.

22 A. Φόρωνεὺς Ἰνάχου καὶ Μελίας, Ἀργείων βασιλεύς. Νιόβη δὲ τούτου παῖς καὶ Τηλοδίκης τῆς Ἀδάστου. Ἀπία δὲ καὶ Ἐπιμηθεὺς Προμηθέως καὶ Κλυμένης. Πύρρα δὲ Ἐπιμηθέως καὶ Πανδώρας τῆς ὑπὸ θεῶν κατασκευασθείσης.

A. ὅτι τρεῖς ἱστοροῦσι γενέσθαι κατακλυσμούς. πρῶτος — τὸν ἐπὶ Ὠγύγου, ὃς ἦν τῆς Ἀττικῆς βασιλεύς. δεύτερος — Δευκαλίωνος, ὅτε καὶ τὰ κατὰ Θεσσαλίαν ἐγένετο —

Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχύθη πάντα, τρίτον τὸν ἐπὶ Δαρδάνου τοῦ Διὸς καὶ Ἠλέκτρας τῆς Ἄτλαντος, ὃς Δάρδανος ἐβασίλευσε μετὰ τὸν κατακλυσμὸν τῆς ἀντίπερα Σαμοθράκης ἠπείρου, διὰ σχεδιᾶς αὐτόσε κομισθείς. R.

B. τινὰ] Πατένειτ τοὔνομα. R.

C. ὅτι κατὰ τοὺς αὐτοὺς χρόνους γενέσθαι φασὶ τόν τε πρὸς Θεσσαλίαν καὶ τοὺς ἐκείνῃ τόπους κατακλυσμόν, καὶ τὴν ἐν Αἰθιοπίᾳ ὑπὸ τοῦ Φαέθοντος ἐκπύρωσιν. R.

D. παράλλαξιν τὴν ἀσυμμετρίαν τῶν ἐν γῇ πρὸς τὰς ἐκ τοῦ οὐρανοῦ ἠκούσας εἰς αὐτὴν ἀπορροίας φησί· συμμέτρως γὰρ ἔχοντα διαμένει, ἀσυμμέτρως δὲ φθείρεται. ἢ τὸν τῶν οὐρανίων ποικίλον σχηματισμόν· οὗτοι γάρ εἰσιν οἱ κατὰ οὐρανὸν περὶ γῆν ἰόντες, καὶ ἄλλοτε ἄλλα σχήματα δεικνύντες διὰ τὰς ποικίλας νοήσεις τῶν ψυχῶν· γράμματα γὰρ ἐκεῖνα τὰ σχήματά ἐστι καὶ τύποι τινὲς δραστήριοι δι' ἐκείνους. R.

D. λυόμενος] Ἀττικῶς ἀντὶ τοῦ λύων τῆς ἀπορίας ὁ Νεῖλος ἡμᾶς. R.

E. κατὰ δὲ τήνδε] κατὰ τὴν ἄνω Αἴγυπτον δηλονότι· κατὰ γὰρ τὴν κάτω, ἣν ἔργον τοῦ ποταμοῦ φησὶν Ἀριστοτέλης, ὄμβροι εἰώθασι γίνεσθαι. ἐπανιέναι δὲ λέγει οὐ τὸ κάτωθεν ἀναβλυσθαίνειν, ἀλλὰ τὸ τὸ ὕδωρ ἀλλαχόθεν αὐξόμενον ἀνωτέρω τῆς γῆς χωρεῖν, ὑδάτων καταρρηγνυμένων εἰς τὸν Νεῖλον ἐξ ἄλλων τόπων τῶν κατὰ τὰ Σεληναῖα ὄρη, ἀφ' ὧν αἱ τούτου πηγαί, ἐκ τῆς γιγνομένης ἐν αὐτοῖς πιλήσεως τῶν νεφῶν ὑπὸ τῶν Ἐτησίων ἀνέμων, ὡς Θεόφραστός φησι. ταῦτα δὲ τὰ ὄρη ὑψηλότατά ἐστι. R.

23 A. διαφορὰν ἔχον] ἀντὶ τοῦ παραδόξως ἐκβεβηκός. R.

A. πάλιν δι' εἰωθότων] ὅτι κατά τινας ἐπιτελοῦνται περιφοραὶ καὶ αἱ τοιαῦται φθοραί, ἔχούσας τινὰ καὶ αὐτὰς ἀκολουθίαν πρὸς τὴν ὅλην τοῦ θείου γεννητοῦ περίοδον. R.

D. Γῆς τε καὶ Ἡφαίστου] Ζεὺς Μήτιδι συνελθὼν καὶ γενομένην ἔγκυον καταπίνει, ἐπείπερ ἔλεγε παῖδα γεννήσειν μετὰ τὴν μέλλουσαν ἐξ αὐτῆς γεννᾶσθαι κόρην, ὃς δυναστεύσει οὐρανοῦ. ὡς δ' ὁ καιρὸς τῆς ταύτης ἐνέστη γεννήσεως, δεῖται Ἡφαίστου πρὸς τοῦτο συνεργοῦ, ὡς κατὰ τῆς κεφαλῆς πλήξειεν αὐτόν· ἐπὶ ταύτης γὰρ ἐκυοφόρει τὸ ἔμβρυον. ὁ δὲ οὐκ ἄλλως ἐπακούσας κατένευσεν, εἰ μὴ τῇ γεννωμένῃ συγχωρηθείη συν-

ελθεῖν εἰς εὐνήν. ὑποστάντος δὲ τοῦ Διός, πελέκει τούτου τὴν κεφαλὴν Ἥφαιστος πλήττει. καὶ γεννᾶται μὲν οὕτως ἐξ αὐτῆς Ἀθηνᾶ, ἐπιδιώκων δὲ αὐτὴν Ἥφαιστος ἀποσπερμαίνει μὲν εἰς τὸν ταύτης μηρόν, ἡ δὲ λαβοῦσα ἔριον τὸ σπέρμα ἐξέμαξεν, ἔρριψέ τε εἰς γῆν. καὶ οὕτως ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονὸς δρακοντόπους ἄνθρωπος ἐγένετο, Ἐριχθόνιος τοὔνομα. τοῦτ' οὖν ἐνταῦθά φησιν, ὅτι Ἀθηναῖοι τοῦτον λέγουσι γενέσθαι παρ' αὐτοῖς αὐτόχθονα. R.

24 A. παραδείγματα νῦν, ὥς φησι Πρόκλος, τὰς εἰκόνας καλεῖ, ἐπείπερ αὗται γίγνονται παραδείγματα τοῖς ἀπ' αὐτῶν ἀναπεμπομένοις, καὶ δι' αὐτῶν τὰ πρῶτα γιγνώσκουσιν. R.

C. μαθήματα] γεωμετρία, ἀστρονομία, λογιστική, ἀριθμητική, καὶ αἱ ταύταις συγγενεῖς. R.

E. Εὐρώπη κέκληται ἀπὸ Εὐρώπης τῆς Ἀγήνορος ἢ Φοίνικος ἢ Τιτυοῦ, Ἀσία δὲ ἀπὸ Ἀσίας τῆς Οὐρανοῦ καὶ Γῆς, Λιβύη δὲ ἀπὸ Λιβύης τῆς Ἐπάφου, βασιλέως Αἰγύπτου, καὶ Μέμφεως τῆς Νείλου· οἱ δὲ Ἀμφιρρόης. R.

E. Ἀτλαντικοῦ πελάγους] τὸν Ἡρακλέα λόγος πολλὰς ἀβάτους διαπορευθέντα εἰς τὸν Ἄτλαντα, τὸ ὄρος, ἐξ οὗ καὶ τὸ πέλαγος ὠνομάσθαι, ἐλθεῖν· ὃ ἐξ Ἄτλαντος τοῦ Ποσειδῶνος καὶ Κλειτοῦς καλεῖται, οὗ διὰ τὸ ὕψος ἐπ' αὐτοῦ φέρεσθαί φασι τὸν οὐρανόν. καὶ γὰρ τοῦ αἰθέρος αὐτοῦ λέγει Μάρκελλος τὴν τοῦδε ψαύειν κορυφήν, καὶ σκιὰν ἐκπέμπειν ἄχρι πεντακισχιλίων σταδίων· ἀπὸ γὰρ θ' ὥρας ἡμερινῆς κρύπτεσθαι τὸν ἥλιον ὑπ' αὐτοῦ μέχρι τελείας καταδύσεως. καὶ ὁ Ἄθως ἐπὶ ἑπτακοσίους σταδίους ἕως Λήμνου σκιάζει. Πτολεμαῖος δὲ τὰ Σεληναῖα ὄρη τὸ ὕψος ἁπλετον ἔχειν φησί. καὶ Ἀριστοτέλης τοῦ Καυκάσου τὴν κορυφὴν τὸ τρίτον μετὰ ὑσμὰς καὶ τὸ τρίτον πρὸ ἀνατολῶν μέρος τῆς νυκτὸς ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων καταυγάζεσθαι. R.

E. Ἡρακλέους στήλας] Ἡρακλῆς ἦκε μὲν εἰς Ἐρύθειαν, ἣ νῆσός ἐστιν Ὠκεανοῦ κειμένη πλησίον, ἣ νῦν Γάδειρα καλεῖται, ἐπὶ δὲ τῷ τὰς βοῦς ἀγαγεῖν Γηρυόνου τοῦ Χρυσάορος καὶ Καλλιρρόης τῆς Ὠκεανοῦ, ὃς ἦν τρία σώματα ἔχων συμφυέντα εἰς ἓν ἀπὸ λαγόνος τε καὶ μηρῶν, εἶχε δὲ βοῦς φοινικᾶς, βούκολον Εὐρυτίωνα, κύνα φύλακα Ὄρθρον δικέφαλον, τὸν Ἐχίδνης καὶ Τυφῶνος. δι' Εὐρώπης οὖν πορευθεὶς Λιβύης ἐκέρα, καὶ

παρελθὼν Ταρτησσὸν ἵστησι μὲν σημεῖα τῆς πορείας ἐπὶ τῶν ὅρων Εὐρώπης καὶ Λιβύης ἀντιστοίχους δύο στήλας, ἐλαύνει δὲ πρὸς Εὐρυσθέα τὸν Τίρυνθος βασιλέα τὰς βοῦς, ᾗ προσετάγη ὑπ' αὐτοῦ. R.

E. ἡ δὲ νῆσος] ὅτι μὲν ἐγένετο τοιαύτη τις νῆσος καὶ τηλικαύτη, δηλοῦσί τινες τῶν ἱστορούντων τὰ περὶ τῆς ἔξω θαλάσσης. εἶναι γὰρ καὶ ἐν τοῖς αὐτῶν χρόνοις ἑπτὰ μὲν νήσους ἐν ἐκείνῳ τῷ πελάγει Περσεφόνης ἱερᾶς, τρεῖς δὲ ἄλλας ἀπλέτους, τὴν μὲν Πλούτωνος, τὴν δὲ Ἄμμωνος, μέσην δὲ τούτων ἄλλην Ποσειδῶνος χιλίων σταδίων τὸ μέγεθος, καὶ τοὺς οἰκοῦντας ἐν αὐτῇ μνήμην ἀπὸ τῶν προγόνων διασώζειν περὶ τῆς Ἀτλαντίδος, ὄντως γενομένης νήσου ἐκεῖ παμμεγεθεστάτης, ἣν ἐπὶ πολλὰς περιόδους δυναστεῦσαι πασῶν τῶν ἐν τῷ Ἀτλαντικῷ πελάγει νήσων, Ποσειδῶνος καὶ αὐτὴν οὖσαν ἱεράν. ταῦτα μὲν οὖν Μάρκελλος ἐν τοῖς Αἰθιοπικοῖς γέγραφεν, ἡμεῖς δὲ ἀπὸ τῶν Πρόκλου ἐξελόντες παρεθέμεθα. R.

25 A. βασιλέων] δέκα γὰρ βασιλεῖς ἦσαν ἐν αὐτῇ τεχθέντες δίδυμοι πεντάκις· καὶ τἆλλα δὴ τὰ ἐνταῦθα λεγόμενα ἐν τῷ Κριτίᾳ διαρρήδην ἱστόρηται. Ποσειδῶνος δὲ καὶ Κλειτοῦς οὗτοι, ὧν ὁ πρῶτος, ὡς ὁ Πρόκλος φησί, Ἄτλας ἐκαλεῖτο, ἐξ οὗ καὶ ἡ νῆσος ὠνόμασται. R.

B. Αἴγυπτος κέκληται ἀπὸ Αἰγύπτου τοῦ Βήλου καὶ Ἀγχιρόης τῆς Νείλου, τοῦ βασιλέως Αἰγυπτίων. τοῦτον ὁ πατὴρ ἐν Ἀραβίᾳ κατοικίζει· ὁ δὲ καταστρεψάμενος τὴν Μελαμπόδων χώραν ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. R.

B. Τυρρηνία δὲ ἀπὸ Τυρρηνοῦ τοῦ Ἄγρωνος τοῦ Ἄτυος τοῦ Λυδοῦ, καὶ δὴ καὶ τὸ Τυρρηνικὸν πέλαγος. οὗτος κατὰ χρησμὸν ἐκ Λυδίας ἀπάρας εἰς τούσδε ἀφίκετο τοὺς τόπους, ἐκ Σαρδοῦς τε τῆς αὐτοῦ γυναικός, ἀφ' ἧς καὶ κατὰ Λυδίαν Σάρδεις ἡ πόλις, καὶ ἡ ἀργυρόφλεψ νῆσος τὸ πρὶν Σαρδὼ νῦν ὀνομάζεται. R.

C. Πρόκλου. ὅτι ὅπου ἅμα σεισμῷ γίνεται κατακλυσμός, κῦμα τούτου τοῦ πάθους αἴτιον. ὅταν γὰρ τὸ τὸν σεισμὸν ποιοῦν πνεῦμα, μηδέπω ῥέον ὑπὸ γῆν, τὴν θάλατταν ὑπό τινος ἐναντίου πνεύματος αὐτῷ κινουμένην ἐξ ἐναντίας φερόμενον ἀπῶσαι μὲν εἰς τοὐπίσω μὴ δυνηθῇ διὰ τὸν προωθοῦντα ἄνεμον αὐτήν, ἱστᾷ δὲ καὶ ἐμποδίζον αὐτῆς τὴν πρόοδον αἴτιον γίγνηται

τοῦ πολλὴν ὠθουμένην ὑπὸ τοῦ ἐναντίου τούτῳ πνεύματος ἀθροισθῆναι, τότε δή, πολλῆς τῆς θαλάττης γενομένης διὰ τὸ ἀπ' ἐναντίας ὠθοῦν, αὐτὸ μὲν ὑπὸ γῆν ἔδυ, τῆς ῥοῆς ἀθρόας ἐπιχυθείσης, καὶ ἐποίησε τὸν σεισμόν, ἡ δὲ θάλασσα ἐπέκλυσε τὸν τόπον. τοῦτον γὰρ τὸν τρόπον καὶ περὶ Ἀχαίαν γενέσθαι τὸν σεισμὸν ἅμα καὶ τὴν τοῦ κύματος ἔφοδον τοῦ ἐπικλύσαντος τὰς παραθαλασσίους πόλεις, Βοῦραν καὶ Ἑλίκην. R.

D. κάρτα, λίαν, μεγάλως. R.

D. τοῦτο καὶ οἱ τοὺς ἐκείνῃ τόπους ἱστοροῦντες λέγουσιν, ὡς πάντα τεναγώδη τὸν ἐπεῖ εἶναι χῶρον. τέναγος δέ ἐστιν ἰλύς τις ἐπιπολάζοντος ὕδατος οὐ πολλοῦ καὶ βοτάνης ἐπιφαινομένης τούτῳ, ἢ πηλώδη πελάγη, ἢ διάβροχοι ἢ κάθυγροι τόποι. R.

40 C. ἰλλομένην φησὶν ὁ Σιμπλίκιος καὶ ὅσοι συνηγοροῦσι τῷ Πλάτωνι, τοῦ Ἀριστοτέλους εἱλουμένην ἀναγινώσκοντος κἀκ τούτου τὸν Πλάτωνα ταῖς εὐθύναις ὑπάγοντος τὴν γῆν εἱλεῖσθαι καὶ στρέφεσθαι φάσκοντα. T.

52 E. πλοκάνων] πλόχανόν ἐστι πλέγμα, ᾧ ὁ σῖτος καθαίρεται. R.

76 A. λέμμα φλοιός, λέπισμα. R.

81 B. δρυόχων] τὰ στηρίγματα τῆς πηγνυμένης νεὼς δρυόχους φασίν. R.

84 B. εὐρῶτος] σεσηπυίας ὑγρότητος. R.

B. σφακέλισαν] σφακελισμός ἐστι σῆψις μυελοῦ, καὶ σφάκελος ἡ μετὰ σπασμοῦ τῆς χολῆς πρόεσις. ὁ δὲ σπασμὸς οὗτος μετὰ φλεγμονῆς. ἰατροὶ δὲ τὴν μελανίαν ἢ τὴν σφοδρὰν ὀδύνην, ἔνιοι δὲ τὴν τῶν ὀστέων σῆψιν. λέγεται δὲ καὶ ὁ σφυγμὸς καὶ ὁ παλμός. ἀλλὰ καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος. R.

ΕΙΣ ΤΟΝ ΚΡΙΤΙΑΝ.

P. 108 D. μελλητέον] ὑπερθετέον ἐστίν. R.

109 C. σημείωσαι τὸ ἐκ πρύμνης, οἶμαι, τὸ ἔνδοθεν. R.

110 D. Ἰσθμὸς γῆ στενὴ καὶ ἀμφιθάλασσος, καθ' ἣν ἡ Ἀχαΐα τῇ Πελοποννήσῳ συνάπτεται. R.

D. *Κιθαιρὼν ὄρος Βοιωτίας, Πάρνης δὲ ὄρος μεταξὺ Ἀττικῆς καὶ Βοιωτίας, πλησίον Πανάκτου.* R.

E. *Ὠρωπὸς πόλις Βοιωτίας.* R.

E. *Ἀσωπὸς ποταμὸς Βοιωτίας.* R.

111 B. *φελλεὺς τόπος σκληρὸς ποσῶς καὶ πετρώδης, συνεργὴς δέ. οἱ δὲ τὸν ἐξ ἐκπολῆς πετρώδη.* R.

B. *σᾶ τὰ σῶα μονοσυλλάβως φασὶν Ἀττικοί, καὶ τὸν σῶον σῶν. καὶ ἡ σώα σᾶ παρ' αὐτοῖς.* R.

112 A. *Ἠριδανὸς καὶ Ἴλισσὸς καὶ ἀλλαχοῦ μέν, ἀλλ' οὗτοι ἐν τῇ Ἀττικῇ.* R.

A. *Πνὺξ τόπος Ἀθήνησιν, ἐν ᾧ ἐκκλησίαι ἐγίγνοντο πάλαι μὲν πᾶσαι, ὕστερον δὲ ἅπαξ, ὅταν τὸν στρατηγὸν χειροτονῶσιν. ἐκλήθη δὲ οὕτως ἤτοι ἀπὸ τοῦ πυκνοῦσθαι τὸν ὄχλον ἐκεῖ, ἢ ἀπὸ τοῦ πυκνὰ εἶναι τὰ περὶ αὐτὴν οἰκήματα.* R.

A. *Λυκαβητὸς ὄρος τῆς Ἀττικῆς. εἴρηται δὲ οὕτως διὰ τὸ λύκοις πληθύειν.* R.

B. *ξυσσίτια τὰ δεῖπνα ἃ ποινῇ ποιοῦνται Λακεδαιμόνιοι. καλεῖται δὲ καὶ φιλίτια, ἐπεὶ φιλίας συναγωγά ἐστιν.*

D. *εὐκρὰς εὔκρατος ἢ εὐκέφαλος, ὡς Εὐριπίδης Ἀντιόπῃ.*

115 B. *ἀκρόδρυα κοινῶς οἱ τῶν δένδρων καρποί.*

B. *μεταδόρπια] ἐπίδειπνα.*

D. *τὸ πλέθρον ἐστὶ ποδῶν ξς΄ δίμοιρον.*

D. *στάδιόν ἐστι μέρος τι μιλίου ἕβδομον τεσσαρεσκαιδέκατον· τὸ γὰρ μίλιόν ἐστι ζ΄ στάδια.*

116 C. *φιτῦσαι ἐπὶ τοῦ πατρός, ἐπὶ δὲ μητρὸς γεννῆσαι. καὶ φιτύων ὁ γεννῶν, καὶ τὸ γέννημα φῖτυ, ὡς Εὔπολις Αὐτολύκῳ· ἀτὰρ ἤγαγες καινὸν * τὸ * φῖτυ τῶν βοῶν.*

ΕΙΣ ΤΟΝ ΜΙΝΩΑ.

P. 315 B. *Καρχηδόνιοι] Καρχηδὼν ἐν Λιβύῃ πόλις διάσημος, ἧς οἱ πολῖται οὗτοι.* R.

C. *Ἀθάμας Αἰόλου τοῦ Ἕλληνος καὶ Ἰναρέτης τῆς Δημάχου, βασιλεύων Βοιωτίας, ἐκπίπτει διά τινας τύχας αὐτῆς·*

ὥπερ ὁ Πύθιος χρᾷ ἐκεῖσε κατοικεῖν, οὗ ὑπ' ἀγρίων ζώων ξενισθῇ. ἐλθόντος δὲ καθ' ἣν χώραν λύκοι πρέα προβάτων διενέμοντο, αὐτοὺς μὲν διὰ δέος φασὶ φυγεῖν, συνέντα δὲ τοῦτον οἰκῆσαί τε αὐτοῦ, καὶ τῇ Ἀθαμαντίᾳ καὶ τοῖς ἀπ' αὐτοῦ τῆς οἰκείας κλήσεως μεταδοῦναι. R.

C. ἐγχυτριστρίας] τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφερούσας, ὡς ἐπὶ τοῦδε. ἔλεγον δὲ καὶ τὸ βλάψαι καταχυτρίσαι, ὡς Ἀριστοφάνης. λέγονται δὲ καὶ ὅσαι τοὺς ἐναγεῖς καθαίρουσιν, αἷμα ἐπιχέουσαι τοῦ ἱερείου. ἔτι δὲ καὶ αἱ θρηνήτριαι, καὶ δὴ καὶ αἱ μαῖαι αἱ ἐκτιθεῖσαι ἐν χύτραις τὰ βρέφη. R.

316 A. ἀλλ' ἀεὶ] τὸ ἀλλὰ λαμβάνεται καὶ ἀντὶ τοῦ ἔστω, καὶ ἀντὶ τοῦ ὅταν δέ, καὶ ἀντὶ τοῦ ἔπειτα δέ. R.

318 B. Μαρσύας Ὑάγνιδος ὁ πρῶτος μετὰ Ἀθηνᾶν αὐλῶν εὑρετής, εἶτα Φρυγίου καὶ Μιξολυδίου ἁρμονίας. οὗτος ἐς τοσοῦτον προῆλθεν αὐλητικῆς, ὡς περὶ αὐτῆς ἐρίσαι Ἀπόλλωνι, τοῦ πλεονεκτήσαντος τὴν κρίσιν ποιουμένων Μουσῶν, καὶ δὴ νικηθεὶς ὑπ' αὐτοῦ δίδωσι δίκην τῆς ἥττης τὸ δέρμα δαρείς· οὗ δὴ ἀπὸ τοῦ σώματος ῥυέντος αἵματος ποταμὸς προῆλθεν ὁ τούτῳ ὁμώνυμος. Ὄλυμπον δέ τινες οὐ Φρύγα, Μυσὸν δέ φασι, καὶ τοῦτον γενέσθαι πρῶτον κρουμάτων εὑρετήν. R.

319 B. ἐννέωρος] ἐνναέτης· ὥρος γὰρ ὁ ἐνιαυτός· ἦγουν ἀπὸ ἐννέα ἐτῶν ἄρξας, ἢ ἐννέα ἔτη βασιλεύων. R.

E. συμπαίστην] συμπαίγμονα. R.

321 A. ἐντείνοντες] πληγὰς διδόντες. R.

A. τοὺς δασμούς] Αἰγέως τοῦ Πανδίονος βασιλεύοντος Ἀθηνῶν, κατὰ τὴν τῶν Παναθηναίων ἑορτὴν Ἀνδρόγεως ὁ Μίνω πάντας ἀγῶνας νικᾷ. τοῦτον Αἰγεὺς στέλλει μὲν ἐπὶ τὸν Μαραθώνιον ταῦρον, διαφθείρεται δὲ ὑπ' αὐτοῦ, ἢ ὥς τινες, πορευόμενος ἐπὶ Θήβας διὰ τὸν Λαΐου ἀγῶνα πρὸς τῶν ἀνταγωνιστῶν διὰ φθόνον ἀπόλλυται. ὃ μαθὼν Μίνως Ἀθήνας τε πολεμεῖ καὶ Μέγαρα εἷλε, μὴ οἷός τε δ' ὢν πορθῆσαι ταύτας, εὔχεται τῷ Διὶ παρ' Ἀθηναίων δίκην λαβεῖν· καὶ διὰ τοῦτο λιμὸς ἐνσκήπτει τούτοις καὶ λοιμός. χρωμένων δὲ περὶ τῆς τούτων ἀπαλλαγῆς ἀνεῖπεν ὁ Ἀπόλλων δίκας Μίνῳ δοῦναι ἃς ἂν αὐτὸς αἱρῆται. Μίνως δὲ κελεύει δεκέτεις κόρους ἑπτὰ καὶ κόρας ἴσας ἀόπλους πέμπειν κατ' ἔτος τῷ Μινωταύρῳ βορὰν κατὰ τὸν λαβύρινθον, ὃς ὑπὸ Δαιδάλου κατεσκεύαστο χῶρός τις σκολιός.

Θησεὺς δὲ μετὰ καὶ τῶν λοιπῶν κατὰ τὸ τρίτον ἔτος εἰς τὸν δασμὸν καταλεγεὶς τόν τε Μινώταυρον ἀναιρεῖ, καὶ παύει τὴν εἰς Κρήτην πομπὴν τοῦ δασμοῦ. περὶ τούτου οὖν ἐνταῦθά φησιν. R.

D. φλαῦρον] κακόν, ὡς νῦν, ἢ φαῦλον, ἢ κοῦφον κακόν. τινὲς δὲ φλαῦρον μὲν τὸ μικρὸν κακόν, φαῦλον δὲ τὸ μέγα. R.

ΕΙΣ ΤΟΥΣ ΝΟΜΟΥΣ.

Α.

Ὁ Ἀθηναῖος οὗτος ξένος πεποίηται ἐνταῦθα εἰς τὴν Κρήτην ἀπιών, ἔστι δὲ Πλάτων, ὡς ἐκ τοῦδε φανερόν. αὐτὸς γὰρ ὁ Ἀθηναῖος ξένος ἐν τῷ Νόμων λέγει ὅτι ἤδη αὐτῷ δύο πολιτεῖαι προηνύσθησαν· ἢ οὖν οὐδ' ἐκεῖναι Πλάτωνος, ἢ εἰ μὴ τοῦτο, ὁ αὐτὸς ἂν εἴη τῷ Ἀθηναίῳ ξένῳ. οὗτος οὖν εἰς Κρήτην ἀφικόμενος, καὶ περιτυγχάνων ἔξω πρὸ τῆς Κνωσσοῦ Κλεινίᾳ τε τῷ Κρητὶ καὶ Μεγίλλῳ τῷ Λακεδαιμονίῳ, ἐπιτετραμμένοις μὲν ὑπὸ τῶν τὴν Κνωσσὸν οἰκούντων ἀποικίαν ποιήσασθαι ἐκεῖθεν καὶ καταστήσασθαι πόλιν νόμους τε προσήκοντας τοῖς πολίταις διαθεῖναι, προσεχῶς δ' ὡρμημένοις ἐπὶ τὸ τοῦ Διὸς ἄντρον, ἱερὸν τοῦτο γενόμενον ἁγιώτατον, ἐν ᾧ τὰ σεπτότατα καὶ ἀρρητότατα τῶν μυστηρίων ἐπετελεῖτο — περιτυχὼν δ' οὖν αὐτοῖς ὁ ξένος, καὶ ταῦτα παρ' αὐτῶν πυθόμενος, ἤρετο ἐπὶ τούτοις τίνες ἂν εἶεν οἱ νόμοι; τῶν δὲ μὴ δυνηθέντων τελείαν ἀποδοῦναι τὴν τῶν νόμων διάθεσιν, ὁρώντων δὲ τὸν ξένον εὖ παρεσκευασμένον περὶ νόμων θέσιν, καὶ παρακαλούντων συλλήπτορα αὐτὸν γενέσθαι τῆς πολιτείας, ἄρχεται ὁ Ἀθηναῖος ξένος τῆς τῶν νόμων διαθέσεως· ἐν οἷς δὴ οὐκέτι, ὥσπερ ἐν τοῖς τῆς μεγάλης Πολιτείας, κοινὰ πάντα προστάττει, ἀλλ' ἑκάστῳ ἀγρὸν ἀπονέμει καὶ πρὸς τούτῳ οἰκίαν, ἔτι μέντοι καὶ γυναῖκα ἰδίαν καὶ παῖδας οὐκέτι κοινούς, πλὴν ὅτι οὐδὲ ταῦτα ἀόριστα ἀφῆκεν, ἀλλὰ τοὺς κλήρους εἰς ὡρισμένον ἀριθμὸν παρέλαβε. τεσσαράκοντα γὰρ καὶ πέντε τοὺς πάντας κλήρους διανέμειν παρακελεύεται· τὴν δ' αἰτίαν τοῦ τοσούτου ἀριθμοῦ γνωσόμεθα, ὅταν αὐτὸς ἐπιμνησθῇ. ὁρίζει δὲ καὶ τὰ τιμήματα, ὥσπερ ὁ Σόλων Ἀθηναίοις, εἰ

καὶ τρόπον ἄλλον. πεντακοσιομέδιμνοι γὰρ παρ' ἐκείνῳ καὶ ἱππεῖς καὶ ζευγῖται καὶ οἱ θῆτες· καὶ παρὰ τούτῳ δὲ τέτταρα ταῦτα ὁρισθήσεται, οὐκέτι δὲ τοῖς αὐτοῖς προσαγορευόμενα ὀνόμασιν οὐδὲ τῆς αὐτῆς ὄντα ποσότητος, πλὴν ὡρισμένα, ὥστε μὴ ἐξεῖναι, εἰ τύχοι, τῷ πρώτῳ πλεῖον τετρακοσίων ἔχειν περιουσίαν, μήτε μὴν τῷ ἐσχάτῳ τῶν ἑκατὸν ἐλάττονα. τοιαύτη τίς ἐστιν ἡ ὑπόθεσις. R.

P. 624 B. διαφέρει λόγος φήμης. ὁ μὲν γὰρ δῆλος γίνεται καὶ ὑφ' οὗ φέρεται, ἡ δὲ ἄγνωστον ἔχει τὴν ἀρχήν. R.

B. τὸν ἀδελφὸν] ἐγένετο καὶ τούτων τρίτος ἀδελφός, Τάλως, ὃς δὴ ἔνοπλος τὴν Κρήτην περιέναι φρουρῶν ἐλέγετο. R.

625 A. κλέος] καὶ οἱ Στωϊκοὶ πλατωνίζοντες κλέος φασὶ τὸ ἐπὶ τῶν σπουδαίων γενόμενον δίκαιον, δόξαν δὲ τὴν ἐπὶ τῶν ἀσπούδων δόκησιν. R.

A. πολιτείας τῆς μιᾶς ζωῆς τῆς ὅλης πόλεως, νόμων δὲ τῶν διανεμόντων τὰ μέρη ἐξ ὧν ἡ πόλις. R.

B. τοῦ Διὸς ἄντρου] οὗ τὰ μέγιστα τῶν τοῦ Διὸς μυστηρίων καὶ τῶν Κουρήτων ἐνιεράσθαι ἐλέγετο. R.

C. ὅπλων ἕξιν] σχέσιν ἢ περιβολήν, ἢ ἁπλῶς ὅπλισιν, παρὰ τὸ ἔχειν. R.

D. ἀπολογεῖται διὰ τὴν τῶν τόξων χρῆσιν· καὶ γὰρ ὄνειδος ἦν, ὡς τὸ τοξότα λωβητήρ· οὐ γὰρ ἀγχέμαχοι, ἀλλὰ πόρρωθεν βάλλουσιν οἱ τοξόται. αἰτιᾶται οὖν τὸν τόπον. R.

D. τόξα ὁ βιός, τοξεύματα τὰ βέλη. R.

D. πρὸς πόλεμον ἡμῖν ἅπαντα ἐξήρτυται] ὥστε πρὸς νίκην ἑώρα ὁ τοῦτο θέμενος. τιμοκρατικὸν δὲ καὶ θυμικὸν τὸ πόλεμον τέλος εἶναι τῶν νόμων. R.

E. ἄνοιαν] ὅτι δὴ λανθάνει αὐτοὺς ὡς ἀνάγκη καὶ τὰς πόλεις καὶ πάντας ἀνθρώπους πολεμεῖν διὰ βίου, ὁ Μίνως ἀνοήτους ἐκείνους ἐνόμιζεν, ὅσοι μὴ τὸν πόλεμον τέλος ποιοῦνται. τοῦτο δ' οὐκ ὀρθῶς ὁ Κρὴς ἔφη· καὶ γὰρ ἡ ἀριστοκρατία τὴν εἰρήνην τέλος ποιουμένη, τὸν πόλεμον ὡς ἀναγκαῖον δι' αὐτὴν ἀναιρεῖται. R.

E. ἄρχοντας] ἐφίσταντο γὰρ ἄρχοντες τοῖς συσσιτίοις, ἵνα μὴ ἀμέτρως διαιτώμενοι περὶ τὸν πόλεμον ἀργότεροι γίγνωνται. R.

626 A. ἀκήρυκτον] μὴ ἁπλῶς ἔκ τινος περιστάσεως γιγνό-

τὸ ἀληθὲς περὶ τὴν κρίσιν ἐφύλαξε καὶ τὸν Θέογνιν καὶ ξένον ὄντα προέκρινε. τί δὲ ἐκώλυεν αὐτὸν ἐκ ταύτης μὲν εἶναι τῆς Μεγαρίδος, ἀπελθόντα δὲ εἰς Σικελίαν, ὡς ἡ ἱστορία ἔχει, γενέσθαι νόμῳ Μεγαρέα ἐκεῖ, ὡς καὶ τὸν Τυρταῖον Λακεδαιμόνιον; R.

D. τετάρτη] πρώτη γὰρ ἡ φρόνησις, ἡ δικαιοσύνη· ἡ δὲ ἀνδρεία, ὡς περὶ τὸν θυμὸν μόνον ἔχουσα, τετάρτη. τῶν γὰρ ἄλλων ἑκατέρα περὶ τὴν τριμέρειαν ἔχει· καὶ γὰρ ἡ σωφροσύνη ἐπὶ τὸν λόγον διὰ τοῦ θυμοῦ τὴν ἐπικράτειαν τοῦ ἐπιθυμητικοῦ ἀναπέμπει. R.

D. χρῆν] ἀντὶ τοῦ ἔδει, χωρὶς τοῦ ε. R.

D. θείας] δηλονότι πολιτείας. παρὰ θεῶν γάρ φατε ἐκείνους εἰληφέναι τοὺς νόμους, καὶ διὰ τοῦτο θείους καὶ τὴν πολιτείαν θείαν. ἀξίους οὖν ἀποδότω καὶ τοὺς νόμους τῆς θείας πολιτείας. R.

E. ζητοῦσιν] τὰ μερικὰ καὶ περὶ τὰ συναλλάγματα κλήρων καὶ ἐπικλήρων, οὐ περὶ τούτων, ἀλλὰ τὰ περὶ τῆς ἀρετῆς, ὡς αὐτός. ἐν γὰρ τοῖς ἱ βιβλίοις τὰ κατὰ τὴν ἀρετὴν πραγματευσάμενος, ἐπὶ τέλει ἐν τοῖς β βιβλίοις καὶ ἐκεῖνα ἠξίωσε μνήμης. R.

E. κλῆρός ἐστι κτημάτων οὐσία τις ἢ λαχμὸς ἢ μέτρον τι γῆς, ὅθεν καὶ κληροῦχοι οἱ ταῦτα κατέχοντες [ἢ τὸ τῶν ἱερῶν ἀνδρῶν σύστημα]· ἐπίκληρος δέ ἐστιν ἡ ἐπὶ κλήρῳ παντὶ καταλελειμμένη παῖς, ὀρφανὴ πατρὸς καὶ μητρός, ἀδελφῶν τε οὖσα ἔρημος. τινὲς δὲ ταύτην ἐπιπαματίδα καὶ πατροῦχον καλοῦσιν. R.

631 A. τὸ σμικρότατον] ὅπερ ἀνωτέρω φαυλότατον μόριον τὴν ἀνδρείαν φησί, τοῦτο σμικρότατον λέγει νῦν. R.

B. εὐδόκιμοι] ὡς κατὰ τὸ φιλότιμον καὶ θυμικὸν χαρακτηριζόμενοι τῆς ψυχῆς εἶδος, τῶν ἄλλων περὶ χρήματα καὶ ἡδονὰς ἐννόμους ἢ παρανόμους ὁρώντων· ἃ δὴ τῆς ἐπιθυμίας πάντα ἐστίν. R.

C. ὁ Θεόφραστός φησιν· εἰ ζωὴν εἶχεν ὁ πλοῦτος, πρὸς μόνους ἂν ἀπῆλθε τοὺς ἀγαθούς. ἕκαστον γὰρ τοῦ οἰκείου ἐφίεται ἀγαθοῦ· τοῦτο δὲ τῷ πλούτῳ ἐστὶν ἀγαθόν, τὸ τοῖς ἀγαθοῖς ὄργανον γίγνεσθαι. τὸ γὰρ ἑκάστῳ ἀγαθόν, τοῦτο καὶ ἐφετὸν ὑπάρχει. τοῦτο δ' αὐτῷ καὶ κατὰ φύσιν. πάντα δὲ τῆς κατὰ

φύσιν ὀρέγεται διαθέσεως. νῦν δὲ ἐπειδὴ οὐκ ἔχει ὁ πλοῦτος ζωήν, ἐμπίπτει καὶ εἰς τοὺς κακούς. R.

C. ὡς μεταβατικὸν καὶ μερικὸν νοῦν τὴν φρόνησιν οὕτω καλεῖ οὐχ ἁπλῶς. R.

D. ταῦτα δὲ πάντα] τὰ θεῖα ἀγαθὰ τῶν ἀνθρωπίνων. R.

D. τὰς ἄλλας προστάξεις] νομοθεσίας τὰς περὶ τῶν κλήρων καὶ ἐπικλήρων καὶ τῶν λοιπῶν. R.

E. τιμῶντα] οἱ μὲν ἄλλοι νομοθέται διὰ πολάσεως καὶ ζημίας, οὗτος δὲ διὰ τιμῆς τινὸς πειθὼ τοῖς πολίταις ἐμποιεῖ πρὸς αὐτόν. R.

633 A. τὰ ξυσσίτια] οἱ συσσιτοῦντες δέκα ἦσαν, ἡ δὲ κρίσις τῶν συνταττομένων αὐτοῖς τοιαύτη τις ἦν. μαγδαλίαν γάρ, ἥ ἐστι μᾶζα στέατος, ἕκαστος ἔφερε, καί τις παρεστήκει αὐτοῖς φέρων ἐπὶ κεφαλῆς ἄγγος, εἰς ὃ οἱ κρίνοντες τας μάζας ἐνέβαλλον, οἱ μὲν ἄξιον κρίνοντες τὸν προσιόντα ἀτύπωτον παντελῶς, ὅσοι δὲ μή, τῷ δακτύλῳ κοιλάναντες οὕτως ἐνέβαλλον τὴν μᾶζαν. μεθ' ὃ εἰ καὶ μίαν κοιλότητα εὗρον ἔχουσαν, ἐξέβαλλον τὸν κρινόμενον τοῦ συσσιτίου· οὐ γὰρ ὡς ἐπὶ τῶν παρ' Ἀθηναίοις ψήφων, ἡ τῶν πλειόνων ἐκράτει. τὸν δ' ἐγκριθέντα ὁ πρεσβύτατος τῶν συσσίτων ἦγεν εἰς τὸν οἶκον, οὗ τα συσσίτια, καὶ παρὰ τὴν θύραν ἔνδον ἱστὰς ἔλεγεν· ἀπὸ τῆς θύρας ταύτης λόγος οὐκ ἐξέρχεται, παραγγέλλων ἵν' ἐν ἀπορρήτῳ ἔχοι πάντα τὰ αὐτῶν. ἐκόμιζε δὲ ἕκαστος οἴκοθεν τὰ πρὸς τὸν μῆνα ἀρκέσοντα ἄλφιτα καὶ τυροὺς καὶ φοίνικας καὶ οἶνον. οσοι δὲ τούτων ἐν θήρᾳ ἢ θύοντες ἐτύγχανον, μέρη ἐκ τούτων ἔπεμπον τοῖς ἐν τῷ συσσιτίῳ. ἦσαν δὲ χοροὶ τρεῖς παρὰ Λάκωσι, νέων, ἀνδρῶν, πρεσβυτῶν, καὶ ᾖδον οἱ μὲν γέροντες·

ἡμεῖς ποτ' ἦμεν ἄλκιμοι νεανίαι,

οἱ δὲ νεανίσκοι·

ἡμεῖς δέ γ' ἐσμέν· ἢν δὲ λῇς, πεῖραν λάβε,

ὁ τῶν παίδων δὲ·

ἡμεῖς δέ γ' ἐσσόμεσθα πολλῷ κρείσσονες. R.

A. ἢ τέταρτον] τὰς διαμαστιγώσεις, τὰς γυμνοπαιδίας, τὰ κρύπτεια· ταῦτα γὰρ πρὸς ἀνδρείαν τείνει. R.

A. χρείη] δέοι, ἢ ἀντὶ τοῦ χρεὼν εἴη. R.

A. εἴτε μερῶν] ἡ ἀρετὴ δύναται καὶ ὡς ὅλον εἰς μέρη τὰς ὑπ' αὐτὴν ἀρετὰς διαιρεῖσθαί τε καὶ ἐν αὐταῖς ὑπάρχειν, καὶ

ὡς πρός τι πως ἐχούσας τὰς κατὰ μέρος, ὡς γένος ἢ καθόλου ὑπάρχειν αὐτῶν. ὡς ὅλον μὲν εἰς μέρη, οὐ τὸ πρὸ τῶν μερῶν (τοῦτο γὰρ ἀδιαίρετον) ἀλλ' ὡς τὰ ἐν τοῖς μέρεσιν· ἐκ γὰρ τῶν κατὰ μέρος ἡ ὁλικὴ ἀρετή. ἀλλὰ καὶ ἑκάστη τῶν ἀρετῶν ὅλον τί ἐστιν, ἀλλ' ὡς τὸ ἐν τῷ μέρει ὅλον. οὐ κωλύεται μὴν καὶ ὡς γένος εἰς εἴδη διαιρεῖσθαι ἀντιδιαιρούμενα μέν, οὐκ ἐναντία δέ, ὅτε καὶ ὡς πρός τι συνεισάγειν ἄλληλα ἐνδέχεται. καὶ γὰρ τὰ ὑπὸ τὴν ἀρετὴν εἴδη, τὸ μὲν ἄρχον, ὡς αἱ τοῦ λογικοῦ μέρους ἀρεταὶ τῆς ψυχῆς, τὰ δ' ἀρχόμενα, ὡς αἱ τοῦ ἀλόγου. ταῦτα δὲ τῶν πρός τι. R.

A. δηλοῦντα μόνον] οἱ γὰρ Λάκωνες πολυνοίᾳ μέν, οὐ πολυλογίᾳ δέ, ὡς Ἀθηναῖοι, ἐχρῶντο. R.

B. τὸ περὶ τὰς καρτερήσεις] τὰς διαμαστιγώσεις φησίν. ἐγένοντο δ' αὗται πρὸς τῷ βωμῷ τῆς Ὀρθωσίας Ἀρτέμιδος, τῆς τὴν πολιτείαν ἀνορθούσης. παρειστήκει γὰρ ἡ ταύτης ἱέρεια φέρουσά τι ἐπὶ τῆς χειρὸς κεκρυμμένον, ὃ μέχρι τοῦ νῦν ἄγνωστόν ἐστι, καὶ εἰ μὲν ἧττον τοῦ δέοντος ἐμαστιγοῦτο (κινεῖν γὰρ τὰς χεῖρας οὐκ ἐτόλμα, ἔχων ταύτας ἐπὶ τῆς κεφαλῆς ὁ μαστιζόμενος), ἐβαρεῖτο ἐκείνη ὑπὸ τοῦ φερομένου, δεόντως δὲ τὴν δίκην εἰ ὑπεῖχε, κούφως ἡ ἱέρεια διετίθετο. R.

B. ταῖς χερσὶ μάχαις] τὰς γυμνοπαιδίας λέγει. γυμνάζοντες γὰρ τοὺς παῖδας ἐν ἡλίῳ τύπτειν ἀλλήλους ἐποίουν μέχρι νίκης. ἐνίοτε δὲ καὶ σφαῖραν ἢ ἄλλο τι ἐρρίπτουν, ὥστε τὸν πρῶτον ἁρπάσαντα νικᾶν. καὶ πολὺς αὐτοῖς οὗτος ὁ ἀγών. R.

B. κρυπτεία τις] ἠφιετό τις ἀπὸ τῆς πόλεως νέος ἐφ' ᾧτε μὴ ὀφθῆναι ἐπὶ τοσόνδε χρόνον. ἠναγκάζετο οὖν τὰ ὄρη περιερχόμενος καὶ μήτε καθεύδων ἀδεῶς, ἵνα μὴ ληφθῇ, μήτε ὑπηρέταις χρώμενος μήτε σιτία ἐπιφερόμενος διαζῇν. ἄλλο δὲ καὶ τοῦτο γυμνασίας εἶδος πρὸς πόλεμον· ἀπολύοντες γὰρ ἕκαστον γυμνὸν προσέταττον ἐνιαυτὸν ὅλον ἔξω ἐν τοῖς ὄρεσι πλανᾶσθαι, καὶ τρέφειν ἑαυτὸν διὰ κλοπῆς καὶ τῶν τοιούτων, οὕτω δὲ ὥστε μηδενὶ κατάδηλον γενέσθαι. διὸ καὶ κρυπτεία ὠνόμασται· ἐκολάζοντο γὰρ οἱ ὁπουδήποτε ὀφθέντες. R.

B.

P. 672 C. ἀκταίνειν, γαυριᾶν, ἀτάκτως πηδᾶν, ἢ μετεω-

ρίζειν, ἢ ὁρμᾶν, ἢ ἐξάττειν, ἀπὸ τοῦ ἐξαΐειν καὶ ἰσχύειν. ἀπὸ τούτου οὖν τὸ ἀκταινώσῃ. R.

673 D. κολοφὼν σημαίνει τὸ κῦρος τῆς ἐπικρίσεως. R.

Γ.

P. 678 C. πορεῖά ἐστι τὰ εἰς πορείαν χρήσιμα. R.

681 A. αἱμασιώδεις] αἱμασιαὶ τοῖχοι κυρίως ἠκανθωμένοι. R.

692 A. ψάλιον] χαλινόν. R.

Δ.

P. 715 E. Θεὸν μὲν τὸν δημιουργὸν σαφῶς, παλαιὸν δὲ λόγον λέγει τὸν Ὀρφικόν, ὅς ἐστιν οὗτος·

Ζεὺς ἀρχή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται.
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.

καὶ ἀρχὴ μὲν οὗτος ὡς ποιητικὸν αἴτιον, τελευτὴ δὲ ὡς τελικόν, μέσσα δὲ ὡς ἐξ ἴσου πᾶσι παρών, κἂν πάντα διαφόρως αὐτοῦ μετέχῃ. εὐθεῖα δὲ τὸ κατὰ δίκην σημαίνει καὶ ἀξίαν, καὶ ἀπαρεγκλίτως, καὶ οἱονεὶ κανόνι ἑνί, τὸ δὲ περιπορευόμενος τὸ αἰωνίως. τὸ ἀεὶ ὡσαύτως καὶ κατὰ τὰ αὐτά· ἡ γὰρ περιφορὰ τοῦτο ἔχει ὡς ἐν αἰσθητοῖς. R.

718 D. τὰ τοίνυν δὴ λεχθέντα] τὰ περὶ θυσιῶν καὶ γονέων. R.

E. ἀνιδιτὶ] ἀνιδρωτί, ὡς ἐν τῷ Διογενιανῷ. R.

723 E. δευτέρων ἀμεινόνων] παροιμία λεγομένη μὲν ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, τῶν προτέρων ἀπαισίων ὀφθέντων δηλαδή· μετῆκται δὲ ἐκ τούτων καὶ ἐπὶ τῶν λεγομένων δεύτερον τῶν αὐτῶν, ὁπόταν μὴ κατὰ γνώμην ἡμετέραν προβῇ τὰ πρότερα. R.

Ε.

P. 731 E. τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν] παροιμία ἐπὶ τῶν διὰ φιλίαν μηδένα λόγον ποιουμένων τἀληθοῦς. R.

739 A. καθάπερ πεττῶν ἀφ' ἱεροῦ] παρὰ παροιμίας φησὶ τῆς κινήσω τὸν ἀφ' ἱερᾶς, ἢ τέτακται ἐπὶ τῶν τὴν ἐσχάτην βοήθειαν κινούντων. μετείληπται δὲ ἀπὸ τῶν πεττευόντων· παρὰ

D. κακοτεχνιῶν δίκης ὄνομά ἐστιν, ἣν εἰσήεσαν οἱ λέγοντες μάρτυρας ψευδομαρτυρεῖν, κατὰ τῶν παρασχομένων τοὺς ψευδομάρτυρας. R.

937 B. ἐπίσκηψίς ἐστι δίκη κατὰ τῶν ψευδομάρτυρησάντων. R.

D. ἀνάδικος κρίσις· εἰ ἑάλωσαν ἤτοι πάντες οἱ μάρτυρες ψευδομαρτυριῶν ἢ ὑπερημίσεις, ἐκρίνετο ἄνωθεν ἡ δίκη. οὐκ ἐπὶ πάντων δὲ τῶν ἀγώνων ἐγίγνοντο ἀνάδικοι αἱ κρίσεις, ἀλλ' ὥς φησι Θεόφραστος ἐν ζ' νόμων, ἐπὶ μόνης ξενίας καὶ ψευδομαρτυριῶν καὶ κλήρων. R.

IB.

P. 942 A. ἐπ' αὐτοφώρῳ] ἐπ' ὀφθαλμοῖς, ἐπ' αὐτῷ τῷ κλέμματι ἁλούς. R.

E. πίλων] τῶν ἐκ συμπεπιλημένων ἐρίων γινομένων ἐνδυμάτων. R.

943 A. ἀστρατείας δίκη ἐστὶ γραφὴ κατὰ τοῦ κατειλεγμένου μὲν ἐν στρατιωτικῇ τάξει, μὴ στρατευσαμένου δέ. R.

D. λειποταξίου δίκη ἐστὶ γραφὴ κατὰ τοῦ στρατευσαμένου μέν, λιπόντος δὲ τὸ στρατόπεδον καὶ τὴν τάξιν αὐτοῦ. R.

944 C. διαφέρει δὲ ὅλον που καὶ τὸ πᾶν] παροιμία ἐπὶ τῶν πάντη διαφερόντων λεγομένη, παρ' ὅσον τὸ μὲν ὅλον τοῦ συνεχοῦς ἐστὶ ποσοῦ, τὸ δὲ πᾶν τοῦ διωρισμένου, ταῦτα δὲ εἴδη τοῦ ποσοῦ ἀλλήλοις ἀντιδιαιρούμενα. R.

D. Καινεὺς ὁ Θετταλὸς Ἄτρακος μὲν ἦν θυγάτηρ τὸ πρίν, Καινὶς ὀνομαζομένη, εἰς ἄνδρα δὲ μετέβαλε Ποσειδῶνος βουλήσει, ἔτι δὲ καὶ τὸ ἀδάμαστος εἶναι καὶ ἄτρωτος. διὸ ἐν τῇ τῶν Κενταύρων καὶ Λαπιθῶν μάχῃ αὐτορρίζοις δένδρεσι συνεχώσθη ὑπὸ τῶν Κενταύρων. ὑπό δέ τινων ἀπωρνεῶσθαι λέγεται. τὴν μεταβολὴν δέ φασι τοῦτον λαβεῖν χάριν τοῦ Ποσειδῶνος ἐρώμενον γενέσθαι. R.

945 B. εὔθυνοί εἰσιν ἄρχοντές τινες οἱ τὰς εὐθύνας λαμβάνοντες παρὰ τῶν ἀρχόντων, ὥσπερ καὶ οἱ λογισταὶ καὶ πάρεδροι ἑφ' ἑκάστῃ ἀρχῇ· καὶ γὰρ τῷ ἄρχοντι εὔθυνος ἦν καὶ πάρεδρος, καὶ τῷ βασιλεῖ ὁμοίως καὶ τῷ πολεμάρχῳ καὶ τοῖς θεσμοθέταις. ἐκπράσσει δὲ ὁ εὔθυνος ὅσα ἐπὶ τῆς ἀρχῆς, ἧ προστέτακται, ὠφελόν τινες εἰς τὸ δημόσιον. R.

B. κόρη καὶ δέσποινα] ἡ Ἀθηνᾶ. R.

799 E. ὠνόμασαν] νόμους κιθαρῳδικοὺς λέγοντες δηλονότι. R.

800 C. ὅτταν] φήμην, μαντείαν διὰ κληδόνος, καὶ ὀττεύεσθαι τὸ μαντεύεσθαι. R.

D. ἀποφράδες ἡμέραι, ἐν αἷς τοῖς κατοιχομένοις χοὰς ἐπιφέρουσιν, ἢ αἱ πρὸς πράξεις ἀνεπιτήδειοι. R.

E. Καρικῇ Μούσῃ] τῇ θρηνώδει· δοκοῦσι γὰρ οἱ Κᾶρες θρηνῳδοί τινες εἶναι καὶ ἀλλοτρίους νεκροὺς ἐπὶ μισθῷ θρηνεῖν. τινὲς δὲ ἐξήκουσαν τῇ βαρβάρῳ καὶ ἀσαφεῖ, ἐπειδὴ οἱ Κᾶρες βαρβαρόφωνοι. R.

805 E. ταλασίας] ἐργασίας, ἢ ἐριουργίας. R.

810 B. τητώμενα] στερισκόμενα. R.

D. ἐχθοδοποῦ] κακοποιοῦ, ἀπεχθοῦς, ἢ ἐχθροποιοῦ. R.

811 E. καταλογάδην] τὰ πεζῷ γραφόμενα λόγῳ. R.

813 D. πελταστικῆς] πέλτη ἐστὶν εἶδος ἀσπίδος, ὥς φησιν Ἀριστοτέλης, ἥτις ἴτυν οὐκ ἔχει, οὐδ' ἔστιν ἐπίχαλκος, οὐδὲ βοὸς ἀλλ' αἰγὸς δέρματι περιτεταμένη, καὶ ἡ ταύτῃ χρωμένη τέχνη πελταστική, καὶ πελτασταὶ οἱ μετιόντες αὐτήν. R.

814 A. ἀπώμοτον] ἀπηγορευμένον, φευκτόν. R.

818 B. παροιμία, οὐδὲ θεὸς ἀνάγκῃ μάχεται, τῇ ἑαυτοῦ καὶ θείᾳ δηλαδή. R.

819 D. ὑηνῶν] χοιρείων, ἢ σκαιῶν καὶ ἀμαθῶν. R.

820 C. πεττεία ἐστὶ παιδιά τις διὰ πεσσῶν γινομένη. πεσσοὶ δέ εἰσι κύβοι, παρὰ τὸ πίπτειν αὐτοὺς οὕτω λεγόμενοι. πεσσὸς δὲ ἥ τε γραμμὴ καὶ ἡ ψῆφος, ὁμωνύμως· Ἀρίσταρχος δὲ πεσσοὺς καλεῖ τας ψήφους, ἐν αἷς ἔπαιζον. ἦσαν δὲ αὗται πέντε. φαίνονται δὲ καὶ αὐτὸ τὸ σκεῦος οὕτω λέγοντες, ἐφ' οὗ ἔπαιζον. ἔχει δὲ πέντε γραμμάς, ὧν ἡ μέση γραμμὴ ἱερὰ ἐκαλεῖτο. καὶ τὴν ἐπ' αὐτῆς ψῆφον ἐσχάτην ἐκίνουν, καὶ αὐτὴν ἱερὰν καλοῦντες. ὅθεν ἐκ τοῦδε καὶ παροιμία, κινήσω τὸν ἀφ' ἱερᾶς, ἐπὶ τῶν ἐσχάτην βοήθειαν κινούντων λεγομένη. R.

822 C. οὐ μὴν] ἀλλὰ μήν, ὡς ἐπὶ τοῦδε, ἢ οὐδαμῶς, ἢ οὐ μόνον, ἢ ἔτι μήν, ἢ ὅμως δέ. R.

H.

P. 828 D. μηνὶ τῷ δωδεκάτῳ] ὁ Σκιροφοριὼν οὗτος. ἀνα-

μάσθη δὲ οὕτως ἀπὸ τῆς Σκιράδος Ἀθηνᾶς. καὶ Σκίρα ἑορτὴ Ἀθήνησιν. R.

834 C. ἀβόλοις] ἄβολος νέος, οὐδέπω γνώμονα ἔχων. γνώμονα δ' ἔλεγον τὸν βαλλόμενον ὀδόντα, δι' οὗ τὰς ἡλικίας ἐξήταζον. τὸν δὲ αὐτὸν καὶ κατηρτυκότα ἔλεγον. ἐκ μεταφορᾶς δὲ τῆς ἀπὸ τῶν τετραπόδων καὶ λειπογνώμονας τοὺς ἀπογεγηρακότας, ἐν οἷς ἐλελοίπει τὸ γνώρισμα. R.

839 C. Θυέστης Πελοπίᾳ τῇ Θυγατρί, ἐξ ὧν Αἴγισθος, Οἰδίπους Ἰοκάστῃ τῇ μητρί, ἐξ ὧν Ἐτεοκλῆς καὶ Πολυνείκης, Μακαρεὺς Κανάκῃ τῇ ἀδελφῇ, καὶ οἱ λοιποὶ δὲ Αἰόλου παῖδες ταῖς ἀδελφαῖς. R.

E. σταδιοδρόμοι γάμων ἁπάντων ἀπείρατοι, α' Ἴκκος Ταραντῖνος, β' Κρίσων Ἰμεραῖος, γ' Ἄστυλλος Κροτωνιάτης, δ' Διόπομπος Θεσσαλός. R.

843 B. ἀνάδαστον] ἀναμεμερισμένην. R.

849 B. τῇ νέᾳ] ἕνη καὶ νέα· ἡ τριακοστὴ τοῦ μηνὸς ἡμέρα παρ' Ἀθηναίοις οὕτως ἐκαλεῖτο. ἐκλήθη δὲ ἕνη καὶ νέα, ὅτι τὸ μέν τι μέρος ἔχει τοῦ παρωχημένου μηνός, ὅπερ ἕνη ἐστί· καὶ γὰρ ἕνον τὸ παλαιόν φασι, νέον δὲ τὸ νῦν ἐπιλαβὸν τοῦ εἰσεληλυθότος, ὃ διὰ τοῦ νέα δηλοῦσι. κατὰ γὰρ σελήνην ἦγον τοὺς μῆνας. ὁ δὲ τῆς σελήνης μήν ἐστιν εἰκοσιεννέα τέταρτον ἡμερῶν. R.

C. πιλήσεως] τῆς διὰ τῆς τῶν ἐρίων πυκνώσεως γινομένης ἐσθῆτος. R.

D. μεταβαλλόμενος] μεταπιπράσκων. R.

E. τεκμηράμενοι] σημειωσάμενοι. R.

850 A. μέτοικοί εἰσιν οἱ ἐνοικοῦντες ξένοι ἐν τῇ πόλει, καὶ τελοῦντες ἀνὰ δραχμὰς ιβ' τοῦ ἐνιαυτοῦ εἰς τὸ δημόσιον, καὶ τριώβολον τῷ γραμματεῖ. μετοίκιον οὖν ἐστὶ τέλος οὕτω καλούμενον, ὃ ἐτίθεσαν τῇ μὲν πόλει δραχμὰς ι', τῷ δὲ τελώνῃ τριώβολον. R.

C. ἀπογραφὴ ἐστιν ἡ ἀπαρίθμησις ἢ ἀποσημείωσις τῶν ὀφειλομένων εἰσφορῶν ἑκάστῳ τῶν πολιτῶν, καὶ ἀπογραφεῖς οἱ ταύτην ποιοῦντες καὶ τοὺς μὴ βουλομένους εἰσφέρειν εἰσάγοντες εἰς τὸ δικαστήριον. R.

Θ.

P. 853 D. κερασβόλους ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς πυροῖς καὶ ὀσπρίοις συμφυομένων σκληρῶν κόκκων τοὺς ἀπαιδεύτους καὶ ἀπειθεῖς τοῖς νόμοις καὶ σκληροὺς ταῖς γνώμαις φησίν. οὗτοι οὖν οἱ κόκκοι σκληροί τ' εἰσὶ καὶ μέλανες, στρογγύλοι, ἰσομεγέθεις κέγχροις, οἷς συνεψόμενοι τοῖς ὀσπρίοις οὐ τήκονται. εἴρηνται δὲ οὕτως ἀπὸ τοῦ τὴν κατασποράν καὶ τὸ ἄροτρον τοῖς κέρασι τῶν βοῶν βεβλῆσθαι καὶ ἀντιτύπτειν, καὶ διὰ τοῦτο κερασβόλα κληθῆναι. R.

D. ἀτεράμων] ἀκαταπόνητος. R.

854 B. ἀλιτηριώδεις ἀπο τῶν ἀλιτηρίων. οὗτοι δὲ λέγονται ἐκ τοῦδε. λιμός ποτε κατέλαβε τοὺς Ἀθηναίους· τῶν δὲ ἀλούντων ἐπιτηροῦντες οἱ πένητες ἀλούμενα τὰ ἄλευρα διήρπαζον, κἀντεῦθεν οἱ τοῦτο δρῶντες αὐτῶν ἐκλήθησαν ἀλιτήριοι. παρέτεινε τὸ ὄνομα καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων λέγεσθαι. παράγεται δὲ καὶ ἀπὸ τοῦ ἀλιτρεύειν, ὅ ἐστιν ἁμαρτάνειν. R.

B. ἀποδιοπομπήσεις] τὰς ἀποστροφὰς τὰς γιγνομένας ὑπὸ τοῦ ἀποτροπαίου Διός, διὰ τὸ καθαίρεσθαι τὰ δεινά· ἢ τὰς ἀποπομπὰς τὰς πρὸς τὸν προστρόπαιον Δία, καὶ οἱονεὶ καθάρσεις καὶ ἱλασμούς. R.

B. ἀποτροπαίων] τῶν ἀποτρεπόντων τὰ κακά. λαμβάνεται δὲ ἡ λέξις καὶ ἐπὶ τῶν φευκτῶν καὶ μισεῖσθαι ἀξίων ἀνθρώπων. R.

855 C. ἄτιμος οὐ μόνον ὁ ἀπεστερημένος τῆς ἐπιτιμίας, ὥστε μὴ βουλεύειν μήτε δικάζειν μήτε ἄρχειν μήτε πολιτεύεσθαι μήτ' ἄλλο τι τῶν κοινῶν ποιεῖν, ἀλλὰ τὸν ἀτιμώρητον. R.

C. ἀριστίνδην] κατ' ἐκλογὴν καὶ αἵρεσιν τῶν ἀρίστων. R.

C. εἰσαγωγαί εἰσιν αἱ εἰς τὰ δικαστήρια εἰσενέγξεις ἑκάστου τῶν δικῶν, καὶ εἰσαγωγεῖς οἱ τοῦτο ποιοῦντες. προσκλήσεις δέ εἰσιν αἱ ἐπὶ τῶν ἀμφισβητούντων κλήρου ἢ ἐπικλήρου. ὁ γὰρ ἀμφισβητῶν προσκαλεῖται τὸν ἐπιδεδικασμένον πρὸς τὸν ἄρχοντα· εἰ δὲ μὴ προσκαλέσαιτο, ἀτελὴς ἡ δίκη. διαψήφισις δὲ τὸ τοὺς δημότας τὴν ψῆφον ὑπὲρ τῶν παρεγγεγράφθαι δοκούντων ἐνεγκεῖν. R.

D. κατὰ τὸ στόμα] κατὰ τὴν ἀρχήν, μεταφορικῶς. R.

856 E. ἀνέλῃ] ἀντὶ τοῦ μαντεύσηται, ἢ ἀπὸ τοῦ ἄνωθεν λαμβάνειν τὸ πνεῦμα καὶ πληροῦσθαι τοῦ θεοῦ, ἢ ἀπὸ τοῦ ἀνελεῖν τὴν ἄγνοιαν. καὶ ἐπὶ τοῦ φονεύειν ἡ λέξις λαμβάνεται ἢ ἀπὸ τοῦ ἄνω λαμβάνειν τὸ ἐν βάθει πνεῦμα τοῦ ἀνδρός, ἢ ἐκ τοῦ ἐναντίου ἀπὸ τοῦ ἀνελεῖν τὴν γνῶσιν τὸ ἀνελεῖν φασίν. R.

858 B. λιθολόγοις] οἰκοδόμοις. R.

E. διαπυττόμενα] διαπτυόμενα. R.

860 E. Μαγνησία πόλις ἐν Κρήτῃ, Θεσσαλῶν ἄποικος, ἐξ ἧς οὗτοι. R.

865 A. ψιλοῖς] γυμνοῖς ὅπλων. R.

A. ὁ ἐκ Δελφῶν κομισθεὶς νόμος ἤγουν χρησμὸς ἐπὶ τοῦ ἄκοντος ἀνελόντος τὸν φίλον·

ἔκτεινας σὸν ἑταῖρον ἀμύνων· οὔ σε μιαίνει
αἷμα, φόνου δὲ πέλεις καθαρώτερος ἢ πάρος ἦσθα.

ὁ δ' ἀντίστροφος τούτῳ ἐπὶ τοῦ μὴ ὑπεραποθανόντος τοῦ φίλου·

ἀνδρὶ φίλῳ θνήσκοντι παρὼν πέλας οὐκ ἐπαμύνας·
ἦλυθες οὐ καθαρός· περικαλλέος ἔξιθι νηοῦ. R.

866 B. προστρεπομένου] ἀποπεμπομένου, τρεπομένου ἐφ' ἑαυτόν. R.

C. ἀπενιαυτησάτω] ἐνιαυτὸν φευγέτω διὰ τὸν φόνον. R.

D. τέγγων] βρέχων, ὡς νῦν, ἢ μαλάττων. R.

871 A. ὑμνεῖν] μέμφεσθαι, ἢ λοιδορεῖν, ὡς ἐπὶ τοῦδε, κατ' εὐφημισμόν. σημαίνει δὲ καὶ τὸ ὀδύρεσθαι. R.

B. ἀνεψιότης ἡ μέχρι ἀνεψιαδῶν συγγένεια, οἵ εἰσι παῖδες ἀνεψιῶν. οὗτοι δὲ πάλιν ἀλλήλων λέγονται ἀνεψιοί, οἵτινες γονεῖς ἔχουσιν ἀδελφούς. R.

E. ἀνατὶ] ἀβλαβῶς καὶ ἄνευ τίσεως καὶ τιμωρίας. R.

E. ἐπισκήπτεσθαί φασι μαρτυρίας ἢ γραμμάτων τὸ ποιήσασθαι διάλυσιν τοῦ ἐγκλήματος, τὴν μαρτυρίαν οὗ ἐπισκήπτονται. παραδιδόασι δὲ ταῦτα σημηνάμενοι μέχρι τοῦ χρόνου τῆς δίκης· κατὰ γὰρ τοῦτο χωρεῖ ἡ δίκη. καὶ τὸν τοῦτο ποιοῦντα ἐπισκηπτόμενον λέγουσιν. R.

873 B. ἀφοσιούτω] καθαιρέτω, ὡς νῦν, ἢ ἀπαρχὰς προσαγέτω, ἢ τιμάτω, ἢ τὴν ἐπὶ θανάτῳ ἀποδιδότω τιμήν, ἢ πληροφορείτω. R.

C. ἀβίου] ἀβλαβοῦς, ἢ ἄνευ βίας. R.

874 C. νηποινὶ] ἄνευ τιμωρίας καὶ ποινῆς. R.

I.

885 C. *Θεοὺς οὐδαμῶς*] ἐν ἄλλῳ βιβλίῳ Θεοὺς οὐ θεούς. R.

D. *ἐξακεῖσθαι*] ἐξιᾶσθαι, θεραπεύειν. R.

887 B. *συντείνεις*] σπουδάζεις, Ἀττικοί. R.

D. *ἀκούοντές τε καὶ ὁρῶντες*] δὶς νοητέον τοῦτο, ἔν τε δηλαδὴ τῇ ἀρχῇ τῆς ἐννοίας καὶ ἐν τῷ συμπεράσματι· καὶ ὑγιῶς ἔξει τὸ νόημα. τὸ δὲ σχῆμα τοῦτο παρά τε ῥήτορσι καὶ φιλοσόφοις πολὺ καὶ πολλαχοῦ. R.

888 E. *διὰ τύχην*] ἐν ἄλλῳ· διὰ τέχνην. R.

889 D. *συνέριθοι*] συνεργοί, ὡς νῦν, ἢ συνυφαίνουσαι. R.

892 A. *ἐντεῦθεν Ὠριγένει τὰ περὶ προϋπάρξεως*. R.

893 B. *τῆς κινήσεως ἡ μὲν σωματικὴ κατὰ τόπον, κατὰ ποιότητα, κατὰ ποσότητα, κατ' οὐσίαν· ἡ δὲ ψυχικὴ ἢ ἄλλο κινοῦσα ὑπ' ἄλλου δὲ κινουμένη, ἢ ἑαυτήν τε κινοῦσα καὶ ἕτερα δυναμένη*. R.

894 E. *ὑπ' ἄλλου*] τοῦ νοῦ δηλαδή· οὗτος γὰρ πάντη ἀκίνητος. R.

896 A. *τοῦτον κινεῖν φῄς*] ἐν ἄλλῳ· τὸ ἑαυτὸ κινεῖν φῄς. R.

899 D. *ἥκιστά γε*] οὐδαμῶς, ἢ οὐχ ἧττον. *Λιβάνιος δέ φησιν· εἴ τινα ἄλλον τρόπον, ὃν ἥκιστα ὤφθη μετελθὼν ἐν τῷ βίῳ ὁ ἐπὶ τῇ φιάλῃ ἔμπορος· ἀντὶ τοῦ *οὐ* πάνυ*. R.

900 E. *μετὸν*] ἐξόν, ἢ ἐπ' ἐξουσίας ὄν. R.

901 A. *ὁ ποιητὴς*] Ἡσίοδος ἐν Ἔργοις καὶ Ἡμέραις·

λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώῃ κηφήνεσσι κοθούροις εἴκελος ὀργήν,
οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοί
ἔσθοντες. σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν.

κηφῆνες αἱ ἀργαὶ τῶν μελισσῶν, κόθουροι δὲ αἱ ἄκεντροι καὶ κολόβουροι, ἢ αἱ φυλάττουσαι τὴν τῶν μελισσῶν ἔξοδον· οὖροι γὰρ οἱ φύλακες. R.

C. *παραιτητοὺς*] παρακαλουμένους, συγγνώμονας, ἢ καὶ παρακαλοῦντας. R.

906 B. *λῆμμα*] φρόνημα, ὡς νῦν, ἢ κέρδος. R.

907 E. *τιμωρεῖν τὸ ἐνεργητικὸν βοηθεῖν, τιμωρεῖσθαι δὲ τὸ παθητικὸν κολάζειν*. R.

ΙΑ.

P. 913 B. μὴ κινεῖν τὰ ἀκίνητα] παροιμία ἐπὶ τῶν καλῶς δοξάντων ἢ γεγονότων λεγομένη. R.

914 B. ἐνοδίαν δαίμονα τὴν Ἄρτεμιν ἤτοι τὴν Σελήνην φησίν, ἐπεὶ καὶ ὁ Ἀπόλλων Ἀγυιεύς, καὶ γὰρ ἄμφω τὰς ὁδοὺς πληροῦσι φωτός, ὁ μὲν ἡμέρας, ὁ ἥλιος, ἡ δὲ νυκτός. διὸ καὶ ἱδρύουσι τούτους ἐν αὐταῖς. ἀλλὰ καὶ τὸν Ἑρμῆν ἐνόδιον καὶ ἡγεμόνα λέγουσιν, ὡς δέον αὐτῷ πρὸς τὰς πράξεις ἡγεμόνι χρῆσθαι. καὶ τοῦτον δὲ ἐπὶ τῶν ὁδῶν διὰ τοῦτο ἀνεστήλουν. R.

E. μεθιέτω] παριέτω ἢ ἀφιέτω. R.

915 B. τοῦ τρίτου μεγέθει τιμήματος] τρίτον τίμημα, καθὼς ἐν τῷ πρὸ τούτου παρεθέμεθα, τὸ ζευγήσιον ἦν, εἰς ὃ οἱ τελοῦντες ἀπὸ διακοσίων μέτρων διελέγοντο, ἀνήλισκον δὲ εἰς τὸ δημόσιον ι΄ μνᾶς. R.

E. ἔρανός ἐστιν εἰσφορά τις ἑκάστου μηνός, ἢ ἐκ συμβολῆς δεῖπνον, ἢ εὐωχία, ἢ ἀνὰ μέρος δεῖπνον. καὶ ἐρανισταὶ οἵ τε τὴν εἰσφορὰν αὐτὴν εἰσφέροντες καὶ οἱ κοινωνοὶ ταύτης. R.

E. πριάμενος] ἀγοράσας. R.

916 A. ἀναγωγή ἐστιν ἡ τῶν προθέντων ἀνδραπόδων ἀνάδοσις, ἐχόντων αἰτίαν τινά. R.

A. ἱερὰν νόσον τὴν ἐπιληψίαν φασίν. R.

C. ἐξηγηταὶ τρεῖς γίνονται πυθόχρηστοι, οἷς μέλει καθαίρειν τοὺς ἄγει τινὶ ἐνισχηθέντας· καὶ οἱ ἐξηγούμενοι τὰ πάτρια. R.

919 D. γεωμόροι] γεωργοί. R.

920 C. λῆμμα] κέρδος ὡς νῦν ἢ φρόνημα. R.

D. διαιτηταί εἰσιν ἐν οἷς Ἀθήνησιν εἰσήγοντο αἱ ἰδιωτικαὶ δίκαι· εἰ δέ τινες μὴ ἐπείθοντο τοῖς διαιτηθεῖσιν, αὐτοὶ εἰσῆγον αὐτοὺς εἰς τὸ δικαστήριον καὶ παρὰ τοὺς δικαστάς. ἐγίνοντο δὲ διαιτηταὶ πάντες Ἀθηναῖοι, οἷς ἑξηκοστὸν ἦν ἔτος. τὸν δὲ ἀδικοῦντα διαιτητὴν ἐξῆν εἰσαγγέλλειν· καὶ εἴ τις ἑάλω, ἀτιμία ἦν τὸ ἐπιτίμιον. R.

921 A. προῖκα] ἄνευ μισθοῦ, ὡς νῦν, ἢ φερνήν. R.

D. ἐπωβελία ἐστὶν ἐπιτίμιόν τι, τουτέστι τοῖς διώκουσι χρηματικήν τινα δίκην, ἐὰν μὴ ἕλωσιν. ἦν δὲ τοῦτο ἕκτον μέρος τοῦ τιμήματος, οὗ ἐπεδικάζοντο, καὶ ἐνεγράφοντο. καὶ ἐκαλεῖτο οὕτως, ὅτι ἐπὶ τῇ δραχμῇ ὀβολὸς ἦν, τῆς δραχμῆς λογιζομένης

πρὸς ἕξ. ἐλάμβανε δὲ ὁ φεύγων παρὰ τοῦ διώκοντος, εἰ τὴν δίκην απέφευγε. μέμνηται δὲ ταύτης καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀφόβου. R.

926 B. κηδεύματα] γαμικὰ συναλλάγματα. R.

928 C. δίκην λαχεῖν] ἐνστήσασθαι, ὅ ἐστι καὶ λῆξις δίκης. R.

929 A. ἀπορρηθῆναι] ἀπαγορευθῆναι. R.

931 B. Οἰδίπους ὁ Λαΐου καὶ Ἰοκάστης, μητρογαμήσας δι' ἄγνοιάν τινα, ἐτύφλωσε μέν, ὅτι τοῦτο πράξειεν, ἑαυτόν, ἐλαύνεται δὲ διὰ τὴν ἀθεμιτουργίαν ἐκ Θηβῶν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης οἱ τούτου υἱοί, δυνατοὶ ὄντες, οὐκ ἐπαμύνουσιν ἐλαυνομένῳ αὐτῷ, ὁ δὲ ἀρᾶται αὐτούς. οἱ δὲ περὶ τῆς βασιλείας Θηβῶν ἀλλήλους κτείνουσιν. R.

B. Φοῖνιξ Ἀμύντορος· οὗτος τυφλοῦται ὑπὸ τοῦ πατρός· κατεψεύσθη γὰρ πρὸς τὸν πατέρα ὑπὸ Φθίας τῆς αὐτοῦ παλλακῆς, ὅτι δὴ πειραθείη πρὸς εὐνὴν αὐτῇ συνελθεῖν. ἰᾶται δὲ ὑπὸ Χείρωνος Πηλέως σπουδῇ. ὁ δὲ Ἀμύντωρ κατεύχεται αὐτοῦ

μήποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱόν.

ὃ δὴ γέγονε· καὶ γὰρ θεοὶ ἐτέλειον ἐπαράς. R.

B. Ἱππολύτῳ] Θησεὺς ὁ Αἰγέως καὶ Αἴθρας ἐξ Ἱππολύτης τῆς Ἀμαζόνος γεννᾷ Ἱππόλυτον, μεθ' ἣν Φαῖδραν γυναῖκα ἄγεται, ἣ διὰ τὸ κάλλος Ἱππολύτου ἐρᾷ. ὁ δὲ οὐ πείθεται αὐτῇ σωφρονῶν. ἡ δὲ πρὸς τὸν πατέρα κατεῖπεν αὐτοῦ ὡς μᾶλλον ἐρῶντος αὐτῆς· ὁ δὲ ἀρᾶται τὸν υἱὸν διαφθαρῆναι Ἱππόλυτον, καὶ ἐπιτυγχάνει. οὗτος γὰρ ὀχούμενος ἅρματι, ὑπὸ ταύρου τῶν ἵππων συνταραχθέντων αὐτοῦ, πίπτει τε εἰς γῆν, καὶ ταῖς ἡνίαις ἐμπλακεὶς ἑλκόμενος θνήσκει. R.

B. ἀραῖος] βλαβερός. R.

932 A. κωφὴ] ἀσθενής, ἀμβλεῖα, ὡς νῦν, ἢ ἄηχος. R.

933 A. δυσωπουμένους] ὑφορωμένους, ὑπόπτως ἔχοντας. R.

936 D. ἐὰν δ' ἐπαιτιώμενος ὁ δεσπότης] οἶμαι, εἰ δύο συζυγίαι δεσποτῶν καὶ δούλων εἶεν, ἐναλλὰξ δὲ ὁ τῆς ἑτέρας συζυγίας δεσπότης μετὰ τοῦ τῆς ἑτέρας συζυγίας δούλου σύνθοιτο ποιῆσαι τὴν βλάβην εἰς τὸν δοῦλον αὐτοῦ, ἵνα τῆς ἐπὶ ταύτῃ ἀποτίσεως γινομένης ἀποδοθείη οὗτος ὁ δοῦλος τῷ συνθεμένῳ δεσπότῃ μετ' αὐτοῦ ποιῆσαι τὴν βλάβην, καὶ δούλους οὕτως ἔχοι δύο, ἕνα μὲν τὸν βλαβέντα καὶ ἐξ ἀρχῆς, ἕτερον δὲ τὸν βλάψαντά τε τοῦτον καὶ ὕστερον. R.

D. κακοτεχνιῶν δίκης ὄνομά ἐστιν, ἣν εἰσήεσαν οἱ λέγοντες μάρτυρας ψευδομαρτυρεῖν, κατὰ τῶν παρασχομένων τοὺς ψευδομάρτυρας. R.

937 B. ἐπίσκηψις ἐστι δίκη κατὰ τῶν ψευδομάρτυρησάντων. R.

D. ἀνάδικος κρίσις· εἰ ἑάλωσαν ἤτοι πάντες οἱ μάρτυρες ψευδομαρτυριῶν ἢ ὑπερημίσεις, ἐκρίνετο ἄνωθεν ἡ δίκη. οὐκ ἐπὶ πάντων δὲ τῶν ἀγώνων ἐγίγνοντο ἀνάδικοι αἱ κρίσεις, ἀλλ' ὥς φησι Θεόφραστος ἐν ζ' νόμων, ἐπὶ μόνης ξενίας καὶ ψευδομαρτυριῶν καὶ κλήρων. R.

IB.

P. 942 A. ἐπ' αὐτοφώρῳ] ἐπ' ὀφθαλμοῖς, ἐπ' αὐτῷ τῷ κλέμματι ἁλούς. R.

E. πίλων] τῶν ἐκ συμπεπιλημένων ἐρίων γινομένων ἐνδυμάτων. R.

943 A. ἀστρατείας δίκη ἐστὶ γραφὴ κατὰ τοῦ κατειλεγμένου μὲν ἐν στρατιωτικῇ τάξει, μὴ στρατευσαμένου δέ. R.

D. λειποταξίου δίκη ἐστὶ γραφὴ κατὰ τοῦ στρατευσαμένου μέν, λιπόντος δὲ τὸ στρατόπεδον καὶ τὴν τάξιν αὐτοῦ. R.

944 C. διαφέρει δὲ ὅλον που καὶ τὸ πᾶν] παροιμία ἐπὶ τῶν πάντη διαφερόντων λεγομένη, παρ' ὅσον τὸ μὲν ὅλον τοῦ συνεχοῦς ἐστὶ ποσοῦ, τὸ δὲ πᾶν τοῦ διωρισμένου, ταῦτα δὲ εἴδη τοῦ ποσοῦ ἀλλήλοις ἀντιδιαιρούμενα. R.

D. Καινεὺς ὁ Θετταλὸς Ἄτρακος μὲν ἦν θυγάτηρ τὸ πρίν, Καινὶς ὀνομαζομένη, εἰς ἄνδρα δὲ μετέβαλε Ποσειδῶνος βουλήσει, ἔτι δὲ καὶ τὸ ἀδάμαστος εἶναι καὶ ἄτρωτος. διὸ ἐν τῇ τῶν Κενταύρων καὶ Λαπιθῶν μάχῃ αὐτορρίζοις δένδρεσι συνεχώσθη ὑπὸ τῶν Κενταύρων. ὑπὸ δέ τινων ἀπωρνεῶσθαι λέγεται. τὴν μεταβολὴν δέ φασι τοῦτον λαβεῖν χάριν τοῦ Ποσειδῶνος ἐρώμενον γενέσθαι. R.

945 B. εὔθυνοί εἰσιν ἄρχοντές τινες οἱ τὰς εὐθύνας λαμβάνοντες παρὰ τῶν ἀρχόντων, ὥσπερ καὶ οἱ λογισταὶ καὶ πάρεδροι ἑφ' ἑκάστῃ ἀρχῇ· καὶ γὰρ τῷ ἄρχοντι εὔθυνος ἦν καὶ πάρεδρος, καὶ τῷ βασιλεῖ ὁμοίως καὶ τῷ πολεμάρχῳ καὶ τοῖς θεσμοθέταις. ἐκπράσσει δὲ ὁ εὔθυνος ὅσα ἐπὶ τῆς ἀρχῆς, ἢ προστέτακται, ὠφελόν τινες εἰς τὸ δημόσιον. R.

D. εὐθύνη ἐστὶ κρίσις κατὰ τῶν ἀρξάντων ἢ πρεσβευσάντων ἤ τι τῶν τῆς πόλεως χειρισάντων ὅλως.

947 C. ἡϊθέους] παῖδας πάντη γάμων ἀπειράτους. R.

D. ψαλῖδα ἤτοι καμάραν, ὡς νῦν, ἢ ταχεῖαν κίνησιν, ἢ ὑδρορόην, ἢ ἄρμενον. R.

949 D. ἐνεχυρασίαν] ἀσφάλειαν. R.

E. χρηματίζηται] τοῦτο μὲν τὸ παθητικὸν τὸ χρήματα πράττεσθαι, τὸ δὲ χρηματίζειν τὸ ἐνεργητικὸν τὸ πράγμασι χρῆσθαι, οἷον χρηματίζει ἡ βουλή. ἀφ' οὗ καὶ χρήματα τὰ πράγματα. R.

950 D. θεωροῖς] τοῖς εἰς ἑορτάς που πεμπομένοις κοινωνῆσαι αὐτῶν. R.

951 B. ἀνομίλητος] ἀκοινώνητος, ἀσυνδύαστος. R.

953 A. τημελεῖν] ἐπιμελεῖσθαι. R.

C. πρυτάνεις εἰσὶ μέρος τι τῶν πεντακοσίων τὸ δέκατον, πεντήκοντα ἄνδρες, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα, καὶ ἐπρυτάνευον κατὰ πρυτανείαν ἐκ διαδοχῆς. πρυτανεία δέ ἐστιν ἀριθμός τις ἡμερῶν, ἤτοι λ΄ ἢ λη΄ ἢ λέ, ἃς ἑκάστη φυλὴ πρυτανεύειν λέγεται. ιβ΄ μὲν γὰρ οἱ μῆνες, ι΄ δέ εἰσι πρυτανεῖαι, καὶ φυλαὶ ι΄. καὶ διῄρηνται εἰς ταύτας αἱ ἡμέραι τοῦ ἐνιαυτοῦ· κατὰ γὰρ σελήνην ἄγουσι τοῦτον, ὡς ἑκάστῃ τῶν ι΄ φυλῇ ἐπιβάλλειν λέ ἡμέρας, πλεονάζειν δὲ ὀλίγας. διὸ καὶ τὰς λοιπὰς ἀπέδωκαν οἱ Ἀθηναῖοι ταῖς πρώταις λαχούσαις τέτταρσι φυλαῖς, ἵνα ἐκείνων μὲν ἑκάστη τὰς λ΄ ἡμέρας πρυτανεύῃ, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ λέ· πρυτανεῖα δὲ οὐδετέρως οὐχ εὕρηται· τινὲς δὲ ἀργύριόν τι, ὃ κατατίθεται ὑπὸ τῶν δικαζομένων, καὶ δίδοται δικαστικὸν τοῖς ἑξακισχιλίοις. R.

954 A. φωρᾶν] ἐρευνᾶν, ἐκζητεῖν. R.

958 E. χοῦν] χωνεύναι. R.

962 C. τοπάζειν] στοχάζεσθαι, ἐνθυμεῖσθαι, ὑπονοεῖν, καὶ ὑποτοπεῖν δέ. R.

968 A. σημείωσαι ὅτι νυκτερινὸν σύλλογον τὴν Ἐπινομίδα φησίν. R.

E. ἢ τρὶς ἓξ ἢ τρεῖς κύβους] ἡ παροιμία παρὰ Φερεκράτει ἐν τοῖς Μυρμηκανθρώποις. κεῖται δὲ ἐπὶ τῶν ἀποκινδυνευόντων. τὸ μὲν γὰρ τρὶς ἓξ τὴν παντελῆ νίκην δηλοῖ, τὸ δὲ [illegible] κύβοι τὴν ἥτταν. πάλαι γὰρ τρισὶν ἐχρῶντο πρὸς τὰς [illegible]

κύβοις καὶ οὐχ ὡς νῦν δύο. ἔστι δὲ ὁμωνυμία· κύβον γὰρ ἔλεγον ἰδίως αὐτὸν τὸν ῥιπτούμενον, ὅτε πλήρης ἐστὶ καὶ μή. τοὺς δὲ κύβους τοὺς τοιούτους οἱ Ἴωνες καλοῦσιν οἴνας, καὶ τὴν παροιμίαν οὕτως ἐκφέρουσιν· ἢ τρὶς ἓξ ἢ τρεῖς οἴνας. R.

969 B. ὕπαρ ἐστὶ τὸ μέσον ἐγρηγόρσεως καὶ ὕπνου ὁρώμενον. R.

ΕΙΣ ΕΠΙΝΟΜΙΔΑ.

P. 974 A. παιδικῆς] οἶμαι, ἱλαρᾶς· ἐξ οὗ καὶ παιδικώτερον τὸ ἱλαρώτερον. R.

978 B. διαριθμήσεται] διαλογίσεται. R.

980 B. προσπαίσαντι] προσπαίξαντι· ἀντὶ τοῦ ξ τὸ σ οἱ Ἀττικοί. R.

983 C. ῥύμας] ὁρμὰς βιαίας. R.

ΕΙΣ ΤΑΣ ΕΠΙΣΤΟΛΑΣ.

Β.

P. 314 C. οὐδ' ἔστι σύγγραμμα] ἐντεῦθεν δηλοῦται διά τί ὁ Πλάτων ἐν ταῖς βίβλοις αὐτοῦ μηδὲν διαλέγεται. e.

Δ.

P. 320 A. Δίων ὁ Συρακούσιος Ἱππαρίνου μὲν υἱὸς ἦν, ἀνεψιαδοῦς δὲ Διονυσίου τοῦ προτέρου, κατὰ δὲ οἰκειότητα τῆς γυναικὸς αὐτοῦ Ἀριστομάχης ἀδελφός, εὐφυΐᾳ δὲ καὶ μεγαλοψυχίᾳ καὶ φιλοτιμίᾳ διαφέρων τοῦ γενέσθαι τινὸς ἄξιος. Ἱππαρῖνος γὰρ παίδων ὄντων αὐτῷ τῶν περὶ Δίωνα, τριῶν μὲν υἱῶν, τριῶν δὲ θυγατέρων, τελευτῶν τὸν βίον ἐπίτροπον Διονύσιον κατέστησεν οἰκεῖον ὄντα, καὶ τὰς γυναῖκας ἅμα καὶ τὰς κόρας διέθηκε γῆμαι, Ἀριστομάχην μὲν τὴν πρεσβυτάτην αὐτόν, τὰς

δὲ λοιπας τοῖς ἀδελφοῖς αὐτοῦ δοῦναι, Λεπτίνῃ τε καὶ Θεαρίδῃ. καὶ οὕτω γέγονε τελευτησάσης τῆς Λοκρίδος αὐτοῦ γυναικός, ἐκ ἧς ἐγεγόνει αὐτῷ Διονύσιος ὁ νεώτερος, ὁμώνυμος αὐτῷ υἱός. R.

Z.

P. 326 C. εἰ μὲν τὸ δύναιτο συννπακουόμενον λήψῃ, ὡς ἀπαρέμφατα προπερισπασθήσονται τό τε μελλῆσαι καὶ τὸ ἠρεμῆσαι. εἰ δὲ καθ' αὑτὰ ταῦτα ἐκδέξῃ, ὡς εὐκτικὰ παροξυνθήσεται. R.

333 E. γεγονότε φίλω] ἐν ἄλλῳ βιβλίῳ λείπει τὸ φίλω. R.

337 E. ἐπιστολῆ] ἐντολή, ἐπίσκηψις. R.

342 B. ἀληθές ἐστιν] ἐν ἄλλῳ· ἀληθῶς ἐστὶν ὄν, ἓν μέν. R.

344 A. Λυγκέα φασὶ τὸν Ἀφαρέως καὶ Ἀρήνης οὕτω γενέσθαι ὀξυδερκῆ, ὡς καὶ τὰ ὑπὸ γῆν βλέπειν. ἀφ' οὗ καὶ ἡ παροιμία. R.

345 A. ἴττω] ἡ λέξις ἐπιχωριάζοντός ἐστιν ἀντὶ τοῦ ἴστω, τῇ Βοιωτίᾳ διαλέκτῳ, ἐπὶ θαύματος εἰλημμένη, ἧς καὶ ἐν τῷ Φαίδωνι μέμνηται ὑπὸ Κέβητος εἰρημένης. R.

D. Σκύλλα λέγεται ἡ δι' ἐναντίων ἀνέμων συχνὴ καὶ πολυκύμων τῶν τῆς θαλάττης ῥευμάτων σύμπτωσις, κατ' ἀκρωτήριά τινα ἐπὶ πολὺ διήκοντα τῶν μεγίστων πελαγῶν γιγνομένη φοβερά τε καὶ πολύμορφος, φωνήν τε ἀφιεῖσα οἵα σκυλάκων νεογνῶν (ἐξ οὗ καὶ τοὔνομα εἴληφεν), οἵα γίνεται ἡ περὶ τὸν κατὰ Σικελίαν πορθμόν. Χάρυβδις δὲ ἡ ἀναπινομένη θάλασσα περί τε τὸν εἰρημένον πορθμὸν καὶ περὶ τὰ Γάδειρα, καὶ πάλιν ῥαγδαίως ἐπαναστρέφουσα· ἡ τῆς ἡμέρας τρὶς συσπῶσα τὸ ὕδωρ πάλιν ἀνίει. εἴρηται δὲ παρὰ τὸ εἰς χάος ῥοιβδεῖν, ὅ ἐστιν ἀναρροφεῖν. R.

D. ἀναμετρήσαιμι] διαπεράσαιμι. R.

346 D. ἐδυσχέραινον μὲν ὅλως] ἐν ἄλλῳ λείπει τὸ ὅλως. R.

347 D. χρείη] δέοι. R.

H.

P. 353 E. Φοίνικες ἀπὸ Φοινίκης τῆς χώρας· αὕτη δὲ ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος καὶ Μερόπης τῆς Νείλου. Ὀπικὸν ἔθνος Ἰταλίας. R.

Ε. τέμνειν φάρμακον] πείθειν, τιμᾶν, ἡγεῖσθαι, ὡς οἶμαι, νῦν. R.

ΙΓ.

Ρ. 361 Β. μύρτα] ὁ καρπὸς τῆς μυρσίνης. R.

363 Α. ἀμοργὶς κυρίως ἡ λινοκαλάμη, ἐξ ἧς γίνεται ἐνδύματα ἀμόργινα ἢ ἀμοργίδια λεγόμενα· οἱ δὲ τὰ παραπλήσια βύσσῳ. ἔστι δὲ ἀμοργὶς καὶ ἡ τοῦ ἐλαίου ὑποστάθμη καὶ ἡ τρὺξ τοῦ οἴνου. R.

Β. βασιλέως] τῶν Περσῶν δηλαδή. R.

ΕΙΣ ΔΙΑΛΟΓΟΝ ΠΕΡΙ ΔΙΚΑΙΟΥ.

Ρ. 374 Α. παροιμία, ὅτι πολλὰ ψεύδονται ἀοιδοί, ἐπὶ τῶν κέρδους ἕνεκα καὶ ψυχαγωγίας ψευδῆ λεγόντων. φασὶ γὰρ τοὺς ποιητὰς πάλαι λέγοντας τἀληθῆ, ἆθλον ὕστερον αὐτοῖς ἐν τοῖς ἀγῶσι τιθεμένων ψευδῆ καὶ πεπλασμένα λέγειν αἱρεῖσθαι, ἵνα διὰ τούτων ψυχαγωγοῦντες τοὺς ἀκροωμένους τῶν ἆθλων τυγχάνωσιν. ἐμνήσθη ταύτης καὶ Φιλόχορος ἐν Ἀθλίδος α΄ καὶ Σόλων Ἐλεγείαις καὶ Πλάτων ἐνταῦθα. R.

ΕΙΣ ΤΟΝ ΣΙΣΥΦΟΝ.

Ρ. 387 C. Φάρσαλος πόλις Θεσσαλίας, ἧς οἱ πολῖται Φαρσάλιοι. ἐκ ταύτης φασὶν Ἀχιλλέα τὸν Θέτιδος γενέσθαι. R.

D. ἦ] ἀντὶ τοῦ ἆρα ἀπορηματικοῦ. R.

389 Α. μεταρσιολέσχας] διαφέρει μετέωρα μεταρσίων, ἢ τὰ μὲν μετέωρα ἐν οὐρανῷ καὶ αἰθέρι ἐστίν, ὡς ἥλιος καὶ τὰ λοιπὰ καὶ οὐρανὸς καὶ αἰθήρ, μετάρσια δὲ τὰ μεταξὺ τοῦ αἰθέρος καὶ γῆς ἐν ἀέρι συνιστάμενα, ὡς ἄνεμοι, νεφέλαι, ὄμβροι, ἀστραπαί, βρονταί, κομῆται, δοπίδες, πώγωνες, λαμπάδες, ἶριδες, ἅλωες, διάττοντες, ῥυμοί, ῥύακες καὶ τὰ τοιαῦτα. R.

C. πάντα κάλων ἐφέντες] ἐπιτείναντες ἢ κινήσαντες ἢ σείσαντες. παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν τὰ σχοινία ἢ τὰ ἄρμενα χαλώντων ναυτῶν. R.

390 B. αὐτοσχεδιάζοντες] αὐτομάτως ἢ συντόμως τι ποιοῦντες. R.

ΕΙΣ ΤΗΝ ΑΛΚΥΟΝΑ.

P. 109. l. 1. Ἀλκυὼν ὄρνις μέγεθος μὲν ἴση μικρῷ στρουθῷ, χροιὰν δὲ ποικίλη· ἔστι δὲ ἀναμὶξ χλωρά, κυανῆ, ὑποπόρφυρος, ῥάμφος ἔχουσα λεπτόν, ἐπιμηκές, χλωρόν. διαιτᾶται δὲ παρὰ τοὺς τοῦ Σικελικοῦ πελάγους αἰγιαλούς, πέντε μόνα κυΐσκουσα ᾠά. ἐκ βελόνης δὲ τοῦ ἰχθύος τῶν ἀκανθῶν ἐπιπλεκομένων ὑπ' αὐτῆς ὡς ἱστοῦ πήγνυσι τὴν καλιὰν παρὰ μόνων ἀνθρώπων φθείρεσθαι δυναμένην, ὑπ' ἄλλου δέ τινος τὸ παράπαν οὔ. ἔστι δὲ σικύᾳ τὸ σχῆμα ὁμοία ἰατρικῇ, ὡς εἶναι τὸ κύτος κοιλότερον αὐτῆς, τὸ στόμιον δὲ στενόν τε καὶ οὕτω κρύφιον, ὡς μόνῃ ταύτῃ εἶναι καὶ εἰσιτητὸν καὶ γνώριμον. ἐν παντὶ μὲν τῷ οἰκείῳ ἄρρενι μιγνυμένη καιρῷ, ἐν χειμῶνι δὲ νεοττεύουσα μέσῳ, ὡς ἑπτὰ ἡμέραις ἐργάζεσθαι τὴν καλιάν, ἑπτὰ δὲ τίκτειν καὶ τρέφειν τοὺς νεοττούς· τὴν δὲ ἡμέραν τοῦ τοκετοῦ φασὶν ἱεράν. σπανίως δὲ φαίνεται, καὶ τότε κατὰ τὸν τῆς Πλειάδος δύσεως καιρόν, ἐπικαθεζομένη δὲ τῶν πετρῶν ᾄδει τι μέλος λιγυρόν, ὅτε δὴ καὶ τὸ πέλαγός ἐστιν ἀκύμαντον καθάπαξ καὶ νήνεμον. τῆς δὲ ἀλκυόνος ἡ μὲν μείζων ἄφωνος, ἡ δὲ ἐλάττων ᾠδική· πᾶσαι δὲ οὕτως ἀνδροκόμοι πεφύκασιν, ὡς τῶν ἀρρένων γηρασκόντων ὑποπτᾶσθαί τε καὶ διαφέρειν αὐτούς, ἢ ἐκεῖνοι βούλοιντο, ἐπαποθνήσκειν τε τούτοις τὰς οἰκείας θηλείας ἐκ τοῦ ἀβρώτους καὶ ἀπότους διατελεῖν μετὰ τὴν τῶν ἀρρένων τελευτήν. καλοῦνται δὲ κήϋκες, ὧν μόνον εἴ τις ἀκούσειε τὴν φωνήν, σημεῖον ἔχει πανάληθες, ὥς φασιν, ὡς μετὰ βραχύν τινα χρόνον τεθνήξεται.

P. 110. l. 17. ἀνέφικτα] ἀδύνατα καταληφθῆναι.

ib. l. 20. νεογιλὸς] ἀντὶ τοῦ νέογνος, νεογέννητος, νεογενής.

P. 112. l. 24. *γυναξὶν*] *ὅτι δύο γυναῖκας εἶχεν Σωκράτης Ξανθίππην καὶ Μυρτώ.*

ib. l. 31. *Φαληρικοῦ*] *Φάληρον δῆμος Αἰαντίδος.*

ΕΙΣ ΤΟΝ ΕΡΥΞΙΑΝ.

P. 392 A. *Διὸς ἐλευθερίου*] *τὸν Μῆδον ἐκφυγόντες Ἀθηναῖοι ἱδρύσαντο τὸν ἐλευθέριον Δία. τοῦτον δὲ ἔνιοι καὶ σωτῆρά φασιν. τιμᾶται δὲ ἐλευθέριος Ζεὺς καὶ ἐν Συρακούσαις καὶ Ταραντίνοις καὶ Πλαταιαῖς καὶ Καρίᾳ.* R.

B. *Μέγαρα πόλις περὶ τὸν Ἰσθμόν, ἀνὰ μέσον Πελοποννήσου καὶ τῆς Ἀττικῆς καὶ Βοιωτίας. καὶ πόλις ὁμώνυμος ταύτῃ ἐν Σικελίᾳ, περὶ ἧς νῦν φησίν.* R.

398 C. *Κεῖος*] *ὁ ἀπὸ τῆς Κέω. ἔστι δὲ Κίος πόλις Μυσίας, ἐξ ἧς οὗτος.* R.

400 E. *Ἐρατοσθένης σίσυραν φησὶ στέγαστρον ἐξ αἰγείων δερμάτων τετριχωμένων, σίσυρναν δὲ τὸ ἐκ τῶν κωδίων ῥαπτόμενον ἀμπεχόνιον, ὃ γούνναν φασίν.* R.

405 B. *λίθον ἑψῆσαι*] *παροιμία ἐπὶ τῶν ἐπιχειρούντων ἀδυνάτοις.* R.

ΕΙΣ ΤΟΝ ΑΞΙΟΧΟΝ.

P. 364 A. *τόπος ἐστὶν ἐν τῇ Ἀττικῇ Κυνόσαργες καλούμενος, ἐν ᾧ τοὺς νόθους τῶν παίδων ἔταττον. ὠνομάσθη δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ ἢ ταχέος· καὶ γὰρ Ἡρακλεῖ θύοντας κύνα τοιοῦτον ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία αὐτοῦ καταθεῖναι, καὶ ἐπερωτήσαντας τοὺς θεοὺς ποῦ Ἡρακλέους ἱδρῦσαι ἱερὸν λαβεῖν χρησμὸν ἐν ἐκείνῳ τῷ τόπῳ. ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν, ὅτι καὶ Ἡρακλῆς νόθος ὢν Διὸς υἱός (Ἀμφιτρύωνος γὰρ γνήσιος ἦν) ἴσα θεοῖς ἐτιμήθη. λαμβάνε-*

ται δὲ καὶ εἰς παροιμίαν ἐπὶ ὕβρει καὶ ἀρᾷ, οἷον ἴθ' εἰς Κυνόσαργες. R.

A. Καλλιρρόη κρήνη ἐν τῇ Ἀττικῇ. R.

B. μορμολυττομένους] μορμολυκεῖά φασι τὰ τῶν ὑποκριτῶν πρόσωπα, ἃ Δωριεῖς γόργεια καλοῦσιν. ἐντεῦθεν καὶ τὸ ἐκφοβῆσαι μορμολύξασθαι καὶ μορμολυττομένους τοὺς ἐκφοβοῦντας λέγουσιν. R.

B. ἐπιτωθάζων] ἐπιλοιδορούμενος, ἢ ἐπεμβαίνων, ἢ χλευάζων ὡς νῦν, ἢ καυχώμενος. R.

365 A. συνειλεγμένον τὰς ἀφὰς] συνηγμένον τὰς πληγάς. R.

B. μονονουχὶ] σχεδόν, ἐγγύς. R.

C. εὐλαί εἰσιν οἱ ἐν τοῖς τραύμασιν ἐγγινόμενοι σκώληκες, κνώδαλα δὲ κυρίως τὰ θαλάττια θηρία· κινώθαλα γάρ ἐστι τὰ ἐν τῇ ἀλὶ κινούμενα. Ὅμηρος δὲ καὶ ἐπὶ χερσαίου φησὶ·

κνώδαλον ὅττι φύγῃσι, καὶ ἴχνεσσιν γὰρ ὀπηδεῖ.

πλὴν κνώδαλον μικρὸν ζῶον τὸ θαλάττιον καὶ τὸ χερσαῖον. R.

366 A. ὀριγνωμένη] ὀρεγομένη. R.

C. παρὰ ἀκαρῆ] ἀντὶ τοῦ παρὰ βραχύ, παρὰ ὀξύ, ὃ οὐχ οἷόν τε κεῖραι. R.

367 B. δὶς παῖδες οἱ γέροντες] ἐπὶ τῶν πρὸς τῷ γήρᾳ εὐηθεστέρων εἶναι δοκούντων. R. μέμνηται δὲ αὐτῆς Κρατῖνος ἐν Δηλιάσι λέγων·

ἦν ἄρ' ἀληθὴς ὁ λόγος, ὡς δὶς παῖς [ἐστὶν ὁ] γέρων.

καὶ Πλάτων ἐν Νόμων α'· οὐ μόνον ἄρα, ὡς ἔοικεν, ὁ γέρων δὶς παῖς γίγνεται ἀλλὰ καὶ ὁ μεθυσθείς· καὶ Μένανδρος Χήρᾳ καὶ Ἀριστοφάνης Νεφέλαις α'. Böttiger. kl. Schriften T. III, p. 197.

368 D. ποππυσθείη] κολακευθείη, ἐκ μεταφορᾶς τῶν ἐπὶ τοῖς ἵπποις ποππυσμάτων ἐν τῷ δαμάζεσθαι. R.

D. ἐγκαθέτους] ἐνεδρευτάς, δολίους, κατασκόπους. R.

D. κατεχειροτόνησαν] κατεψηφίσαντο. ἡ καταχειροτονία ἐγίγνετο οὕτως. ἔλεγεν ὁ κῆρυξ, οἷον ὅτῳ Μειδίας δοκεῖ ἀδικεῖν, ἀράτω τὴν χεῖρα. εἶτα οἱ θέλοντες ἐξέτεινον τὰς χεῖρας, καὶ ἐκαλεῖτο τοῦτο πρῶτον καταχειροτονία. εἶτα πάλιν δεύτερον ἔλεγεν ὁ αὐτὸς κῆρυξ, ὅτῳ μὴ δοκεῖ ἀδικεῖν Μειδίας, ἀράτω τὴν χεῖρα, καὶ ἐξέτεινόν τινες, καὶ ἐκαλεῖτο ἀποχειροτονία. καὶ λοιπὸν ἠρίθμει πάσας τὰς χεῖρας ὁ κῆρυξ, τῶν τε προτέρων καὶ

καταχειροτονούντων, τῶν τε ὑστέρων καὶ ἀποχειροτονούντων, καὶ ὅσων ἂν ἦσαν πλείους, ἐκείνων καὶ ἡ γνώμη ἐκράτει. R.

369 A. συγκλύδωνος] ἐπιμίκτου, ἐπηλύτου. R.

E. καθικέσθαι] καθάψασθαι. R.

371 A. οἱ δύο θεοὶ] Ἀπόλλων καὶ Ἄρτεμις. R.

D. ἁγιστείας] ἁγιωσύνας, καθαρότητας, λατρείας. R.

D. γεννήτῃ] Ἀριστοτέλης φησί, τοῦ ὅλου πλήθους διῃρημένου Ἀθήνησιν εἵς τε τοὺς γεωργοὺς καὶ τοὺς δημιουργούς, φυλὰς αὐτῶν εἶναι τέσσαρας, τῶν δὲ φυλῶν ἑκάστης μοίρας εἶναι τρεῖς, ἃς τριττύας τε καλοῦσι καὶ φρατρίας, ἑκάστης δὲ τούτων τριάκοντα εἶναι γένη, τὸ δὲ γένος ἐκ τριάκοντα ἕκαστον ἀνδρῶν συνεστάναι. τούτους δὴ τοὺς εἰς τὰ γένη τεταγμένους γεννήτας καλοῦσιν. R.

E. Ἐλευσινίας] Δήμητρος, διὰ τῶν αὐτῆς τελετῶν. R.

E. ἐναύσασθαι] μεταλαβεῖν. R.

ΤΙΜΑΙΟΥ ΣΟΦΙΣΤΟΥ

ἐκ τῶν

τοῦ Πλάτωνος λέξεων.

Τίμαιος Γαιατιανῷ εὖ πράττειν.

Ἐπιστάμενος ἀκριβῶς τὴν γνώμην καὶ τὴν περὶ Πλάτωνα σπουδὴν καὶ φιλοκαλίαν, εἰωθώς τε τῇ τῶν Κρονίων ἑορτῇ τῶν ἐμαυτοῦ τοῖς φίλοις ἀπάρχεσθαι, παιδιᾷ τε ἅμα καὶ τῇ τῆς παιδιᾶς ἀδελφῇ σπουδῇ χρησάμενος ἐξέλεξα τὰ παρὰ τῷ φιλοσόφῳ γλωσσηματικῶς ἢ κατὰ συνήθειαν Ἀττικὴν εἰρημένα, οὐχ ὑμῖν μόνοις τοῖς Ῥωμαίοις ὄντα ἀσαφῆ, ἀλλὰ καὶ τῶν Ἑλλήνων τοῖς πλείστοις, τάξας τε ταῦτα κατὰ στοιχεῖον καὶ μεταφράσας ἀπέστειλά σοι, νομίσας καὶ αὐτὸν ἕξειν σε παιδιὰν οὐκ ἄμουσον. ἔρρωσο.

Ἀγαθεργοὶ αἱρετοὶ κατ' ἀνδραγαθίαν.

Ἄγαλμα πᾶν ἀνάθημα.

Ἄγαμαι ἀποδέχομαι, θαυμάζω ἄγαν.

Ἀγείρουσαν ὡς ἱέρειαν περιερχομένην.

Ἁγιστεύειν ἱεροθυτεῖν.

Ἁγίαν τὸν ἡγούμενόν τινος.

Ἄγνος φυτόν, ὃν καὶ λύγον.

Ἄγος μίασμα, μύσος.

Ἀγροικος σκληρὸς καὶ ἀπαίδευτος, ἢ ὁ ἐν ἀγρῷ κατοικῶν.

Ἀγρονόμοι οἱ τοῖς ἀγροῖς ἐπιφοιτῶντες ἄρχοντες.

Ἀγχώμαλος ὁ ἐγγύς πως τῷ ἐπίσης ἔχων ἐπί τι ἀγώνισμα ἢ ἄθλημα.

Αἰκίας ὕβρεως δίκη.

Ἄϊστωρ ἄπειρος, ἀμαθής.

Αἰξωνεύεσθαι· ἀπὸ δήμου τινὸς ἡ κατηγορία τοῦ Αἰξωνέως, ὡς ἀπὸ Ἀβδήρων Ἀβδηρίτης, ὡς ἐπὶ βλασφημίᾳ διαβέβληται.

Ἄκακοι οἱ ἔξω κακίας.

Ἀκήρατοι καθαροί.

Ἀκινάκης περιζώνιον στενὸν ἑτερόστομον, ὥσπερ ἡμίτομον μαχαίρας.

Ἀκέραιοι οἱ ἔξω κήρας.

Ἀκκίζει ἀπαξιοῖς.

Ἀκροχειρίζεσθαι πυκτεύειν ἢ παγκρατιάζειν πρὸς ἕτερον ἄνευ συμπλοκῆς, ἢ ὅλως ταῖς ἄκραις μετ' ἄλλου γυμνάζεσθαι.

Ἀκταίνειν γαυριᾶν καὶ ἀτάκτως πηδᾶν.
Ἀλαζὼν ψευδής.
Ἀλευάδαι οἱ ἐν Λαρίσσῃ τῆς Θεσσαλίας εὐγενέστατοι, ἀπὸ Ἀλεύου τὸ γένος ἔχοντες.
Ἀλίπεδον ὁμαλὸν καὶ ἄσπορον πεδίον.
Ἁλιτηριῶδες ἁμαρτωλὸν ἢ πλάνον· ἄλη γὰρ ἡ πλάνη καὶ ἡ ἁμαρτία.
Ἀλλόκοτον ἐξηλλαγμένον.
Ἀλλοτριονομοῦντες ἐναλλαγὴν ὀνομάτων ποιοῦντες ἢ ὅλως τισί τινα μὴ προσηκόντως διανέμοντες.
Ἀμεταστρεπτὶ οὐχ ὑποστρέφει εἰς τοὐπίσω.
Ἀμόθεν γέ ποθεν ἀπό τινος μέρους [ἰσημέρου].
Ἄμυνα καὶ ἐπὶ ἀμοιβῆς καὶ ἐπὶ εἰσπράξεως δίκης.
Ἀμφιλαφὲς πολὺ καὶ ἄφθονον, ἔστιν δ' ὅτε καὶ ἀμφίσκιον.
Ἀμφιθαλεῖς ἀντὶ τοῦ ἀμφότερα οἰκοθαλεῖς.
Ἀμφικτύονες οἱ ἐκ πολλῶν πόλεων αἱρετοὶ δικασταί, οἷον ἀμφικτίονες καὶ περίοικοι.
Ἀμηγέπη ἑνί γε τρόπῳ ἢ ὁπωσοῦν.
Ἀναδῆσαι ταινίας ἐπιβαλεῖν.
Ἀνάρσια ἃ οὐκ ἂν τις ἄραιτο.
Ἀνακηκίει ἀναπηδᾷ.
Ἀνάπλεως ἀναπεπλησμένος· χρῆται δὲ ἐπὶ τοῦ μεμολυσμένου.
Ἀνατὶ δίχα βλάβης καὶ οἷον δίχα τῆς ζημίας.
Ἀνατείνας τὴν ψυχὴν ἐπὶ τὰ ἄνω τρέψας καὶ ἐπὶ τὴν τῶν θείων θέαν.
Ἀνασκινδυλεῦσθῆναι ἀνασκολοπισθῆναι, ἀνασταυρωθῆναι.
Ἀνάδαστος ἡ κληρουχηθεῖσα γῆ, ἢ πάλιν εἰς διαίρεσιν διαδιδομένη.
Ἀναπεμπάζεσθαι ἐπαναλαμβάνειν κεφαλαιωδέστερον τὰ εἰρημένα.
Ἀνακογχυλιάσαι ἀναγαργαρίσαι.
Ἀνδρηλατεῖν ἄνδρας ἐξελαύνειν καὶ φυγαδεύειν.
Ἀνείλεται ἀνειλεῖται.
Ἀνιμᾷ ἀνέλκει.
Ἀνεργήσει ἀναδήσει, ἀναρτήσει καὶ οἷον κωλύσει.
Ἀνδραποδώδη τρίχα τὴν τῶν ἀνδραπόδων ἴδιον κουράν, ἣν ἀπελευθερωθέντες ἤλλασσον Ἀθήνησιν αἱ δοῦλαί τε καὶ οἱ δοῦλοι.
Ἀνδρείκελον χρόα ἐπιτηδεία ὡς πρὸς ἀνδρὸς μίμησιν.
Ἀνοργίαστοι (ἀνάρπαστοι C) οἱ ἀμύητοι, οἷς τελεταὶ καὶ ὄργια οὐκ ἐγένοντο.
Ἀντικρὺ κατ' εὐθύ, ἐπ' εὐθείας.
Ἄντυγες· αἱ τῶν ἁρμάτων περιφέρειαι οὕτως λέγονται.
Ἀντωμοσία γραφὴ κατά τινος ἔνορκος περὶ ὧν ἠδικῆσθαί φησι· διωμοσία δὲ ὁ ἑκατέρωθεν γινόμενος ὅρκος καὶ ἐπὶ τῶν δικαζομένων, τοῦ μὲν ὡς πράξαντα διώκειν, τοῦ δὲ ὡς οὐκ ἔπραξεν. ἐξωμοσία δὲ ἄρνησις σὺν ὅρκῳ ὡς ἀδυνατοῦντος ἢ παρὰ καιρὸν ὄντος αὐτῷ τοῦ λειτουργεῖν.
Ἄξων τὸ τοῦ ἅρματος ξύλον, περὶ ὃ δινοῦνται οἱ τροχοί.
Ἀπενιαυτίσαι ἐνιαυτῷ φυγεῖν τὴν πατρίδα ἐπί τισιν ἀδικήμασιν.
Ἀπέσβη τέθνηκεν.
Ἀποδιοπομπεῖσθαι ἀποπέμπεσθαι καὶ διωθεῖσθαι τὰ ἁμαρ-

τήματα, συμπράκτορι χρωμένους τῷ Διί.
Ἀποκναίειν κατ' ὀλίγον ἀποξύειν καὶ ὡσπερεὶ διαφθείρειν.
Ἀπόστολα τὰ εἰς τὴν θάλασσαν ἐκπεμπόμενα ἢ ἐκπλέοντα.
Ἀποστοματίζειν ἀπὸ μνήμης λέγειν.
Ἀπόρρησις ἀπαγόρευσις.
Ἀποτεθρυωμένοι ἀπηγριωμένοι· εἴρηται δὲ κατὰ μεταφορὰν ἀπὸ τῶν [τε]θρύων, ἅπερ εἰσὶν ἄγονα καὶ ἄγρια φυτά.
Ἀποφράδες ἡμέραι, ἐν αἷς τοῖς κατοιχομένοις χοὰς ἐπιφέρουσιν, ἢ αἱ πρὸς πράξεις ἀνεπιτήδειοι.
Ἀπρὶξ ἐμπεφυκότως.
Ἀργυρὶς φιάλη.
Ἀραρὸς βέβαιον, ἀμετακίνητον.
Ἀργυραμοιβὸς ὁ κέρμα ἀντὶ ἀργυρίου ἀλλασσόμενος.
Ἀργιλώδης γῆ λευκὴ καὶ καθαρά.
Ἀριστίνδην κατ' ἀνδραγαθίαν αἱρετόν.
Ἄρνυσθαι ἀντὶ τοῦ καταλλάσσεσθαι· ὅθεν καὶ τὸ μισθαρνεῖν τὸ μισθὸν ἀντί τινος λαμβάνειν λέγεται.
Ἄρρατον ἰσχυρόν, στερεόν.
Ἄρτι πρὸ ὀλίγου χρόνου πεποιημένος.
Ἀσκωλίζοντες ἐφ' ἑνὸς ποδὸς ἐφαλλόμενοι, ἢ στερούμενοι τῶν κατὰ φύσιν.
Ἀσπαλιεὺς ἁλιεύς, ἀπὸ τοῦ ἀποσπᾶν τὴν ἄγραν.
Ἀτὰρ σύνδεσμος ἀντὶ τοῦ δή.
Ἀτεχνῶς ἀντὶ τοῦ ἁληθῶς καὶ χωρὶς πανουργίας, καὶ οἷον ἁπλάστως.
Ἀτενὴς ἢ ὁ τῷ ἤθει εὐθὺς καὶ ἀκλινής, ἢ ὁ σκληρὸς καὶ ἀνύπειτος πρὸς ὃ χρὴ ὑπείξαι.
Ἀτιμώρητος ἀβοήθητος ἢ θαυμαστός· ἔστι δ' ὅτε καὶ ὁ κακός.
Ἀτύφου μοίρας τῆς ἀβλάβους ὑπὸ τύφου καὶ μὴ τεθυμμένης.
Ἀτυχῆσαι μὴ τυχεῖν.
Αὖην καὶ ξηρὰν παραλλήλως εἶπεν· ἔστι δὲ ταὐτόν.
Αὐτίκα ἅμα καὶ τότε, εὐθέως.
Ἀχαριστεῖν μὴ χαρίζεσθαι.
Ἀστόξενος ὁ μὴ ἔχων ἐν τοῖς πολίταις οἰκίαν ἰδίαν.

Βάδην ἐπειγομένη πορεία.
Βαθεῖαν αὔλακα, ὅπερ ἐστὶ σχιστῆς γῆς ὑπὸ ἀρότρου· μεταφορικῶς ἀπὸ τούτου βαθείας φρένας καὶ κεκρυμμένας σημαίνει.
Βάλλ' εἰς μακαρίαν ἀντὶ τοῦ βάλλ' εἰς Ἅιδου, ὅθεν τοὺς ἀποθανόντας μακαρίτας ἔθος καλεῖν. ἢ ὅτι ἡ Μακαρία θυγάτηρ οὖσα τοῦ Ἡρακλέους ἑκοῦσα ὑπὲρ τοῦ τῶν Ἡρακλειδῶν γένους ἀπέθανεν.
Βάραθρον ὄρυγμα φρέατι ὅμοιον, ἔνθα οἱ καταδικασθέντες ἐβάλλοντο.
Βδελυρὸς αἰσχροποιός.
Βέβηλοι ἀμύητοι.
Βλὰξ ὁ διὰ νωθρίαν ἡμαρτηκώς.
Βλιμάζειν πειράζειν.
Βένδις ἡ Ἄρτεμις Θρακία φωνῇ, καὶ Βενδίδεια Ἀρτέμιδος ἑορτὴ παρὰ Θραξίν.
Βλίττειν ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων.
Βράττειν ἀνακινεῖν, ὥσπερ οἱ τὸν σῖτον καθαίροντες.
Βρενθυόμενος γαυρούμενος καὶ ὀγκυλόμενος μετὰ βάρους.
Βωμολοχία κακολογία ἀπὸ τοῦ λοχαγεῖν· εἴρηται δὲ ἀπὸ τῶν τοὺς βωμοὺς λοχώντων καὶ ἐπιτηρούντων τοὺς θύοντας, ἵνα μεταιτῶσιν.

Γεῖσα λίθοι εἰς θριγκία καὶ τοίχων πρόποδας παρεσκευασμένοι.
Γελοῖον ἐφ' ᾧ τις ἂν γελάσειεν, ἤγουν καταγέλαστον.
Γεννῆται οἱ τὰς φατρίας γεννῶντες· φατρία δέ ἐστι φυλῆς μέρος τρίτον, ὅπερ καὶ τριτὺς λέγεται.
Γενναῖος ὁ εὐγεγονώς.
Γεωμόροι οἱ κληροῦχοι.
Γεωπεῖναι οἱ μικρὰν καὶ λυπρὰν γῆν ἔχοντες.
Γῆν ἱλλομένην· συγκεκλεισμένην καὶ περιειλημμένην· ἱλλάδες γὰρ οἱ δεσμοί.
Γνωματεύοντα διακρίνοντα καὶ διαγιγώσκοντα.
Γόητες οἱ ἀπατεῶνες.
Γυμνοπαιδία χοροὶ ἐν Σπάρτῃ τῆς Λακωνικῆς εἰς θεοὺς ὕμνους ᾄδοντες εἰς τιμὴν τῶν ἐν Θυρέαις ἀποθανόντων Σπαρτιατῶν.

Δεῖγμα τόπος ἐν Πειραιεῖ ἐν τῷ καλουμένῳ ἐμπορείῳ.
Δείλης πρωΐας τῇ πρὸ ἀρίστου ὥρᾳ· δείλης ὀψίας τῇ πρὸ δείπνου.
Δεκάζει ὁ κρίσιν ὠνούμενος παρὰ δικαστοῦ· δεκάζεται ὁ κρίσιν πιπράσκων· ἔνθεν ἀδέκαστος ὁ μὴ πιπράσκων καλεῖται.
Δευσοποιὸν ἔμμονον καὶ δυσαπόπλυτον.
Δημοῦσθαι δημοκοπεῖν, παίζειν, εὐφραίνεσθαι.
Δῆμος εἷς ἐκ τοῦ δήμου καὶ ἰδιώτης, καὶ ἡ πόλις σὺν τῇ βουλῇ.
Δημοποίητος ὁ παρέγγραφος.
Δήπουθεν ἔκ τινος τόπου, ἢ ἀντὶ τοῦ δηλονότι, ἴσον τῷ φανερόν.
Διανενεύκαμεν ἐπεραιώθημεν.
Διαλαγχάνειν διαμερίζεσθαι, διακληροῦσθαι.
Διαττὰν σήθειν.
Διαμπερὲς δι' ὅλου διῆκον.
Διατεθρυμμένος διακεκλασμένος.
Διαγραφεῖν (διαγείρειν C) διιξύειν, ἀπαλείφειν, παράπτεσθαι.
Διακορὴς μεμεστωμένος.
Διασφὰξ διατομὴ ὄρους.
Διδαξάμενος τελέσας τι ὑπὲρ ἑτέρου διδασκάλῳ.
Διηθεῖν διυλίζειν.
Διθύραμβος ὕμνος εἰς Διόνυσον.
Δίκηλα μιμήματα, εἰκάσματα.
Δίκη ὁτὲ μὲν τὸ ἔγκλημα, ὁτὲ δὲ ἡ κόλασις, ὁτὲ δὲ ὁ τρόπος καὶ ἡ ὁμοιότης.
Δικαιούμενος κολαζόμενος.
Διπλόον ἐπὶ σιδήρου εἴρηται, ὅταν ἀπό τινος ἑνώσεως ἀπόλυσίς τις ᾖ εἰς παράθεσιν μᾶλλον ἢ ἕνωσιν· ἐπὶ δὲ ἤθους τροπικῶς τὸ μὴ ὑγιὲς δηλοῦν.
Διωκάθειν διώκειν ἐγκαλοῦντα ἢ τρέχοντα.
Δρυόχους ἐν Τιμαίῳ καλεῖ τὰ στηρίγματα τῆς πηγνυμένης νηός.
Διωλύγιον ἐπὶ πολὺ διῆκον· ἐπὶ φαύλῳ δὲ αὐτῷ κέχρηται· πολὺ καὶ ἄμετρον.
Διωμοσία ὅροι οἱ ὑπὸ τῶν δικαζομένων γινόμενοι, τοῦ μὲν ὀμνύντος ὅτι παθὼν ἐγκαλεῖ, τοῦ δὲ ὅτι οὐκ ἐποίησεν.
Δρόμοι οἱ περίπατοι.
Δυσωπεῖσθαι ὑφοράσθαι καὶ ὑπόπτως ἔχειν.
Δωροδόκοι καὶ οἱ διδόντες δῶρα καὶ οἱ λαμβάνοντες.

Ἑαυτῷ ἐπὶ τρίτου προσώπου· οἱ Ἀττικοὶ δὲ ἐπὶ δευτέρου κέχρηνται.
Ἐγκύρτια τὰ ἐν τοῖς κύρτοις ἐνυφάσματα· χρῆται δὲ ἐν Τιμαίῳ ἐπὶ τῆς φάρυγγος τῇ λέξει.

Ἐδήωσαν τὴν γῆν ἀντὶ τοῦ ἐδενδροτόμησαν.
Ἐδίδαξα ἐπαίδευσα αὐτὸς δι' ἑαυτοῦ· ἐδιδαξάμην ἐπαιδευσάμην δι' ἑτέρου, αὐτὸς ἐπιμεληθεὶς τούτου.
Ἕδος τὸ ἄγαλμα καὶ ὁ τόπος ἐν ᾧ ἵδρυται.
Ἐνθράττειν ὑποκινεῖν, ταράττειν.
Εἶεν· συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα.
Εἱλομένων συνεσταλμένων, συγκεκλεισμένων.
Εἰκάζων οἰόμενος ἢ ὁμοιῶν.
Ἕλη ἡλίου ἅλα ἢ αὐγή.
Εἴλησις ἔκπαυσις.
Εἱλυφώσιν εἱλοῦσι, συνάγουσιν.
Εἴξασι καὶ εἴκασι λέγει ἀντὶ τοῦ ἐοίκασιν.
Εἰσαγγελίαι (ἐπαγγελίαι C) καθ' ἃν μή εἰσι κολάσεις ὡρισμέναι κατὰ τοὺς κειμένους ἤδη νόμους.
Ἐμαλακίσθη ἐνέδωκε καὶ ἀσθενῶς διετέθη ὑπὸ δειλίας.
Ἔμβραχυ συντόμως καὶ οἷον ἐν βραχεῖ.
Ἐμπειρία τριβὴ ἔκ πείρας.
Ἐμπολέμια τὰ εἰς πόλεμον ἐπιτήδεια καὶ εὔχρηστα.
Ἐναγχος ἐν τῷ ἔγγιστα παρελθόντι χρόνῳ.
Ἔναυλος λόγος ἔνηχος.
Ἐναγίζειν θύειν.
Ἐνδίκως δικαίως καὶ κατὰ δίκην.
Ἐνδοῦναι προδοῦναι, παραδοῦναι, ἢ καὶ εἶξαι.
Ἐνεὸς ὁ ἐστερημένος φωνῆς.
Ἔγκοτον ἐχθρὸν ἐνδιάθετον.
Ἔννη καὶ νέα ἡ τριακὰς καλουμένη· ἕνον τὸ παλαιὸν καὶ νέον τὸ νέον.
Ἐντελεῖς οἱ ἄρχοντες καὶ οἱ ἄρξαντες.
Ἐγχρίμπτει ἐγκυρεῖ, ἐνερείδει, πλήττει.
Ἐνωμοτία τάγμα ποσόν· εἴρηται δὲ ἀπὸ τοῦ ὀμνύναι αὐτοὺς μὴ λείψειν τὴν τάξιν.
Ἐξαμβλοῦν διαφθείρειν τὸ κατὰ γαστρὸς [διεφθορὸς] καὶ ἀποκτείνειν αὐτό.
Ἐπαμφοτερίσαι εἰς ἀμφιβολίαν ἀγαγεῖν τὸν λόγον.
Ἐξάντη· τὸν ἔγκειται δι' εὐστομίαν ἀντὶ τοῦ ὑγιῆ καὶ ἔξω ἅτης.
Ἐξετασμὸς ἀριθμησις.
Ἐξηγηταὶ τρεῖς γίνονται πυθόχρηστοι, οἷς μέλει καθαίρειν τοὺς ἄγει τινὶ ἐνισχηθέντας· καὶ οἱ ἐξηγούμενοι τὰ πάτρια.
Ἐξομοργνύμενος ἐματτόμενος καὶ ἀποτυπούμενος.
Ἐξοστρακισμὸς φυγὴ δεκαετής. πῆγμα δὲ γίνεται ἐν τῇ ἀγορᾷ εἰσόδους ἔχον, δι' ὧν εἰσιὼν πολίτης ἕκαστος ὄστρακον τίθησιν ἐπιγεγραμμένον· τούτων δὲ ὑπὲρ ἑξακισχίλια γενομένων, φυγὴ δεκαετὴς καταψηφίζεται τοῦ κρινομένου.
Ἐξωμοσία ἔνορκος παραίτησις δι' εὔλογον αἰτίαν.
Ἐπαγωγαὶ ἀγωγαὶ δαίμονος φανύλου ἐπί τινα γενόμεναι.
Ἐπετίμα ηὔξει τὴν τιμήν.
Ἐπιβολὴ ἡ εἰσφορά [παρακαταβολή, τέλος, φόρος, καταβολή].
Ἐπηβολοι οἱ ἐπιτυχῶς βάλλοντες· βάλλειν γὰρ τὸ τυχεῖν· ἢ οἱ ἐντυγχάνοντες.
Ἔπηλυς ὁ ἄλλοθεν ἐπεληλυθώς, τουτέστιν ὁ ἀλλοεθνής.
Ἐπηλυγάζονται ἐπικρύπτονται, ἐπισκιάζονται· λύγη γὰρ λέγεται ἡ σκιά.
Ἐπάρας ἀναπείσας.
Ἐπιβάδαι αἱ μετὰ τὰς ἑορτὰς ἡμέραι, ἐν αἷς τοῖς ὑπολειφθεῖσι σι-

τίοις καὶ ποτοῖς χρῶνται Ἀθηναῖοι.
Ἔρρε φθείρου, ἀπαλλάττου.
Ἐρυμνὰ τὰ ἐχυρὰ καὶ τὰ δυσπρόσβατα χωρία.
Ἑρμαιον εὕρεμα· ἀπὸ τοῦ ἐν ἔθει λεγομένου· κοινὸς Ἑρμῆς.
Ἐρυσίβη μιλτώδης δρόσος, πάχνη δὲ δρόσος χιονώδης.
Ἐπεσφάλακεν οἱ μὲν ἐσπάσθη, οἱ δὲ ἐσάπη ἢ παρὰ καιρὸν ἀτροφῆσαν ἐμαράνθη.
Ἑταιρίστριαι αἱ καλούμεναι τριβάδες.
Ἔτνος ὄψον ἐξ ὀσπρίου.
Εὐέρκης εὖ τετειχισμένη.
Εὐηνίως ἀφιλονείκως.
Εὐθῦναι δίκαι κατὰ τῶν ἀρξάντων κακῶς.
Εὐθὺ Λυκείου ἐπ' εὐθείας εἰς Λύκειον· τόπος δέ ἐστιν Ἀθήνησιν.
Εὐρώς ὑγρότης σεσηπυῖα.
Ἑφέται· πεντήκοντά εἰσιν οὗτοι οἱ ἀπὸ Δράκοντος περὶ φόνου δικάζοντες κριταί.
Ἔφοροι πέντε μείζους καὶ πέντε ἐλάττους.
Ἐχέγγυον· τὸ διὰ πίστεως ἄξιον οὕτως καλεῖ.
Ἐχθοδοπὸν ἐχθροποιόν.

Ζειραὶ χιτῶνες ἀνακεκολλαμμένοι.
Ζώπυρα τοῦ ζῆν ποιητικά.
Ζυγομαχεῖν εἴργεσθαι ὑπό τινος.

Ἦ γάρ; οὐχ οὕτως;
Ἤκιστα οὐ πάνυ.
Ἡδὺς εὐήθης καὶ ἄφρων.
Ἠῖθεος ἄφθαρτος πρὸς γυναῖκας.
Ἡμεδαπὸς ἡμέτερος πολίτης.
Ἡπίαλος ὁ ῥιγοπύρετος.
Ἦπου ἆρα γε, [μονονουχί, αὐτίκα μάλα].
Ἡσύχιον ἡδυσχέραινον.
Ἤτριον τὸ τοῦ ὑφάσματος πλέγμα.
Ἦτρον ὁ μεταξὺ ὀμφαλοῦ τε καὶ αἰδοίου τόπος, ἔνθα μάλιστα γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν.

Θαλλὸς πᾶν τὸ θάλλον, κυρίως δὲ ὁ τῆς ἐλαίας κλάδος.
Θέρμη ὁ πυρετός.
Θαύματα νευροσπάσματα.
Θεηπολεῖν θεῶν εἰκόνας ἔχοντα περιπολεῖν, ἀργύριον εἰσπρασσόμενον.
Θεσμοθέται νομοθέται ἢ νομοφύλακες.
Θόλος οἶκος περιφερής, ἐν ᾧ οἱ πρυτάνεις συνεστιῶντο· πρυτανεῖον δὲ ὠνόμασται, ἐπεὶ πυρῶν ἦν ταμιεῖον.
Θολῶσαι θολερὸν ποιῆσαι.
Θράττει ταράττει, κινεῖ.
Θυηπολοῦσι περιπολοῦσι διὰ θυσιῶν ὑπισχνούμενοι θεοὺς ἐξιλάσκεσθαι.
Θυήματα θυμιάματα· ἄλφιτα δέ ἐστι ταῦτα οἶνῳ καὶ μέλιτι δεδευμένα.
Θυραυλεῖν ἔξω τῶν θυρῶν αὐλίζεσθαι καὶ ἀναστρέφεσθαι.
Θῶπες οἱ μετὰ ψεύδους καὶ θαυμασμοῦ τινὶ προσιόντες ἐπὶ κολάκευσιν.

Ἴδιον ἰδιωτικόν.
Ἰδίειν ἱδροῦν.
Ἱερᾶτω κατὰ νόμον ὀργιαζέτω καὶ θυέτω· ὀργεῶνες γὰρ οἱ θύται.
Ἱερομηνία μὴν ἐν ᾧ ἡμέραι εἰσὶν ἑορταστικαί.
Ἱερομνήμονες οἱ εἰς Πύλας ἐκπεμπόμενοι γραμματεῖς.
Ἵκταρ ἐγγύς· εἴρηται δὲ παρὰ τὸ ἐφικνεῖσθαι.
Ἰμᾶν ἀνέλκειν, ἀνασπᾶν.
Ἱπνοπλάθαι φουρνοπλάσται.

Ἰνδάλλεται φαντάζεται.
Ἱππαγρέται· τρεῖς οὗτοι ἐγένοντο ἄρχοντες ἐν Σπάρτῃ.
Ἰσοτελὴς ὁ χωρὶς ζημίας ἐπιδημῶν ἴσα τοῖς πολίταις.

Καὶ τάχει ἴμεν· καὶ ταχέως πορευσόμεθα.
Κάκη ἡ κακία, ὡς πλάνη καὶ ζάλη.
Καραδοκεῖν τὸ τοῦ πράγματος κεφάλαιον ἐπιζητεῖν καὶ ἐπισκοπεῖν ὅπῃ χωρήσει.
Κατῆρεν κατέπλευσεν.
Κάταγμα ἐρίου σπάσμα καὶ μήρυμα.
Καταβολὴ περιοδικὴ λῆψις πυρετοῦ.
Κατόπιν μετὰ ταῦτα.
Κεκόμψευται πεπιθάνευται.
Κεραμεικοὶ δύο, ὁ μὲν ἔνδον τείχους, ὁ δὲ ἐκτός, ἔνθα τοὺς ἐν πολέμῳ τελευτῶντας ἔθαπτον.
Κερασβόλον ἄτηκτον καὶ μὴ εἶκον παιδείᾳ, ἀλλ' ἄπηνὲς ὄν· εἴρηται δὲ ἀπὸ τῶν σπερμάτων, ἅτινα κατὰ τῶν κεράτων βαλλόμενα ἄτηκτα καὶ ἀνέψητα μένει.
Κηφήνεσσι κοθούροισι τοῖς καθεζομένοις καὶ φυλάττουσι τὴν τῶν μελισσῶν ἔξοδον. οὗροι γὰρ οἱ φυλάσσοντες, καὶ οἱ θυρωροὶ οἱ τὰς θύρας φρουροῦντες.
Κίβδηλον οἱονεὶ κρύβδηλόν τι ὄν.
Κινδυνεύει ἐγγίζει.
Κλητῆρες οἱ εἰς μαρτυρίαν κλητοί.
Κνάφος ὄργανόν τι [ὂν] ἐν κύκλῳ κέντρα ἔχον, δι' οὗ τοὺς βασανιζομένους ἐκτείνουσιν· ὅμοιον δέ ἐστιν κναφικῷ κτενί.
Κοάλεμος ματαιόφρων· κοεῖν γὰρ τὸ αἰσθάνεσθαι.
Κόλλαβοι τὰ τῶν χορδῶν ἐπιτόνια.
Κομψὸς λόγος καὶ ὁ ἀγαθὸς δὲ καὶ ὁ πιθανότητι ὑποδυόμενος τὴν ἀλήθειαν.
Κομιδῇ τελέως· εἴρηται δὲ ἀπὸ τῆς τῶν καρπῶν κομιδῆς, ἥτις γίνεται τελειωθέντων αὐτῶν.
Κορυβαντιᾷν παρεμμαίνεσθαι καὶ ἐνθουσιαστικῶς κινεῖσθαι.
Κόρυθοι ὅμοιοι ὄρτυξιν ὄρνιθες.
Κορυζᾷν μύξας ῥεούσας ἔχειν· κόρυζα γὰρ ἡ μύξα.
Κοροπλάθοι οἱ τοὺς κόρους πλάττοντες κηρῷ ἢ γύψῳ.
Κράδη κλάδος.
Κραιπαλῶντα ἔτι ἀπὸ τῆς μέθης βαρυνόμενον.
Κρανίον ἐν Κορίνθῳ γυμνάσιον.
Κραυρότερον ψαθυρότερον καὶ εὐθραυστότερον.
Κυαμεῦσαι κυάμῳ ψηφοφορῆσαι, ᾧ ἐχρῶντο οἱ βουλευταί.
Κυλοιδιᾷν τὰ κύλα οἰδαίνειν· κύλα γὰρ τὰ ὑπὸ τοὺς ταρσοὺς τῶν ὀφθαλμῶν μυώδη σαρκία.
Κύρβις στήλη τρίγωνος πυραμοειδής, νόμους ἔχουσα περὶ θεῶν.
Κύρτος πᾶν πλέγμα τὸ εἰς ἰχθύων ἄγραν πεποιημένον.
Κωμῳδεῖν σκώπτειν.
Κωλαγρέται οἱ ταμίαι τοῦ δικαστικοῦ μισθοῦ καὶ τῶν εἰς θεοὺς ἀναλωμάτων.

Λαμπτὴρ φανός.
Λαχεῖν δίκην γράψασθαι.
Λάχος κλῆρος.
Λεία ἁρπαγὴ ἀπὸ τῶν πολεμίων.
Λήξεις τῆς τριακάδος καλουμένης· λήξεως τε πέρι δικῶν καὶ προσκλήσεων καὶ κλητήρων· κλητῆρες δὲ οἱ μάρτυρες.
Λιθολόγοι οἰκοδόμοι.

Λίσπαι οἱ δίχα πεπρισμένοι.
Λύγη σκιά, ἀπόκρυψις.
Λυκαβηττὸς ὄρος τραχύ.

Μανὸν τὸ ἀραιόν [καὶ ὁ μαινόμενος, ὁ μὴ ἰσχυρὸς ταῖς φρεσίν].
Μέλεος ὁ τοῖς μέλεσι μάταιος.
Μέρμερος ὁ διὰ πανουργιῶν φροντίδας τισὶν ἐμποιῶν.
Μεσεγγυωθὲν ἐπὶ μεσιτῶν ἀποτεθὲν ὡς ἀμφισβητούμενον.
Μεταλαγχάνειν ἀφυστερεῖν ἢ ἀποτυγχάνειν κλήρου.
Μεταποιεῖσθαι ἀντιποιεῖσθαι.
Μετρίως ὠργασμένος ἀντὶ τοῦ μεμαλαγμένος ἢ δεδευμένος.
Μορμολυκεῖα τὰ φοβερὰ τοῖς παισὶ προσωπεῖα· μορμορύττει καὶ μορμολύττει ἀντὶ τοῦ ἐκφοβεῖν ἀμφότερον.
Μορυχαία οἰκία τις ἀπὸ Μορύχου, ἐν ᾗ καὶ Ἄρτεμις μορυχαία ἀπὸ τοῦ καθιδρύσαντος.
Μουνυχία καὶ Ζεία λιμένες ἕτεροι τοῦ Πειραιέως.
Μυδᾶν δίυγρον εἶναι καὶ σήπεσθαι.

Νεοθνὴς ὁ νεωστὶ τεθνεώς.
Νεοτελὴς ὁ νεωστὶ τετελεσμένος.
Νεουργὸν νεωστὶ εἰργασμένον.
Νῦν δὴ πρὸ ὀλίγου χρόνου [ἡμῖν].
Νυνὶ ἐν τῷ ἐνεστῶτι χρόνῳ.
Νῷ ἡμεῖς, νῶϊν ἡμῖν.

Ξεναγοὶ οἱ τοῖς ξένοις ἡγούμενοι ὁδόν.
Ξύλων ἑρεψίμων· στεγάσματά ἐστι τὰ ἑρέψιμα τὰ εἰς τὰς οἰκίας κατατεταγμένα.
Ξυστίδες ποδήρη ἐνδύματα· οἱ δὲ χλαμύδας κωμικὰς φασιν ὅτι ἀπὸ τοῦ ἐξέσθαι καὶ εἰργάσθαι ἐπιμελῶς.

Ὅα ἀκροδρύων εἶδος, μήλοις μικροῖς ἐμφερές.
Οἶναρα τὰ τῆς ἀμπέλου φύλλα.
Οἰστρᾷ συντόνως καὶ μανικῶς κινεῖται.
Ὀκνεῖ εὐλαβῶς ἔχει.
Ὀκρίβας πῆγμα τὸ ἐν τῷ θεάτρῳ τιθέμενον, ἐφ' οὗ ἵστανται οἱ τὰ δημόσια λέγοντες, θυμέλη γὰρ οὐδέπω ἦν. λέγει γοῦν τις· λιγιόν ἐστι πῆξις ἑστορεσμένη ξύλων, εἶτα ἑξῆς· ὀκρίβας δὲ ὀνομάζεται.
Ὁμηρίδαι οἱ τὰ Ὁμήρου ὑποκρινόμενοι.
Ὁμόσε εἰς ταὐτὸ ἀπὸ τῶν ἐναντίων ἐς μάχην φερόμενοι.
Ὁμόγνιοι θεοί, οἷς οἱ συγγενεῖς κοινῶς ὀργιάζουσιν.
Ὁμοτέρμονες οἱ ὁμοῦ τὰ τέλη ἔχοντες, οἷον οἱ γείτονες· ὁμοῦ γὰρ ἔχουσι τὰ τέρματα.
Ὀργᾷ ἐπείγεται, ἐπιθυμεῖ.
Ὀργάσας μαλάξας.
Ὀργὰς ἡ εὔγειος καὶ λιπαρὰ καὶ ἀκμαία.
Ὀργιάζων θύων, ἐπιτελῶν.
Ὀρέξαι δοῦναι, ἀποτεῖναι.
Ὀργιασταὶ οἱ τὰ μυστήρια ἐπιτελοῦντες.
Ὀρχήστρα τὸ τοῦ θεάτρου μέσον χωρίον· καὶ τόπος ἐπιφανὴς εἰς πανήγυριν, ἔνθα Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνες.
Ὅσια τὰ ἰδιωτικὰ καὶ μὴ ἱερά.
Ὅττα φήμη, μάντεια [καὶ] διὰ κληδόνος.
Οὐκ ἄλλως προνοεῖ· οὐ μάτην.
Οὐκ ἐτός (ἔτως C) οὐκ ἐτωσίως γεγραφώς, οὐ ματαίως.
Οὐκ ἐν ὑπονοίᾳ· οὐκ ἐν αἰνιγμῷ, οὐκ ἐν ἀλληγορίᾳ.
Οὐχ ἥκιστα· πάνυ, ὡς Πορφύριος ἐν τῷ πρὸς τοὺς ἀπὸ τοῦ

νοῦ χωρίζοντας τὸ νοητόν· διενεχθέντες δὲ πρὸς ἀλλήλους τὸ παρηγμένον αὐτῶν τῆς δόξης οὐχ ἥκιστα.

Ὄφλειν ἡττᾶσθαι ἐπὶ δικαστηρίου.

Ὀχθας γῆς ἀναστήματα.

Παιανίσαι τὸν Παιᾶνα ἐπικαλεῖσθαι· ἦν δὲ ἔθος καὶ ἐπὶ ἔργου ἀρχομένους καὶ ἐπὶ τῇ νίκῃ τοῦτο λέγειν.

Παιδουργία παιδοποιΐα.

Παλιναίρετα φευκτά, ἔκβλητα, τὸ ἐναντίον πρὸς αὐτῇ τῇ αἱρέσει πάθος ἐμποιοῦντα· σημαίνει δὲ καὶ τὰ πάλιν αὐτὰ ἐν Τιμαίῳ· παλιναίρετα γάρ φησι γεγονότα πάντα καὶ διεφθαρμένα.

Παλίμβολος ὕποπτος καὶ ὕπουλος πολυμετάβολός τε καὶ ἐπὶ μιᾷ γνώμῃ μὴ μένων.

Παρακαταβολὴ πρόθεσις τοῦ δεκάτου μέρους τοῦ τιμήματος.

Παραταχθεὶς παρ' αὐτὸν ταχθείς.

Παράστασις στάσις παρά τινα ἄτιμος· γίνεται δὲ ἐπὶ τῶν χρεωφειλετῶν.

Παρατενεῖς ἀπολεῖς, ἐπὶ πλέον παρελκύσεις.

Πάρεστιν ἐκ παντὸς δυνατόν ἐστιν.

Παρίεμαι παραιτοῦμαι.

Πάρνοψ ἀκρίδος εἶδος.

Πάρνης ὄρος μεταξὺ Βοιωτίας καὶ τῆς Ἀττικῆς.

Παρὸν ἑξόν, δυνατόν, δέον.

Πατρούχου παρθένου τῆς ὀρφανῆς καὶ ἐπικλήρου, ᾗ προσήκει τὰ τοῦ πατρὸς ἔχειν.

Πατρονομούμενοι οἱ τοῖς γονικοῖς νόμοις χρώμενοι, ἢ ὑπὸ τῶν πατέρων ἀρχόμενοι.

Πάχνη δρόσος πεπηγυῖα· κρύσταλλος δὲ τὸ ὑπὸ κρύους συνεσταλμένον καὶ πεπηγός.

Πειρῶντα πειράζοντα διὰ λόγων παῖδα ἢ γυναῖκα.

Πέλανοι πέμματα ἐκ παιπάλης καὶ ἐλαίου καὶ μέλιτος πεποιημένα πρὸς θυσίαν.

Πέλτη ὅπλον κοῦφον ἴτυν οὐκ ἔχον, ἀλλ' ἐκ μόνης βύρσης γεγονός.

Πελάτης ὁ ἀντὶ τροφῶν ὑπηρετῶν καὶ προσπελάζων.

Πενεστικὸν τὸ παρὰ Θετταλοῖς θητικόν, ὡς τὸ εἰλωτικὸν παρὰ τοῖς Σπαρτιάταις.

Περιαγειρόμενοι νικηφόροι οἱ νικήσαντες ἐν δημοσίῳ ἀγῶνι καὶ δῶρα παρὰ τῶν φίλων καὶ οἰκείων λαμβάνοντες καὶ περιιόντες.

Περιεῖπον περί τινα ἦσαν θεραπευτικῶς καὶ φυλακτικῶς.

Πεττεία ἡ διὰ ψήφων παιδιά· ἔστιν δ' ὅτε καὶ γεωμετρίαν λέγει.

Πλέθρον ἕκτον μέρος σταδίου.

Πλημμέλεια πολλὴ ἀμέλεια.

Πνὺξ χωρίον, ἐν ᾧ τὰ ἀπόρρητα ἐκκλησιάζουσιν.

Ποικιλτικὴ ποικίλον ὕφασμα ἢ ὑφαντικὴ ποικίλων.

Πομπὴ ἀπόπεμψις.

Πόπανα πέμματα πλατέα καὶ λεπτὰ καὶ περιφερῆ.

Πόρκος κύρτος θαλάσσιος ὁ εἰς ἄγραν ἰχθύων.

Ποτνιώμενος ἐπικαλούμενος σὺν λύπῃ.

Πρανὲς κάταντες.

Πρόσχημα παρακάλυμμα τοῦ ἤθους ἢ πρόφασις.

Πρέμνον τὸ τοῦ δένδρου στέλεχος καὶ ἕδρασμα, οἷον παραμένον τι ὄν.

Προσέπαισε προσέπαιξε· τῷ σ ἀντὶ τοῦ ξ κέχρηται.
Πρὸς τὸ τῆς Ἄγρας· τὸ τῆς Ἄγρας θεσμοφόριον Ἀρτέμιδος δηλοῖ.
Πρόβασις ἡ τῶν βοσκημάτων κτῆσις.
Προβολὴ γραφὴ κατὰ τῶν συκοφαντούντων.
Προτέλεια αἱ πρὸ τῶν γάμων τελούμεναι θυσίαι καὶ δωρεαί.
Πρυτανεία βηνιαία φυλῆς ἀρχή.
Πρῷ ἔτι· ὄρθρου βαθέος.
Πυρῶν φλέγων [ἢ] καίων.
Πύθιοι δ' ἄνδρες αἱρετοὶ παρὰ Λάκωσιν, δύο καθ' ἕκαστον βασιλέα σύσσιτοι.

Ῥᾷον συγκριτικὸν πρὸς ἕτερον, ῥᾴδιον ἀπόλυτον καθ' αὐτό, ῥᾷστον ὑπερθετικόν.
Ῥαψῳδοὶ ὑποκριταὶ ἐπῶν.
Ῥῆσις μακρὰ διεξοδικὸς λόγος μακρός.
Ῥῆτραι συνθῆκαι λόγων.
Ῥικνὸν ἐπικαμπὲς ἢ ὀυσόν.
Ῥύμμα ἀπορύπτον ἢ σμῆχον.
Ῥυμβεῖν ῥομβεῖν· τοῦτο δὲ ἀπὸ τῆς κινήσεως τοῦ ῥόμβου.

Σαρδώνιος γέλως ὁ προσποίητος· ἀπὸ τῆς Σαρδοῦς τῆς νήσου.
Σατυρικὰ δράματα· πλείονα ἦν ἔθος ὑποκρίνεσθαι, ἐν οἷς μεταξὺ ταῦτα ἐμίγνυον πρὸς διάχυσιν.
Σηκὸς ἔπαυλις τριγχῷ περιεχομένη.
Σισύρα αἴγειον στέγαστρον τετριχωμένον· ἔστι δ' ὅτε καὶ τὸ τραχὺ καὶ ἄγναπτον ἱμάτιον, ὡς καὶ Ἀριστοφάνης· ἐν πέντε σισύραις ἐγκεκορδυλημένος.
Σκιωρῖται λόχος ἀνδρῶν ἑξακοσίων Ἀρκαδικός, ὁ ἀρχόμενός τε ἐν τοῖς πολέμοις καὶ τελευταῖος ἀναχωρῶν.
Σκηπτόμενος προφασιζόμενος.
Σκληφρὸς ὁ σκληρὸς καὶ παρηβηκώς, ὁ τὰ σκληρὰ φέρειν δυνάμενος.
Σκολύθρια ταπεινὰ διφρία παρὰ τοῖς Θεσσαλοῖς, ἃ τινες θρανία καλοῦσιν.
Σμινύην οἱ μὲν δίκελλαν, οἱ δὲ ἀξίνην καλοῦσιν.
Σπαργῶσα σπαραττομένη ὑπὸ θλίψεως καὶ δεομένη ἐκκρίσεώς τινος.
Σταθερὰ μέσον ἡμέρας, ὅτε κατὰ κορυφὴν ὁ ἥλιος γίνεται· σταθερὸς στάσιμος, ἰσχυρός.
Στρυφνὸν στερεόν.
Στερίφαι στερῖραι, παρὰ τὸ στερεὰν ἔχειν τὴν ὑστέραν.
Στέμφυλα ἐλαιῶν καὶ σταφυλῶν ἀποπιέσματα, οἷς ἀντὶ ὄψων ἐχρῶντο.
Στρατεία ἡ ἐνέργεια καὶ ὥσπερ πάλη· στρατιὰ τὸ τῶν στρατιωτῶν ὑπὸ ἕνα ἔπαρχον τάγμα· στρατόπεδον λέγεται καὶ τὸ πλῆθος τῶν στρατιωτῶν, λέγεται * δὲ * καὶ τόπος, ἐν ᾧ ἀθροίζεσθαι αὐτοὺς ἐπιτήδειον.
Στρόφιγγες οἱ τῶν θυρῶν στροφεῖς.
Στύραξ ὁ σαυρωτὴρ καλούμενος, ἡ τοῦ δόρατος ἀρχή, ἐφ' ᾗ στηρίζεται.
Συμβιβάσαι εἰς συμβίβασιν καὶ ὁμολογίαν ἐλθεῖν περί τινος.
Συνέριθοι συνεργοί.
Συνέμπορος συνοδοιπόρος.
Σφαδάζειν δυσανασχετεῖν μετά τινος ὥσπερ σπασμοῦ.
Σφενδόνη τοῦ δακτυλίου ἡ περιφέρεια ἡ εἰς λίθου βολήν.
Σφεδανὸν καταπληκτικόν, πολεμικόν.

Σφριγῶντες ἀκμάζοντες, ὥσπερ διεσφηνωμένοι ὑπὸ πυκνότητος καὶ ἀκμῆς· παρ' Ἱπποκράτει δὲ σφριγανὸν τὸ ἀκμάζον λέγεται.

Σχηματιζόμενος προσποιούμενος ἢ συνταττόμενος.

Ταινίας ἀναδούμενοι· ἔθος τοῖς νικήσασιν ἀναδοῦναι ταινίας.

Ταλασιουργία ἡ περὶ τῶν ἐρίων ἐργασίμη τέχνη.

Ταλαντοῦσθαι ἑτεροφορεῖσθαι.

Τὰς ψυχὰς ἀποτεθρυωμένοι ἀντὶ τοῦ ἀπηγριωμένοι καὶ ἄγονοι.

Τέγγων μαλάττων, βρέχων· τέγγεσθαι εἴκειν, ἐνδιδόναι.

Τεθυμμένος ὑπὸ πυρὸς ἐκπεκαυμένος ἢ πεπακωμένος.

Τελεσθέντα ἀναλωθέντα.

Τελεταὶ αἱ μυστηριώδεις θυσίαι.

Τέλος τάξις, βλάβη, ἀνάλωμα.

Τέμπη μεταξὺ ὀρῶν στενότητες.

Τερθρεία γοητεία ἢ περιπάθεια.

Τένθης ὁ γαστρίμαργος.

Τερατολόγοι οἱ θαυμαστὰ καὶ παράδοξα μυθεύοντες.

Τευτάζων πραγματευόμενος, ἐνδιατρίβων.

Τέως πρὸ τοῦ ἢ ἕως τινός.

Τήθη μάμμη· τηθὶς δὲ ἡ τῷ θείῳ ἀνάλογος.

Τὴν ἀλωπεκῆν· τὴν πανουργίαν.

Τὴν λῆξιν· τὸν κλῆρον.

Τί δῆτα ἔχων στρέφῃ ἀντὶ τοῦ ἐνδιατρίβεις.

Τιμαλφέστατον τιμὴν πολλὴν εὑρίσκον· τὸ γὰρ ἅλφειν εὑρίσκειν ἐστίν, ἐξ οὗ καὶ Ὅμηρος ἀλφεσιβοίας καλεῖ τὰς εὑρισκούσας κόρας εἰς τιμὴν βόας.

Τοπάζω ὑπονοῶ, οἶομαι.

Τί μὴν κατάφασιν δηλοῖ ἀντὶ τοῦ πῶς γὰρ οὔ ἢ διὰ τί γὰρ οὔ;

Τραγικὴ σκηνὴ πῆγμα μετέωρον, ἐφ' οὗ ἐν θεῶν σκευῇ τινὲς παριόντες ἔλεγον.

Τριτὺς φυλῆς μέρος τρίτον.

Τυφῶνος πολυπλοκώτερον· Τυφὼν ὁ λεγόμενος κεκευνωθῆναι ὑπὸ Διός· τούτου ποικιλώτερον.

Τωθάζων χλευάζων, σκώπτων, διασύρων.

Ὑηνεῖς ὑιόν τι καὶ ζωῶδες ποιεῖς.

Ὑμνοῦσι λέγεται καὶ ἐξ ὀρθῆς λέξεως καὶ κατ' εὐφημισμὸν ἀντὶ τοῦ ἐπαιτιῶνται τὸ γῆρας, ὡς ἐν α' Πολιτείας.

Ὑπάγειν εἰς δίκην ἐνάγειν.

Ὑπ' αὐγὰς ὑπὸ τὸν ὄρθρον ἢ ὑπὸ τὸν πεφωτισμένον ἀέρα.

Ὑπερτερία τὸ τῆς ἀμάξης πῆγμα.

Ὑποκορίζεσθαι πρὸς κόρην ἢ κόρον λέγειν ἀποσμικρύνοντα, οἷον ἱππάριον, πατρίδιον.

Φαληρικὸν ἱππόδρομον Ἀθήνησιν.

Φάναι ἐν αὐτῷ ὑπολαμβάνειν· τὸ δὲ λέγειν ἑτέρῳ δηλοῦν.

Φαρμακεία κρήνη, ἐξ ἧς οἱ πίνοντες ἀπέθνησκον· ἔνιοι δὲ τόπον, εἰς ὃν ἀπάγονται ἐπὶ κόλασιν οἱ ἐπὶ φαρμακείᾳ ἁλόντες.

Φαῦλον ἁπλοῦν, ῥᾴδιον, εὐτελές.

Φελλία χωρία λεπτόγεια.

Φηγοὶ σπέρματος εἶδος.

Φθόη φθίσις ἐξ αἵματος ἀναγωγῆς.

Φλαῦρον πονηρόν.

Φορμίσκοι καλαθίσκοι.

Χαλαστραῖον νίτρον, ἀπὸ Χαλάστρας τῆς ἐν Μακεδονίᾳ λίμνης.
Χαμεύνια τὰ ἐπὶ τῆς γῆς στρωννύμενα.
Χαμαίζηλος διφρίον μικρὸν ἢ ταπεινὸν σκιμπόδιον.
Χαραδριός, ὃς ἐπειδάν τι φάγῃ, ταχέως ἀναλίσκει ὑπὸ θερμότητος· ἔνιοι δὲ τοῦτον καλοῦσιν αἴθυιαν.
Χαρίζεσθαι κοινῶς μὲν ὡς οἱ πολλοί, ἰδίως δὲ ἐπὶ ἀφροδισίων ἢ ἐπὶ τοῦ ἐν λόγῳ ὑποκατακλίνεσθαι· εἴτε σοι δεῖ χαρίζεσθαι, καὶ πάλιν· ἵνα σοι χαρίσωμαι.
Χειροσκόποι οἱ τὰς χειροτονίας ἐπισκοποῦντες.
Χῆτις σπάνις, ἔνδεια, στέρησις.
Χλιδὴ ἕλκυσις καὶ μαλακία, εἴρηται δὲ ἀπὸ τοῦ ἑλκιάνθαι καὶ ἐκλελύσθαι ἀσθενείᾳ τοῦ θερμοῦ.
Χραίνειν ἤγουν ἀποχραίνειν· παρὰ τοῖς ζωγράφοις δὲ λέγεται τὸ μὲν χραίνειν τὸ [δὲ] χρώζειν διὰ τοῦ ῥαβδίου, τὸ δὲ ἀποχραίνειν τὸ τὰ χρωσθέντα ἐνοποιεῖν.
Ψαιστά· οὕτως λέγονται τῶν σπλάγχνων κεκομμένων εἰς λεπτὰ μετὰ ἄρτου ἀπαρχαί τινες.
Ψῆτται (ψίτται C) ἰχθύων εἶδος.
Ψυκτὴρ ποτήριον μέγα καὶ πλατὺ εἰς ψυχροποσίαν παρεσκευασμένον.
Ὦ μέλεε ὦ μάταιε, ὦ δείλαιε· ἔνιοι δὲ ὦ ἐπιμελείας ἄξιε καὶ οἷον μεμελημένε.
Ὦ οὗτος ὦ σύ.
Ὠργασμένος μεμαλαγμένος.
Ὠρωπὸς χώρα μεταξὺ Βοιωτίας καὶ τῆς Ἀττικῆς.
Ὡς ἔοικεν ὡς φαίνεται, ὡς δοκεῖ.
Ὡς οἷόν τε ὡς δυνατόν.
Ὦ τᾶν ὦ οὗτος.

ONOMASTICON PLATONICUM.

Ἄβαρις Charm. p. 158 B.
Ἀγαθοκλῆς Lach. 180 D, Protag. 316 E.
Ἀγάθων Symposii persona; adde Protag. 315 E.
Ἀγαμέμνων Cratyl. 395 A, Symp. 174 C, Theag. 124 C, Hipp. min. 370 BC, Rep. II. 383 A, III. 390 E, 392 E, VII. 522 D, X. 620 B, Leg. IV. 706 D, Epist. II. 311 A.
Ἀγαμήδης Axioch. 367 C.
Ἄγις Cratyl. 394 C, Alcib. 124 A.
Ἀγλαΐων Rep. IV. 439 E.
Ἀγλαοφῶν Gorg. 448 B, Ion. 532 E.
Ἄγρα Phaedr. 229 C.
Ἀδείμαντος ὁ Ἀρίστωνος, οὗ ἀδελφὸς Πλάτων, Apol. 34 A.
Ἀδείμαντος Γλαύκωνος ἀδελφός, persona Parmenidis et Reipublicae.
Ἀδειμάντῳ ἀμφοτέρῳ, ᾧ τε Κηφίδος καὶ ὁ Λευκολοφίδου Protag. 315 E.
Ἄδμητος Symp. 208 D.
Ἀδράστεια Phaedr. 248 C, Rep. V. 451 A.
Ἄδραστος Phaedr. 269 A.
Ἀδώνιδος κῆποι Phaedr. 276 B.
Ἀζάης Crit. 114 C.
Ἀθάμας Min. 315 C.
Ἀθηνᾶ Cratyl. 404 B, 407 A, 417 E, Symp. 197 B, Alcib. II. 150 D, Euthyd. 302 D, Protag. 321 D, Hipp. maj. 290 B, Rep. II. 379 E, Tim. 21 E, Crit. 109 C, Leg. V. 745 B, VIII. 848, XI. 920 D etc.
Ἀθῆναι Apol. 29 D, Lach. 183 A, Euthyd. 302 C, Prot. 337 D, Charm. 157 E, Hipparch. 229 B, Gorg. 461 E, 515 E. Hipp. maj. 281 A, Leg. I. 641 E, VI. 753 A, Rep. IV. 435 E, Epist. VII. 333 B etc.
Ἀθηνόδωρος Epist. XVI.
Ἄθως Leg. III. 699 A.
Αἰακός Apol. 41 A, Alcib. 121 B, Theag. 124 C, Gorg. 524 A, Hipp. maj. 292 E.
Αἰαντόδωρος Apol. 34 A.
Αἴας Apol. 41 B, Cratyl. 428 C, Symp. 219 E, Hipp. min. 371 B, Rep. V. 468 D, X. 620 B.
Αἴγινα Phaed. 59 C, Cratyl. 433 A, Alcib. 121 B, Gorg. 511 D, 516 E, Leg. IV. 707 E, Epist. IV. 321 B.
Αἰγίνης υἱὸς Αἰακός Gorg. 526 E.
Αἴγισθος Theag. 124 C.
Αἴγυπτοι Menex. 245 D.
Αἴγυπτος Apol. 80 C, Politic. 290 D, Phileb. 18 B, Phaedr. 274 C, Gorg. 511 D, Menex. 239 E, 241 E, Rep. IV. 436 A, Tim. 21 C, 25 B, Crit. 113 A, 114 C, Leg. II. 656 D, 660 B, V. 747 C, VII. 799 A, 819 A, XII. 953 E, Epin. 987 A.
Αἰγυπτιστί Tim. 21 E.
Ἅιδης Cratyl. p. 403 sq.
Ἄϊδος κυνῆ Rep. X. 612 B.
Αἰθιοπία Eryx. 400 B.
Αἰνείας Lach. 191 A.
Αἰξωνεύς Lach. 197 E.
Αἴολος Alcyon c. 1.

Αἰσχίνης Apol. 33 E, Phaed. 59 B.
Αἴσωπος Phaed. 60 C, 61 B, Alcib. I. 123 A.
Ἀκαδημία Lys. 203 A, Axioch. 366 E.
Ἀκαρνάν Euthyd. 271 C.
Ἀκεσίμβροτος Cratyl. 394 C.
Ἀκουμενός Symp. 176 B, 214 B, Phaedr. 227 A, 268 A, Protag. 315 C.
Ἀλέξανδρος Gorg. 471 B.
Ἀλεξίδημος Meno 76 E.
Ἀλευάδαι Meno 70 B.
Ἀλκέτας Gorg. 471 A.
Ἄλκηστις Symp. 179 B, 208 D.
Ἀλκιβιάδης, persona dialogorum cognominum, item Symposii et Protagorae; adde Euthyd. 275 B, Gorg. 481 D, 519 A, morumque imaginem Rep. VI. 494 B.
Ἀλκίνου ἀπόλογος Rep. X. 614 B.
Ἀλκμαίων Alc. II. 143 C.
Ἀλκυών inscriptio dialogi.
Ἀμαζόνες Menex. 239 B, Leg. VII. 806 A.
Ἀμαζονὶς στήλη Axioch. 365 A.
Ἄμασις Tim. 21 E.
Ἀμέλης Rep. X. 621 A.
Ἀμηστρις Alc. I. 123 C.
Ἄμμων Polit. 257 B, Phaedr. 275 C, Alcib. II. 148 E, Leg. V. 739 C.
Ἀμόργινα Epist. XIII. 363 A.
Ἄμυκος Leg. VII. 796 A.
Ἀμύνανδρος Tim. 21 C.
Ἀμύντωρ Leg. XI. 931 B.
Ἀμφήρης Crit. 114 B.
Ἀμφιάραος Axioch. 368 A.
Ἀμφίλυτος Theag. 124 D.
Ἀμφίπολις Apol. 28 E.
Ἀμφιτρύων Theaet. 175 A.
Ἀμφίων Gorg. 485 E, 500 B, Leg. III. 677 D.
Ἀνάγκη Symp. 195 C, Rep. X. 616 sq.
Ἀναγυράσιοι Theag. 127 E.
Ἀνακρέων Charm. 157 E, Hipparch. 228 B, Phaedr. 235 C.
Ἀναξαγόρας Apol. 26 D, Phaed. 72 C, 97 D, Cratyl. 400 A, 409 A, 413 C, Phaedr. 270 A, Erast. 132 A, Alc. I. 118 C, Gorg. 465 D, Hipp. maj. 281 C, Epist. II. 311 A, Sisyph. 389 A.
Ἀναξαγόρειοι Cratyl. 409 B.
Ἀνάχαρσις Rep. X. 600 A.
Ἀνδρομάχη Ion. 535 B.
Ἀνδρομήδης Epist. XIII. 362 B.
Ἀνδροτίων Protag. 315 C, Gorg. 487 B.
Ἄνδρων Protag. 315 C, Gorg. 487 B.
Ἀνθεμίων Meno 90 A.
Ἀνταῖος Theaet. 169 B, Leg. VII. 796 A.
Ἀντήνωρ Symp. 221 C.
Ἀντίλοχος Ion. 537 A.
Ἀντίμοιρος Protag. 315 A.
Ἀντιοχίς Apol. 32 B.
Ἀντισθένης Phaed. 59 B.
Ἀντιφῶν ὁ Κηφισιεύς Apol. 33 E.
Ἀντιφῶν ὁ Πυριλάμπους Parm. 127 A.
Ἀντιφῶν ὁ Ῥαμνούσιος Menex. 236 A.
Ἄνυτος persona Menonis; adde Apol. 18 B, 23 E etc.
Ἀξίοχος persona dialogi cognominis; adde Euthyd. 271 B, 275 A etc.
Ἀπήμαντος Hipp. min. 363 B, 373 A; maj. 286 B.
Ἀπολλόδωρος ὁ Κυζικηνός Ion. 541 C.
Ἀπολλόδωρος ὁ Φαληρεύς, persona Phaedonis et Symposii; adde Apol. 34 A, 38 B, Protag. 310 A, 328 B.
Ἀπόλλων Phaed. 58 B, 60 D, 85 B, Cratyl. 405 C, Symp. 190 E, 197 A, Phaedr. 253 B, 265 B, Euthyd. 302 D, Protag. 343 B, Rep. III. 399 E, IV. 427 B, Leg. I. 624 A,

632 D, II. 654 A, 665 A, III. 686 A, VI. 766 B, VII. 790 E, VIII. 833 B, XII. 946 C etc.
Ἀπόλλων sculptus Epist. XIII. 361 A.
Ἀργεία ἱέρεια Axioch. 367 C.
Ἀργεῖοι Phaed. 89 C, Menex. 239 B, 244 D, 245 B etc.
Ἄργος Alc. I. 121 A, Theag. 124 C, Leg. III. 683 C, 690 D, IV. 707 E, Epist. VIII. 354 B.
Ἀρδιαῖος Rep. X. 615 C.
Ἄρειος πάγος Phaedr. 229 D, Axioch. 367 A.
Ἄρης Cratyl. 404 B, 407 D, Symp. 196 D, Phaedr. 252 C, Rep. III. 390 C, Leg. II. 671 E, VIII. 833 B, XI. 920 D etc.
Ἄρεως ἀστήρ Tim. Locr. 97 A, Epin. 987 C.
Ἀριστείδης Lach. 179 A, Gorg. 526 B, Meno 94 A, Virt. 376 sq.
Ἀριστείδης nepos Theaet. 151 A, Theag. 130 B, Lach. 179 A etc.
Ἀρίστιππος ὁ Κυρηναῖος Phaed. 59 B.
Ἀρίστιππος ὁ Λαρισαῖος Meno 70 B.
Ἀριστογείτων Symp. 182 C, Hipparch. 229 C.
Ἀριστόδημος ὁ Ἀριστομάχου Leg. III. 692 B.
Ἀριστόδημος ὁ Κυδαθηναιεύς Symp. 173 B, 218 B.
Ἀριστόδωρος Epist. X.
Ἀριστοκράτης Gorg. 472 A.
Ἀριστόκριτος Epist. III. 319 A.
Ἀριστοτέλης persona Parmenidis.
Ἀριστοφάνης persona Symposii; adde Apol. 19 B etc.
Ἀριστοφῶν Gorg. 448 B.
Ἄρίστων Apol. 34 A, Rep. I. 327 A, II. 368 A etc.
Ἀρίστων Ἡγησίππου πατήρ Epist. II. extr.
Ἀριστώνυμος Rep. I. 328 B.
Ἄρίφρων Protag. 320 A.
Ἀρκάδες Symp. 193 A.
Ἀρκαδία Rep. VIII. 565 D.
Ἀρμένιος Rep. X. 614 B.
Ἁρμόδιος Symp. 182 C, Hipparch. 229 C.
Ἁρμονία Phaed. 95 A.
Ἄρτεμις Theaet. 149 B, Cratyl. 406 B, Leg. VIII. 833 B.
Ἀρτεμίσιον Menex. 241 A, Leg. IV, 707 C.
Ἀρτοξέρξης Alc. 121 B, 123 D.
Ἀρχέδημος Epist. II. 310 B, III. 319 A, VII. 339 A, 349 C.
Ἀρχέλαος Alcib. 141 D, Theag. 124 D, Gorg. 470 D, 479 A, 525 D.
Ἀρχέπολις Cratyl. 394 C.
Ἀρχίδαμος Alcib. 124 A.
Ἀρχίλοχος Ion. 531 A, Rep. II. 364 C.
Ἄρχῖνος Menex. 234 B.
Ἀρχιππος Epist. IX. 357 D.
Ἀρχύτης Epist. VII. 338 C, 350 A, IX. XII. XIV.
Ἀσία Tim. 24 B, Alcib. 105 C, 121 A, Lys. 209 D, Gorg. 523 E, Menex. 239 E etc.
Ἀσκληπιάδαι Protag. 311 B, Phaedr. 270 C, Rep. III. 405 etc.
Ἀσκληπιεῖα Ion. 530 A.
Ἀσκληπιός Phaed. 118 A, Symp. 186 E, Rep. III. 406 C, 408 B, X. 599 C.
Ἀσπασία Menex. 235 E, 249 C.
Ἀσσύριοι Leg. III. 685 C.
Ἀστυάναξ Crat. 392 B etc.
Ἀστύλος Leg. VIII. 840 A.
Ἀσωπός Crit. 110 E.
Ἀταλάντη Rep. X. 620 B.
Ἄτη Symp. 195 D.
Ἀτλαντικὸν πέλαγος Tim. 24 E, Crit. 114 A.
Ἀτλαντίς Tim. 25 A, Crit. 108 E etc.
Ἄτλας Phaed. 99 C, Crit. 114 A etc.
Ἀτρεύς Cratyl. 395 B, Politic. 268 E.
Ἄτροπος Rep. X. 617 C, 620 E, Leg. XII. 960 C.
Ἀττική Lach. 183 A, Menex. 237 C,

Crit. 110 C, Leg. III. 698 A, IV. 706 A etc.
Ἀττικιστί Cratyl. 398 D, 410 C.
Ἀττικός Leg. I. 626 D.
Αὐτόλυκος Rep. I. 334 A.
Αὐτόχθων Crit. 114 C.
Ἀφροδίσιος ὅρκος Symp. 183 B.
Ἀφροδίτη Cratyl. 406 B, Sophist. 242 E, Phileb. 12 B, Symp. 177 E, 180 D, 196 D, 203 B, Phaedr. 242 D, 265 B, Rep. III. 390 C, Leg. VIII. 840 E.
Ἀφροδίτης ἀστήρ Epin. 987 B, Tim. Locr. 97 A.
Ἀχαιμένης Alcib. 120 E.
Ἀχαιοί Leg. III. 682 E, 685 E.
Ἀχελῷος Phaedr. 230 B, 263 D.
Ἀχερουσιάς Phaed. 113 A sq.
Ἀχέρων Phaed. 112 E, Axioch. 371 B.
Ἀχιλλεύς Apol. 28 C, Symp. 179 E, 208 D, 221 C, Protag. 340 A, Hipp. maj. 292 E, Hipp. min. 363 sqq., Ion. 535 B, Rep. III. 388 A etc.

Βάκις Theag. 124 D.
Βατίεια Cratyl. 392 A.
Βενδίδεια Rep. I. 354 A.
Βίας Protag. 343 A, Hipp. maj. 281 C, Rep. I. 335 E, Axioch. 368 B.
Βοιωτοί Phaed. 99 A, Alcib. 112 C, Symp. 182 B, Menex. 242 B, 244 D, 245 C, Leg. I. 636 B.
Βορέας Phaedr. 229 C, Leg. II. 661 A.
Βρασίδας Symp. 221 C.
Βριάρεως Euthyd. 299 C, Leg. VII. 795 C.
Βρύσων Epist. XIII. 360 C.

Γάδειρος Crit. 114 B.
Γαννυμήδης Phaedr. 255 C, Leg. I. 636 C.
Γέλων Epist. VII. 333 A.
Γεώργιος Epist. XVII.
Γῆ Tim. 23 D, 40 E.
Γηρυόνης Euthyd. 299 C, Gorg. 484 B, Leg. VII. 795 C.
Γλαῦκος Phaed. 108 D.
Γλαῦκος ὁ Θαλάττιος Rep. X. 611 C.
Γλαύκων ὁ Ὁμηρικός Ion. 530 D.
Γλαύκωνες personae Parmenidis, Symposii, Reipublicae; adde Charmidae patrem Symp. 222 B, Theag. 128 D, Charm. 158 B, Protag. 315 A, Axioch. 364 A.
Γοργίας persona dialogi cognominis; adde Apol. 19 E, Phileb. 58 C, Symp. 198 C, Phaedr. 261 C, 267 A, Theag. 127 E, Menon. 70 B, 76 C, 95 C, Hipp. maj. 282 B etc.
Γοργόνες Phaedr. 229 D.
Γόρτυς Leg. IV. 708 A.
Γύγης Rep. II. 359 D, X. 612 B.
Γωβρύης Axioch. 371 A.

Δαίδαλος Euthyphr. 11 C, 15 B, Alcib. 121 A, Meno 97 D, Hipp. maj. 284 A, Ion. 533 A, Rep. VII. 529 E, Leg. III, 677 D.
Δάμων Alc. 118 C, Lach. 180 D, 197 D, 200 A, Rep. III. 400 B, IV. 424 C, Axioch. 364 A.
Δαναΐδες Axioch. 371 E.
Δαναός Menex. 245 D.
Δαρδανίη Leg. III. 681 E.
Δάρδανος Hipp. maj. 293 B, Leg. III. 702 A.
Δαρεῖος Phaedr. 258 B, Lys. 212 E, Gorg. 483 D, Menex. 240 A, Leg. III. 694 C, 695 E, 698 C, Epist. VII. 332 A.
Δᾶτις Menex. 240 A, Leg. III. 698 C.
Δεινομάχη Alcib. 105 D, 123 C.
Δέλτα Tim. 21 D.
Δελφικὸν γράμμα Phileb. 48 C, Phaedr. 229 E, Alcib. 124 B, Hipparch. 228 D, Erast. 138 A, Charm. 164 D, Protag. 343 B, Leg. XI. 923 A.
Δελφοί Apol. 21 A, Phaedr. 235 D,

244 A, Euthyd. 299 C, Rep. IV. 427 B, Leg. V. 738 C, VI. 759 C, VIII. 828 A, IX. 856 E, 865 B, XI. 914 A, Epin. 988 A, Epist. III. 315 B.
Δεινκαλίων Tim. 22 A, Crit. 112 A.
Δήλιον. Apol. 28 E, Symp. 221 A, Lach. 181 B.
Δῆλος Crit. 43 C, Phaed. 58 A, 59 E, Axioch. 371 A.
Δημήτηρ Cratyl. 404 B, Leg. VI. 782 B, Axioch. 371 E.
Δημόδοκος persona Theagis et inscriptio dialogi; adde Apol. 33 E.
Δημοκράτης Lys. 204 E sq.
Δῆμος ἀρχηγέτης Lys. 205 D.
Δῆμος ὁ Πυριλάμπους Gorg. 481 E, 513 B.
Δημοφῶν Lys. 207 B.
Διαπρεπής Crit. 114 C.
Διθύραμβος Leg. III. 700 B.
Δίκη Leg. IV. 717 D, IX. 872 E etc.
Διοκλῆς Symp. 222 B.
Διομήδεια ἀνάγκη Rep. VI. 493 D.
Διομήδης Alcib. 150 D, Rep. III. 389 E.
Διονύσια Rep. V. 475 D, Leg. I. 637 B.
Διονυσιάς Leg. VIII. 844 D.
Διονύσιον Gorg. 472 A.
Διονύσιος ὁ γραμματιστής Erast. 132 A.
Διονύσιος tyrannus maior Epist. VII. 332, VIII. 353.
Διονύσιος tyrannus minor Epist. I. II. III, VII. VIII. XIII.
Διονύσιος minoris filius Epist. VIII. 356 B.
Διονυσόδωρος persona Euthydemi.
Διόνυσος Cratyl. 406 C, Phileb. 61 B, Symp. 175 E, 177 E, Phaedr. 265 B, Leg. II. 653 D, 665 A, 671 A, III. 700 B, VII. 812 B, VIII. 844 E, Axioch. 371 E.
Διόπομπος Leg. VIII. 840 A.
Δῖος Phaedr. 252 E.
Διὸς Κόρινθος Euthyd. 292 E.
Διόσκουροι Euthyd. 293 A, Leg. VII. 796 B.
Διοτίμα Symp. 201 D sqq.
Δίφιλος Cratyl. 399 A.
Δίων Atheniensis Menex. 234 B.
Δίων Syracusanus Epist. I. III. IV. VII. VIII. XIII.
Διώνη Symp. 180 D.
Δράκων Axioch. 365 D.
Δρομοκλείδης Epist. XVIII.
Δρωπίδης Charm. 157 E, Tim. 20 E.
Δωδώνη Phaedr. 244 B, 275 B, Leg. V. 738 C.
Δωριεῖς Cratyl. 409 A, Leg. III. 682 E, 684 E, 702 A.
Δωριενύς Leg. III. 682 E.
Δωριστί Lach. 188 D, Rep. III. 399 A, Leg. II. 670 B, Epist. VII. 336 C.
Δωρίς Epist. II. 313 A.

Ἐλευθερία Symp. 206 D, Leg. VI. 784 A.
Ἕλληνες Alcib. 122 D, Leg. VI. 776 C.
Ἑκάβη Ion. 535 B.
Ἑκαέργη Axioch. 371 A.
Ἑκαμήδη Ion. 538 C.
